This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

HW 2J6U F

Digitized by Google

KE 30460

~~Gh 62.591.5~~

Harvard College Library

BEQUEST OF

HENRY WILLIAMSON HAYNES

(Class of 1851)

OF BOSTON

October 22, 1912

Digitized by Google

Digitized by Google

Digitized by Google

C. Young H. Haynes.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

E. H. M. Haynes.

HOMERI ODYSSEA

GRÆCE ET LATINE.

EDIDIT,

ANNOTATIONESQUE, EX NOTIS NONNULLIS MANUSCRIPTIS

A SAMUELE CLARKE, S.T.P.

DEFUNCTO

RELICTIS,

PARTIM COLLECTAS, ADJECIT

SAMUEL CLARKE, S.R.S.

EDITIO QUARTA.

Τὴν Ὀδύσσειαν, καλὸν ἀνθρωπίνου βίου κάτοπτρον.
Alcidamas, apud *Arist. Rhet. lib.* III. *cap.* 3.

VOL. II.

EDINBURGI:
E PRELO ACADEMICO;
VENEUNT APUD BELL & BRADFUTE, ET SILVESTREM DOIG:
LONDINI,
APUD J. NUNN; LONGMAN, HURST, REES & ORME; VERNOR, HOOD & SHARPE, ET R. SCHOLEY.

1810.

Digitized by Google

KE 30460

~~Gh 62.541.5~~

HARVARD COLLEGE LIBRARY
FROM THE LIBRARY OF
HENRY WILLIAMSON HAYNES
JUNE 13, 1927

39.225
29.2

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ξ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ξ'.

ΞΕΝΙΣΜΟΣ Ὀδυσσέως γίνεται ἐν τῷ ἀγρῷ παρ' Εὐμαίῳ· καὶ ποικίλη τὶς ὁμιλία.

Ἄλλη ὑπόθεσις.

ΌΔΥΣΣΕΈΩΣ παρουσία πρὸς Εὔμαιον, καὶ λόγοι γίνονται, ἀναπλάττοντες ἑαυτὸν, καὶ πράξεις τινὰς ἐκτιθέμενα.

Ἐπιγραφαί.

Ὀδυσσέως πρὸς Εὔμαιον ὁμιλία.
Ἄλλως,
Ξεῖ δ' Ὀδυσῆα ξείνισιν Εὔμαιος ἀγρῷ ὑφορβός.

Α Υ̓τὰρ ὁ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν,
Χῶρον ἀν' ὑλήεντα δι' ἄκριας· ᾗ οἱ Ἀθήνη

LIB. XIV.

AT hic ex portu ingressus est asperam viam,
Locum per sylvosum, per juga; quà ei Minerva

Ver. 1. Αὐτὰρ ὁ ἐκ λιμένος προσέβη &c.] Laudat hìc Poëtam *Dionysius Halicarnassensis*, quòd sententiarum membra ita intersecuerit, periodosque ita disposuerit, ut ad orationem solutam quàm proximè accedat narratio. Τὸν δὲ βουλόμενον ἐν τούτῳ τῷ μέρει κατορθοῦν τὰ τῆς λέξεως μόρια, δεῖ πολυειδῶς τρέφειν τὶ καὶ συναρμόττειν, καὶ τὰ κῶλα ἐν διαστήμασι ποιεῖν συμμέτροις, μὴ συναπαρτίζοντα τοῖς στίχοις, ἀλλὰ διατέμνοντα τὸ μέτρον, ἅπερ τι ποιοῦν αὐτὰ καὶ ἐνόρμια· πολλάκις δὲ καὶ ἁρμόττοντα συνάγειν βραχύτερα κῶλα, τὰς τε περιόδους μήτε ἰσομετρίαις, μήτε ὁμοιοσχήμοσι τὰς γῶν παρεκπεμπούσας ἀλλήλαις ἐργάζεσθαι. Ἔγκρισις γὰρ φαίνεται λόγοις τὸ παρὰ τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα πεπλανημένον. — "Αὐτὰρ ὅγ' ἐκ λιμένος &c." *Dionys. Halicarn.* περὶ συνθέσεως, § 26. Ubi de hoc loco fusiùs.

Ibid. — ὁ ἐκ.] Apud *Dionysium*, ὅγ' ἐκ.

Ibid. — τρηχεῖαν ἀταρπὸν, Χῶρον ἀν' ὑλήεντα.] Οἷαν διὰ πλείονων σημαίνει Κρανάην [τὴν Ἰθάκην] πολῶν. *Strabo*, *Geograph. lib.* X. *pag.* 697. *al.* 454. Vide suprà ad *ι.* 21.

Ibid. — τρηχεῖαν.] Vide ad *Il.* β'. 633.

Digitized by Google

Πέφραδε δῖον ὑφορβὸν, ὅ οἱ βιότοιο μάλιστα
Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
Τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον, ἔνθα οἱ αὐλὴ 5
Ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
Καλή τε, μεγάλη τε, περίδρομος· ἣν ῥα συβώτης
Αὐτὸς δείμαθ' ὕεσσιν, ἀποιχομένοιο ἄνακτος,
Νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος,
Ῥυτοῖσιν λάεσσι, καὶ ἐθρίγκωσεν ἀχέρδῳ· 10
Σταυρὲς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
Πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας·
Ἔντοσθεν δ' αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
Πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ ἑκάστῳ
Πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο 15

Designaverat eximium subulcum, qui ei victum maximè
Curabat famulorum, quos comparaverat nobilis Ulysses.
Eum autem in vestibulo invenit sedentem, ubi ei caula 5
Alta ædificata erat, undique-conspicuo in loco,
Pulchraque, magnaque, vacuis-spatiis-circumdata; quam scilicèt subulcus
Ipse ædificaverat suibus, absente rege,
Sine dominâ, et Laërte sene,
Advectitiis lapidibus, et cinxerat sepe-spinosâ; 10
Palosque extrà adegerat prorsùs hinc atque illinc,
Densos et crebros, nigrâ roboris parte circum-fissâ:
Intra verò caulam suilia duodecim fecerat
Propè invicem, cubilia suibus; in singulis autem
Quinquaginta sues humi-cubantes concludebantur 15

Ver. 3. Πέφραδε.] Vide ad *Il.* β'. 314. et ξ'. 500.

Ibid. —— δῖον ὑφορβὸν.] Fidelitate nimirùm, et in rebus domini sui curandis studio eximium. *Barnesius* et propter Generis nobilitatem δῖον appellari existimat. Vide infrà ad *ver.* 22. item ὁ. 412.

Ibid. —— ὅ οἱ.] *Al.* ὅς οἱ.

Ver. 4. —— κτήσατο.] Vide suprà ad ἰ. 296.

Ver. 6. —— περισκέπτῳ ἐνὶ χώρῳ.] *Eustathius* in commentario citat, καταρυχίσσι λίθοισι Minùs rectè, propter sequentem Ῥυτοῖσιν λάεσσι, *ver.* 10.

Ver. 7. —— περίδρομος.] Περιοδευτὴ, γάτοναις μὴ ἴχνεσι τὴν ἱμαδιζούσας τῷ βυλομένῳ περιδραμεῖν καὶ περιελθεῖν αὐτὴν. *Schol.*

Ver. 8. Αὐτὸς δείμαθ' ὕεσσιν.] Τὸ δὲ "αὐ-"τὸς δείματο," κατ' ἰδιοχὴν ἔχει τὸ Αὐτὸς· —— ὡς αὐτὸς δαπανήσας. *Eustath.* *Al.* Αὐτὸς δείματο οἶος.

Ver. 10. Ῥυτοῖσιν λάεσσι.] Ἑλκυστοῖς, μεγάλοις, καὶ μὴ δυναμένοις διὰ χειρῶν βαστασθῆναι λίθοις. *Schol.*

Ibid. —— ἐθρίγκωσεν.] Ἐχαράκωσεν· θριγκὸς δὲ λέγεται ἡ ἐπὶ τοῖς οἴκοις στιφάνη. *Schol.*

Ibid. —— ἀχέρδῳ.] Ἀχερδος ἐστὶ ἀκανθῶδες φυτὸν, ἐξ οὗ τὰς αἱμασίας ποιοῦσιν. Ἔνοι δὲ ἀστίδοσαν τὴν ἀγρίαν ἄπιον· ἀκανθώδης γὰρ ἡ αὐτὴ εἴωθεν εἶναι. *Schol.*

Ver. 11. Σταυρὲς.] Τὰ ἐρεθὰ καὶ ἀστεξυσμένα ξύλα. *Schol.*

Ver. 12. —— θαμέας.] *Al.* μεγάλας.

Ibid. —— μέλαν δρυὸς.] Ἤτοι δάκος, ἢ τὴν ἐντεριώνην, τὸ ἰσχάδιον τῆς δρυὸς· μελάνδρυον γὰρ λέγεται διὰ τὴν χροιὰν, ἢ τὸν φλοιὸν τῆς δρυός. *Schol.* Ἀρίσταρχος δὲ τὸν φλοῦν ὕστω νοεῖ. Κράτης δὲ τὴν δασύτητα καὶ πολλὴν πυκνότητα τῶν φύλλων μελάνδρυον καλεῖ. *Eustath.*

Ver. 15. —— σύες χαμαιευνάδες.] Ἀπὸ τῆς παρακολουθήσεως αὐτοῖς· πολλὰ γὰρ τῶν ἄλλων τετραπόδων ὀρθὰ κοιμῶνται καὶ ἑστῶτα. *Hesychius.* Παχύνεσθαι δὲ τὸν σῦν ἀπὸ μὴ λιμοῦ μόλιστα, ἀλλ' ἐν τῷ βορβόρῳ διατρίβοντα τε καὶ τρεφόμενον ——. Καὶ Ὅμηρος δὲ ὀνόμασε ὑπόδαλλον ποιοῦντα περὶ μὲν ὕν τῷ κυλινδεῖσθαι εὐθὺς καὶ φιλοῦσιν τοῖς ὑποπαρατείοις τέλμασι, λέγων "σύες χαμαιευνάδες." *Ælian. de Animal. lib.* V. *cap.* 45.

Digitized by Google

Θήλειαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον,
Πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
Ἀντίθεοι μνηστῆρες· ἐπεὶ προΐαλλε συβώτης
Αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων·
Οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο. 20
Πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες, αἰὲν ἴαυον
Τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν.
Αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἀράρισκε πέδιλα,
Τάμνων δέρμα βόειον, ἐϋχροές· οἱ δὲ δὴ ἄλλοι
Ὤχοντ' ἄλλυδις ἄλλος, ἅμ' ἀγρομένοισι σύεσσιν 25
Οἴ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε,
Σῦν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
Ὄφρ' ἱερεύσαντες, κρειῶν κορεσαίατο θυμόν.

Fœminæ genitrices; mares autem foris dormiebant,
Multò pauciores; hos enim minuebant comedentes
Eximii proci; quippè mittebat subulcus
Semper saginatorum porcorum optimum omnium:
Hi verò trecentique et sexaginta erant. 20
Juxta autem canes, feris similes, semper dormiebant
Quatuor, quos nutriverat subulcus, princeps virorum.
Ipse autem circa pedes suos aptabat calceamenta,
Incidens pellem bubulam, benè-coloratam: cæteri autem jam
Ibant aliò alius; cum congregatis suibus 25
Tres; quartum autem dimiserat ad-urbem,
Suem ut-ageret procis superbis, ex-necessitate;
Ut sacris-factis, carnibus satiarent-se animo.

Ver. 16. Θήλειαι τοκάδες.] *Eustathius* ex epitheto isto "τοκάδες" colligendum existimat, præter has, alias fuisse *steriles*. Ὅρα δὴ (inquit) καὶ ὡς μισταχῦ ἀρσένων συῶν καὶ τοκάδων ἐκ ἴσου μὲν τὰς τέρας, ἐνίφνης δὲ ὅμως καὶ αὐτὰς, διὰ τῦ ἀστῆν, "Θήλειαι τοκάδες" διὸ γε εἶναι καὶ ἑτεροίας θηλείας αἱ μὴ τοκάδες ἀνι. Cui tamen observationi vix ullus videtur locus.

Ver. 18. Ἀντίθεοι μνηστῆρες.] Malè *Scholiastes*; Νῦν, οἱ ἐναντίοι τοῖς θεοῖς. Quo sensu vox Ἀντίθεος nusquam apud Poëtam usurpatur. Rectiùs *Eustathius*; Τὸ δὲ, "Ἀντίθεοι μνηστῆρες," —— ἀντὶ τῦ ἰσοθέους λέγει, διὰ τὴν γένος τυχόν, καὶ κάλλος καὶ πλῦτον καὶ ἀνδρίαν, Ὁμηρικώτερον ἐστὶ. Vide ad *Il.* γ'. 16. et ν'. 88.

Ver. 21. Πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες.] Ὅτι καὶ τοῖς σωμεροτάτοις πολλὰ τινὰ παραπλήσια ἡ Πηνελόπη, πλέκτοις ἐνεμῦθη, καὶ ὅτι ἐκινδύνευε μικρῦ ὁ Ὀδυσσεὺς ἐκ τῶν κυνῶν τῦ Εὐμαίου, ἃ μὴ οἶα κυνὸς ἐφυλάξατο. *Eustath.*

Ibid. —— αἰὲν ἴαυον.] *Eustathius* in commentario citat, ἐκτὸς ἴαυον. Ex versu (ut videtur) 16.

Ver. 22. —— ὄρχαμος ἀνδρῶν.] Νῦν ἔξοχος ἐπὶ τῇ εὐγενείᾳ. *Schol.* Alitèr *Eustathius*; Ὅτι σημαίνων τὸν Εὔμαιον, —— λέγει —— "ὄρχαμον ἀνδρῶν," ἤγεν ἀρχικὸν ἀνδρα· ἢ καὶ ἄρχοντα δόλων ἑτέρων, ὡς καὶ μετὰ ταῦτα φανεῖται. Videtur autem Epithèto hoc apud Poëtam, ut et Epitheto διος suprà *ver.* 2. et similibus, homo quâvis de causâ eximius denotari. Similitèr *Philætius* bubulcus, ὄρχαμος ἀνδρῶν appellatur infrà ύ. 185. Vide suprà ad *ver.* 2.

Ver. 24. Τάμνων.] *Al.* Τίμων.

Ibid. —— ἐϋχροές.] *Al.* ἐῦχροον.

Ibid. —— οἱ δὲ δὴ ἄλλοι.] Ὧν δηλαδὴ ἦρχεν ὁ Εὔμαιος. *Eustath.*

Ver. 26. —— ἀποπροέηκε.] Vox ἀποπροέηκε hoc in loco non est *Perfectum*, sed *Aoristus* ex ἀποπροέημι. Alioqui non constaret Temporum ratio. Vide ad *Il.* ά. 37.

Ver. 28. —— κορεσαίατο θυμόν.] *Al.* κορεσαίατο θυμῷ. Quæ fortè et verior lectio. Maximè enim propria ista Vocis *Mediæ* significatio; "*Ut se ipsi satiarent animo.*" Atque ita infrà *ver.* 46. κορεσσάμενος κατὰ θυμόν. Vide suprà ad ί. 491. et ad *Il.* τ'. 167. Cæterùm *Eustathius* hoc malâ in parte accipit, Procisque à Poëtâ vitio datum exi-

Digitized by Google

Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι·
Οἱ μὲν, κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
Ἕζετο κερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
Ἔνθα κεν ὦ παρὰ σταθμῷ ἀεικέλιον πάθεν ἄλγος,
Ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μεταστὰς
Ἔσσυτ' ἀνὰ πρόθυρον· σκῦτος δέ οἱ ἔκπεσε χειρός.
Τοὺς μὲν ὁμοκλήσας σεῦεν κύνας ἄλλυδις ἄλλῃ
Πυκνῇσιν λιθάδεσσιν· ὁ δὲ προσέειπεν ἄνακτα·
Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
Ἐξαπίνης· καί κέν μοι ἐλεγχείην κατέχευας.
Καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε, στοναχάς τε·
Ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων
Ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω

Extemplò verò Ulyssem viderunt canes latratores:
Hi quidem clamantes accurrerunt; at Ulysses
Sedit astutiâ; baculumque ei excidit manu.
Tunc suum apud stabulum indignum sustinuisset dolorem,
Sed subulcus ocyùs pedibus velocibus subsecutus
Ruit per vestibulum; corium verò ei excidit manu:
Canes quidem increpans pepulit aliò alium
Crebris lapidibus; ipse verò affatus est dominum;
" O senex, certè propemodùm te canes disperdiderunt
" Repentè; et mihi opprobrium offudisses.
" Quinetiam mihi alios Dii dederunt doloresque, gemitusque:
" Deo-parem enim *ob*-herum lugens et dolens
" Sedeo; aliis autem sues pingues nutrio

---

stimat. Τὸ δὲ "κορίσασθαι," (inquit), ὅτι ἀνοίκειον ἀγαθοῖς ἀνδράσι, πολλαχῇ ἐδηλώθη. Sed minùs rectè. Nam eandem phrasin usurpat Poëta infrà *ver.* 46. de *Ulysse;* aliisque permultis in locis, ubi isto sensu accipi nullo modo potest.

Ver. 29. —— κύνες ὑλακόμωροι.] Ὁ μὲν Ἀρίσταρχος, ὀξύφωνοι· κρεῖσσον δὲ ἀποδιδόναι, οἱ περὶ τὴν ὑλακτῖν μεμωρημένοι, ὅ ἐστι πεπονηρίνοι. *Schol.* Simili ratione voces ἰγχεσιμώρους, ἰόμωροι exponuntur τοὺς περὶ τὰ ἴγχεα μεμωρηκότας· et, Οἱ περὶ ἰὸς καὶ τόξα μεμωρημένοι· *Iliad.* β'. 692. δ'. 242. Quod autem addit *Eustathius;* ἢ καὶ οἱ περὶ ὑλακὴν καὶ φυλακὴν ὄντες, παρὰ τὴν ὤραν, τὴν φυλακὴν· planè ridiculum.

Ver. 30. Οἱ μὲν κεκλήγοντες ἐπέδραμον.] Sic apud *Theocritum;*

Τὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἰλῇ ἐνόησαν, —
Θεσπίσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος. *Idyll.* XXV. 68. 70.

Ibid. —— κεκλήγοντες.] Vide ad *Il.* β'. 314. et γ'. 31. *Al.* κεκληγῶτες.

Ibid. —— αὐτὰρ Ὀδυσσεὺς Ἕζετο κερδοσύνῃ.] Φυσικὸν φησὶν βρέφθημα πρὸς ἀπόδρασιν κυνῶν, τὸ καθεσθῆναι καὶ κρύπτειν τὴν ῥάβδον, ὡς μὴ ἐπιτιθέμενον. *Schol.* et *Eustath.* Similitèr *Plutarchus;* Ἡμέρᾳ μὲν ἔμφασιν ὁμῷ καὶ ὑψηλῷ φρονήματος ποιοῦσιν οἱ κύνες, ἀποστρεπόμενοι τῶν συγκαθιζομένων· ὡς πω καὶ ταῦτα εἴρηται· "Οἱ "μὲν κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς "Ἕζετο κερδοσύνῃ· σκῆπτρον δέ οἱ ἔκπεσε χει"ρός." Οὐκέτι γὰρ προσμάχονται τοῖς ὑποστοῦσι καὶ γεγονόσι ταπεινοῖς τὰς ἕξεις ὁμοίοις. *De Solertiâ Animalium.* Et *Plinius* de canibus; "impetus eorum (inquit) et sævitia miti-"gatur ab homine considente humi." *Nat. Hist. lib.* VIII. *cap.* 40. Notandum tamen apud Poëtam neque istâ ratione tutum fuisse Ulyssem, nisi Subulcus etiam canes vi abegisset; *ver.* 32. 35.

Ver. 31. —— σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.] Οὐ διὰ φόβον, ἀλλὰ ἑκὼν ἔρριψεν αὐτὸν. *Schol.*

Ver. 35. Τοὺς μὲν ὁμοκλήσας σεῦεν κυνάς.] Sic apud *Theocritum:*

Τὺς μὲν ὅς λάσσοιν, ἀπὸ χθονὸς ὄσσον ἀείρων,
Φευγίμεν ἀψ ὀπίσω δεδιδέσκετο· τρηχὺ δὲ φωνῷ
Ἠπύλει μάλα πᾶσι, βρηθύσασκε δ' ὑλαγμῷ.
Idyll. XXV. 73.

Ibid. —— ἄλλυδις ἄλλῃ.] *Al.* ἄλλοθις ἄλλον.

Digitized by Google

Ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενος που ἐδωδῆς
Πλάζετ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε, πόλιν τε,
Εἴπε ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
Ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς 45
Σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμὸν,
Εἴπῃς, ὁππόθεν ἐσσὶ, καὶ ὁππόσα κήδε' ἀνέτλης.
Ὣς εἰπὼν κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός·
Εἷσεν δ' εἰσαγαγὼν, ῥῶπας δ' ὑπέχευε δασείας·
Ἐστόρεσεν δ' ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγὸς, 50
Αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ· χαῖρε δ' Ὀδυσσεὺς,
Ὅττι μιν ὣς ὑπέδεκτο· ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζε·
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
Ὅ,ττι μάλιστ' ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 55
Ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
Ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διὸς εἰσὶν ἅπαντες
Ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε φίλη τε
Γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν,

" Ad-comedendum : at ille egens alicubi cibi
" Vagatur apud alienorum virorum populumque, urbemque ;
" Sicubi adhuc vivit, et videt lumen solis.
" Verùm sequere, ad casam eamus, senex, ut et ipse 45
" Cibo et vino saturatus in animo,
" Dicas, undè sis, et quot dolores toleraveris."
Sic locutus ad casam præivit nobilis subulcus;
Collocavitque *illum* introductum; virgulta autem substravit densa;
Instravitque pellem villosæ agrestis capræ, 50
Ibidem cubile-*ut-esset*, magnum et densum: gaudebat autem Ulysses,
Quòd ipsum sic exciperet; verbumque dixit, et compellavit;
" Jupiter tibi det, hospes, et immortales dii alii
" Quodcunque maximè velis, quia me lubens excepisti."
Illum autem respondens allocutus es, Eumæe subulce; 55
" Hospes, non mihi fas est, neque si pejor te venerit,
" Hospitem indignè-tractare; à Jove enim sunt omnes
" Hospitesque, pauperesque; munus verò exiguumque, charumque
" Est nostrum: hic enim servorum mos est,

Ver. 43. —— δῆμον τε, πόλιν τε.] Vide ad *Il.* β'. 547.

Ver. 46. Σίτου καὶ οἴνοιο.] *Al.* Οἴνου καὶ σίτοιο.

Ver. 48. Ὣς εἰπὼν, κλισίηνδ' ἡγήσατο.]

Dixit, et angusti subter fastigia tecti
Ingentem Æneam duxit; stratisque locavit,
Effultum foliis et pelle Libystidis ursæ.
Æn. VIII. 366.

Ver. 50. —— ἰονθάδος.] Δασείας, ἴονθαι γὰρ αἱ ῥίζαι καὶ ἐκφύσεις τῶν τριχῶν. *Schol.* Ἰσέον δὲ ὅτι ἐν τῷ περὶ ὀπωπασίας ἠλικιῶν γράφει ὁ γραμματικὸς Ἀριστοφάνης —— περὶ ἰονθάδος Ὁμηρικῶν, —— ὅτι ἐφ' ἡλικίας τινὸς καὶ μεγίθους αὐτὸ φησὶν ὁ Ποιητής. *Eustath.* ad ι'. 221.

Ver. 54. —— ὑπέδεκο.] *Al.* ὑπεδέξω.

Ver. 56. —— ἔλθοι.] *Al.* ἔλθῃ.

Ver. 57. —— πρὸς γὰρ Διὸς εἰσὶν ἅπαντες Ξεῖνοι.] Vide suprà ad ζ'. 207. et ι'. 269. 270.

Ver. 58. —— δόσις δ' ὀλίγη τε φίλη τε.] Vide suprà ad ζ'. 288. et ad *Il.* α'. 167.

Digitized by Google

Αἰεὶ δειδιότων, ὅτ' ἐπικρατέωσιν ἄνακτες 60
Οἱ νέοι· ἦ γὰρ τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν,
Ὅς κεν ἔμ' ἐνδυκέως ἐφίλει, καὶ κτῆσιν ὄπασσεν,
Οἷά τε ῷ οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
Οἶκόν τε, κλῆρόν τε, πολυμνήστην τε γυναῖκα,
Ὅς οἱ πολλὰ κάμησι, θεὸς δ' ἐπὶ ἔργον ἀέξει· 65
Ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἐπὶ μίμνω.
Τῷ κέ με πόλλ' ὤνησεν ἄναξ, εἰ αὐτόθι ἐγήρα·
Ἀλλ' ὄλεθ· ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
Πρόχυν, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσεν·
Καὶ γὰρ ἐκεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς 70
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Ὡς εἰπὼν, ζωστῆρι θεῶς συνέεργε χιτῶνα·
Βῆ δ' ἴμεν ἐς συφεοὺς, ὅθι ἔθνεα ἔρχατο χοίρων·
Ἔνθεν ἑλὼν δύ' ἔνεικε, καὶ ἀμφοτέρους ἱέρευσεν·
Εὖσέ τε, μίστυλλέν τε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν· 75

" Semper timentium, cùm dominentur heri 60
" Juvenes: certè enim illius quidem dii reditum impedierunt,
" Qui me studiosè dilexisset, et possessionem dedisset,
" Qualia scilicèt suo famulo dominus benignus dederit,
" Domumque, et facultates, et multùm-ambitam uxorem;
" Qui ei multùm laboraverit, cuique Deus laborem incremento adjuverit: 65
" Ut et mihi hic labor incrementum-habet, in quo versor.
" Ideò me multùm juvisset dominus, si hîc senesceret;
" Sed periit: utinam Helenæ genus periisset
" Funditùs; quoniam multorum virorum genua solvit:
" Etenim ille ivit Agamemnonis propter honorem 70
" In Ilium aptum-equis, ut Trojanos oppugnaret."
Sic locutus, cingulo celeritèr constringebat tunicam:
Perrexitque ire ad suilia, ubi greges conclusi erant porcorum:
Illinc sumptos duos attulit, et ambos mactavit;
Ustulavitque, concidditque, et verubus infixit: 75

Ver. 60. —— ὅτ' ἐπικρατέωσιν ἄνακτες Οἱ νέοι.] *Eustathius* per istud ἄνακτες νέοι Proceos intelligit. Τὸ δὲ "ἐπικρατέωσιν ἄνακτες" εὐφήμως περὶ μνηστήρων ἔφη· Dna. *Dacier* autem hoc de *Telemacho* accipiendum contendit: ut opinor, minùs rectè.

Ibid. —— ἐπικρατέωσιν.] Apud *Eustathium*, ἐπικρατέωσιν.

Ver. 61. —— τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν.] Id est, Κατέδησαν τούτου τὸν νόστον· Ut rectè notavit *Barnesius*.

Ver. 62. Ὅς κεν ἔμ' ἐνδυκέως ἐφίλει, καὶ κτῆσιν ὄπασσεν.] *Barnesius* malè vertit, "Qui "me valdè diligebat, et possessionem procul-"dubio dedisset." Ac si particula κεν utrumque vocabulorum ἐφίλει et ὄπασσεν non æquè respexisset.

Ver. 65. —— ἀέξει.] *Al.* ἀέξῃ.

Ver. 66. —— ᾧ ἐπὶ μίμνω.] *Al.* ᾧ ἐπιμίμνω.

Ver. 68. Ἀλλ' ὄλεθ· ὡς ὤφελλ'.] Καὶ ὤφειλε μὲν ἐνταῦθα εἰπεῖν ὅτι διὰ τὴν Ἑλένην· ὁ δὲ ἄλλως διὰ λύσσαν ἄκραν σχηματίσας τὸν τοιοῦτον λόγον εἰς ἄρας, φησὶν· "ὡς ὤφελλ' Ἑλένης τῶ." *Eustath.*

Ver. 69. Πρόχυν.] Νῦν, παντελῶς. *Schul.* Quod autem de hoc versu annotat *Eustathius*; Τὸ δὲ "ὑπὸ γούνατ' ἔλυσε" δοκεῖ ἀντιθέτως εἰρῆσθαι πρὸς τὸ "Πρόχυν," ἵνα πως λίγῃ, ὡς ἐπὶ γόνυ πίπτει τὸ τῆς Ἑλένης φῦλον, ἐπεὶ πολλῶν ὑπὸ γούνατ' ἔλυσε· id verò subtilius videtur.

Ver. 72. —— συνέεργε.] *Al.* ἐπέεργε.

Ver. 75. Εὖσε τε, μίστυλλέν τε.] *Al.* Εὖσεν, μίστυλλέν τε.

Digitized by Google

Ὀπτήσας δ' ἄρα πάντα φέρων παρέθηκ' Ὀδυσῆϊ,
Θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν·
Ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
Αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα·
Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι 80
Χοίρε· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
Οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητύν.
Οὐ μὲν σχέτλια ἔργα Θεοὶ μάκαρες φιλέουσιν,
Ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων.
Καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵτ' ἐπὶ γαίης 85

Assata autem omnia, ferens apposuit Ulysei,
Calida ipsis in-verubus; farinamque albam inspersit;
In poculo autem miscebat dulce vinum:
Ipse verò ex-adverso sedit; adhortansque allocutus est;
" Comede nunc, ô hospes, qui utique servis adsunt, 80
" Porculos; at pingues sanè sues proci comedunt,
" Non ultionem-divinam habentes in mentibus, neque misericordiam.
" Haud quidem improba opera Dii beati amant,
" Sed justitiam honorant, et æqua opera hominum.
" Etiam hostes quidem et inimici, qui terram 85

Ver. 76. Ὀπτήσας δ' ἄρα πάντα.] Vide suprà ad β'. 300. et ad *Il.* ά. 466.

Ver. 77. —— πάλυνεν.] Vide ad *Il.* ά. 309. et 338.

Ver. 78. —— κισσυβίῳ.] Ἀβρεπικῷ ἐκπώματι. *Schol.* Vide infrà ad *ver.* 112.

Ibid. —— κίρνη μελιηδέα οἶνον.] Ἤγνυ συνίμιξεν ὕδατι. *Eustath.* *Al.* κίρνα.

Ver. 81. Χοίρε· ἀτὰρ σιάλους γε σύας.] Ὅτι διαφορά τις εἶναι δοκεῖ χοίρων καὶ συῶν, ὡς ἐμφαίνει ὁ Εὔμαιος· —— καὶ ἴσως ἡ καθ' ἡλικίαν ἡ διαφορὰ τοῖς χοίροις καὶ τοῖς σιάλοις· ἢ κατὰ τὸ ζέ]ρεφίας μὲν εἶναι τοὺς σιάλους, —— ὀλιγοτρεφῆς δὲ τοὺς χοίρους. *Eustath.* Ἦν δὲ καὶ παλαιὸς νόμος, ὡς φησὶν Ἀνδροτίων, τῆς ἐπιγονῆς ἕνεκα τῶν θρεμμάτων, μὴ σφάττειν τρόφατον ἄπαιον ἢ ἄποκον· διὸ τὰ ἤδη τέλεια ἤσθιον. "—— ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι." *Athenæus, lib.* IX. *cap.* 4.

Ver. 82. Οὐκ ὄπιδα φρονέοντες.] Ὄπιδα, τὴν ἐκ τὸ μέλλον τῶν θεῶν ἐπιστροφήν. *Schol.* Ita infrà ό. 215.

Οὐδ' ὄπιδα τρομέουσι θεῶν ——.
Et φ'. 28.

—— οὐδὲ θεῶν ὅπιν ᾐδέσατ' ——.

At sperate Deos memores fandi atque nefandi. *Æn.* I. 543.

Vide et ad *Il.* π'. 388.

Ibid. —— φρονέοντες.] *Al.* τρομέοντες.

Ver. 83. Οὐ μὲν σχέτλια ἔργα Θεοὶ μάκαρες φιλέουσιν.]

Ἔβριν γὰρ ἐν τέρψουσιν οὐδ' οἱ δαίμονες.
Sophocl. Trachin. ver. 283.

Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν ——.
Euripid. Helen. ver. 909.

Nec facta impia fallacum hominum Cœlicolis placent.
Catul. Carm. XXX. *ver.* 4.

Τῆς δὲ προνοίας τῶν θεῶν ἴδιον ἐστὶ τὸ βούλεσθαι δικαίους τοὺς ἀνθρώπους βιῶν· καὶ τοῦτο φησὶν ὁ Ποιητὴς ἐναργέστατα, " Οὐ γὰρ σχέτλια ἔργα " &c." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 14. Ubi notandum, pro Οὐ μὲν σχέτλια, legisse hîc *Dionysium*, Οὐ γὰρ σχέτλια &c.

Ver. 84. Ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων.] Versus hic (notante *Duporto*, *Gnomolog. Homeric. ad hunc locum:* itemque *Barnesio*) apud *Grotium* in *Stobæi Excerptis* legitur hoc modo:

Ἀλλὰ δίκην τίουσι, καὶ ἴσασιν ἔργ' ἀνθρώπων.

Quod ferri non potest: Nam vox ἴσασιν mediam necessariò producit. Nisi fortè legas (conjectante *Barnesio*) καὶ ἴσασ' ἔργ' ἀνθρώπων.

Ver. 85. 88. Καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, —— Καὶ μὲν τοῖς.] De hujusmodi Syntaxi ἀναπολύθῳ, vide ad *Il.* β'. 353. et γ'. 211. Σημείωσαι δ' ἐνταῦθα τὸ ἀπαλλάλληλον τῆς συντάξεως καὶ σολοικοειδὲς ἐν τῷ " Καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι· Καὶ μὲν τοῖς ὄπιδος πρᾶστερον δίος." Ἐχρῆν γὰρ εἶναι κατὰ δοτικὴν πλῶσιν, " Καὶ μὲν δυσμενέσσι καὶ ἀναρσίοις ὄπιδος ἐστὶ δίος." Μιμεῖται δὲ ὁ Ποιητὴς ἐνταῦθα θυμόμετον ἄνδρα τὸν Εὔμαιον. *Eustath.* Aliam autem deinceps hujus loci explicandi

Digitized by Google

Ἀλλοτρίης βῶσιν, καί σφιν Ζεὺς λῃΐδα δώῃ,
Πλησάμενοι δέ τε νῆας ἔβαν οἶκονδε ἕκαστος·
Καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει·
Οἴδε δὲ καί τι ἴσασι, Θεοῦ δέ τιν' ἔκλυον αὐδὴν,
Κείνου λυγρὸν ὄλεθρον, ὅτ' οὐκ ἐθέλουσι δικαίως
Μνᾶσθαι, οὐδὲ νέεσθαι ἐπὶ σφέτερ'· ἀλλὰ ἕκηλοι
Κτήματα δαῳδάπτουσιν ὑπέρβιον, οὐδ' ἔτι φειδώ.
Ὄσσαι γὰρ νύκτες τε, καὶ ἡμέραι ἐκ Διός εἰσιν,
Οὔποθ' ἕν ἱερεύουσ' ἱερήϊον, οὐδὲ δύ' οἴω·
Οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
Ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος· οὔτιν τόσση

" Alienam invaserint, et ipsis Jupiter prædam dederit,
" Impletisque navibus redierint domum unusquisque;
" Etiam his quidem ultionis ingens metus animis incidit:
" Hi verò etiam aliquid sciunt, Deique aliquam audiêrunt vocem,
" Illius tristem mortem; quandoquidem nolunt ritè
" Ambire, neque redire ad sua: sed tranquilli
" Bona absumunt immodicè, neque ampliùs *est* parsimonia,
" Quotquot enim noctesque et dies à Jove oriuntur,
" Nunquam unam mactant victimam, neque duas solas;
" Vinum verò consumunt immoderatè exhaurientes.
" Certè ei victus erat copiosus: nullî taptus

---

rationem addit: Ἴσως δὲ καὶ ἄλλως δύναται ὀρθῶς ἔχειν, εἴπερ τὸ διύστερον " μὲν" ληφθείη ἀντὶ τοῦ " ἀλλὰ" ἵνα εἴποι μὴ ἐκπρεπῶς ἀλλὰ ἀπολύτως, ὅτι καὶ μὲν ἀνάρσιοι ἄνδρες πλήσαντες δὴ τὰς νῆας, ἀπῆλθον· ἀλλὰ καὶ τούτοις δίος ἐστὶν ὄπιδος. Quod est valdè inficetum. Ita tamen accipisse videtur *Meric. Casaubonus;* " Procorum," inquit, " iniquitatem Eu- " mæus Subulcus exaggerans, ait eos esse " pejores piratis hostibus, qui, factâ in ter- " ram aliquam impressione, contenti naves " suas spoliis implevisse, quasi divinam ul- " tionem aliquatenùs reveriti, aliò se con- " ferunt; nec terris, quas semel spoliave- " runt, incubant et incumbunt; quod con- " trà fiebat à Procis, quotidianis hostibus " et spoliatoribus domûs Ulyssis." *De nuperâ Homeri editione, Dissertat.* I. Eandemque interpretationem secutus videtur *Barnesius:* ac si istud Πλησάμενοι δέ τε νῆας &c. *ver* 87. sententiæ esset ἀπόδοσις. Sed errant viri eruditi: hoc enim ait Poëta; nempè, " *Ter-* " *ræ alienæ populatoribus, etiam si prædam fe-* " *licitèr nacti fuerint, domumque incolumes re-* " *dierint; metum tamen in posterum ultionis* " *animo incidere; Procos autem omni vindictæ* " *metu carere.*"

Ver. 86. —— βῶσιν.] Ἐπέλθωσιν ἐπὶ βόσιν. *Schol.*

Ibid. —— δώῃ.] *Al.* δοίη.

Ver. 87. —— οἶκονδε ἕκαστος.] *Eustathius* in commentario citat, οἶκονδε νέεσθαι Atque ita in duobus MSS. scriptum reperit *Tho. Bentleius.*

Ver. 89. Οἴδε δὲ καί τι ἴσασι.] Ita edidit *Barnesius.* Vulgati habent, Οἴδε δὲ τι ἴσασι. Quod est valdè durum.

Ver. 90. 91. —— οὐκ ἐθέλουσι δικαίως Μνᾶσθαι —— ἀλλὰ ἕκηλοι Κτήματα δαῳδάπτουσιν.] Hinc *Horatius;*

Venit enim magnum donandi parca juventus; [culinæ.
Nec tantum Veneris quantum studiosa

Vel, uti emendavit eruditissimus *Bentleius*,

Venit enim (indignum!) donandi &c.
Sermon. lib. II. v. 79.

Ver. 92. —— οὐδ' ἔτι φειδώ.] *Al.* οὐκ ἔτι φειδώ. Sed " ita scribendo, (ut rectè *Henricus Stephanus*), " esset asyndeton." *Al.* οὐδ' ἔτι φειδώ.

Ver. 94. Οὔποθ' ἕν ἱερεύουσ'.] *Al.* ἱερεύουσ'· Ut infrà ὑ. 3. ἱερεύεσκον. Atque eodem modo fortassè et ἱερεύουσ' pronuntiabatur.

Ibid. —— ἱερήϊον.] Vide ad *Il.* χ'. 159.

Ibid. —— δύ' οἴω.] *Al.* οἶω. Quod perindè est. Vide ad *Il.* ά. 566.

Ver. 96. Ἦ γάρ οἱ.] *Al.* Ἦ γάρ τοι.

Digitized by Google

Ἀνδρῶν ἡρώων, ὅτ' Ἠπείροιο μελαίνης,
Οὔτ' αὐτῆς Ἰθάκης, ὅστε ξυνεείκοσι φωτῶν
Ἔστ' ἄφενος τοσσῆτον· ἐγὼ δέ κε τοι καταλέξω·
Δώδεκ' ἐν Ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν, 100
Τόσσα συῶν συβόσεια, τόσ' αἰπόλια πλατέ, αἰγῶν
Βόσκεσι ξεῖνοί τε, καὶ αὐτῆ βώτορες ἄνδρες.
Ἔνθα δέ τ' αἰπόλια πλατέ' αἰγῶν ἕνδεκα πάντα
Ἐσχατιῇ βόσκουσ'· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρονται.
Τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ, 105
Ζατρεφέων αἰγῶν, ὅς τις φαίνηται ἄριστος.
Αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε, ῥύομαί τε,
Καί σφι συῶν τὸν ἄριστον εὖ κρίνας ἀποπέμπω.
Ὣς φάθ'· ὁ δ' ἐνδυκέως κρέα τ' ἤσθιε, πῖνέ τε οἶνον
Ἀρπαλέως, ἀκέων· κακὰ δὲ μνηστῆρσι φύτευεν. 110
Αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤρατο θυμὸν ἐδωδῇ,
Καί οἱ πλησάμενος δῶκε σκύφος, ᾧ περ ἔπινεν,

" Virorum heroûm, neque continentis nigræ,
" Neque ipsius Ithacæ, neque simul-viginti virorum
" Sunt divitiæ tantæ: ego verò tibi recensebo:
" Duodecim in continente armenta *sunt*: tot greges ovium, 100
" Tot suûm pascua, tot stabula lata caprarum,
" Pascunt hospitesque, et ipsius pastores viri.
" Hîc autem stabula lata caprarum undecim omnia
" In extremo-agri pascuntur; virique boni custodiunt.
" Quorum semper ipsis unusquisque in-dies pecudem fert, 105
" Saginatorum caprorum, quicunque appareat optimus.
" At ego sues has custodioque, tueorque,
" Et ipsis suûm optimum benè-selectum mitto."
Sic dixit: ille autem intentè carnes comedebat, bibebatque vinum
Avidè, tacitus; mala autem procis moliebatur. 110
At postquam cœnâsset, et refecisset animum cibo,
Etiam ei impletum dedit *Eumæus* poculum, quo scilicèt bibebat,

---

Ver. 97. —— Ἠπείροιο μελαίνης.] Τῆς κατ' ἀντικρὺ Κεφαλληνίας νῦν λέγει. μέρος δὲ ἐστὶ τῆς μελαίνης Ἠπείρου αὕτη καί μετ' ὀλίγον ἐπιφέρεται, " Δώδεκ' ἐν Ἠπείρῳ ἀγέλαι." *Schol.* Vide *Strabonem*, *Geographi. lib.* X. *pag.* 695. *al.* 453.

Ver. 100. —— ἀγέλαι.] Βοῶν δηλαδὴ· ἴσως δὲ καὶ ἵππων· ἐπ' ἀμφοῖν γὰρ φασὶν ἡ ἀγέλη κυριολεκτεῖσθαι. *Eustath.*

Ibid. —— πώεα οἰῶν.] Apud *Strabonem*, loco suprà citato, πώεα μήλων.

Ver. 101. —— συβόσεια.] Ita edidit *Barnesius*; atque ita apud *Veteres* legi annotat. *Vulgg.* συβόσια.

Ver. 103. —— ἕνδεκα πάντα.] Vide suprà ad *ι*. 244. et ad *Il. κ'*. 560.

Ver. 106. Ζατρεφέων αἰγῶν.] *Henricus Stephanus* legendum conjicit Ζατρεφέων τ' αἰγῶν.

Ver. 108. —— εὖ κρίνας.] Ita *Barnesius*. *Al.* εὐκρίνας.

Ver. 111. —— δόιανησι.] Vide suprà ad *δ'*. 535.

Ver. 112. Καί οἱ πλησάμενος δῶκε σκύφος ᾧ περ ἔπινεν.] Ἀσκληπιάδης δὲ ὁ Μυρλιανὸς ἐν τῷ περὶ τῆς Νεοφίδος φησὶν, ὅτι τῷ σκύφει καὶ τῷ κισσυβίῳ τῶν μὲν ἐν ἄεσι καὶ μετρίων ἐδεῖς ἐχρῆτο, συδῶται δὲ καὶ νομῆς καὶ οἱ ἐν ἀγρῷ, ὡς ὁ Εὔμαιος " πλησάμενος δῶκε σκύφος ὥπερ ἔπι-" νεν." *Athenæus*, *lib.* XI. *cap.* 14. Vide et suprà ad *γ'*. 57. Cæterùm *Eustathius* hoc de *Ulysse* intelligit, qui, postquam ipse biberit, poculum *Eumæo* tradat. Ἰτέον δὲ (inquit) ὅτι Ὀδυσσεὺς ἐνταῦθα δίδωσι σκύφον

Digitized by Google

Οἶνον ἐνίπλεον· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν ἑοῖσιν, 115
Ὧδε μάλ' ἀφνειὸς καὶ παρτερὸς, ὡς ἀγορεύεις;
Φῆς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς.
Εἰπέ μοι, αἴκε πόθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ τε τόγε οἶδε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Εἰ κέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ' ἀλήθην. 120
Τὸν δ' ἠμείβετ' ἔπειτα συβώτης, ὄρχαμος ἀνδρῶν·
Ὦ γέρον, ὅττις ἐκείνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν
Ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱόν.
Ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
Ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι. 125
Ὅς δ' ἂν ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
Ἐλθὼν ἐς δέσποιναν ἐμὴν, ἀπατήλια βάζει·
Ἡ δ' εὖ δεξαμένη φιλέει, καὶ ἕκαστα μεταλλᾷ·
Καί οἱ ὀδυρομένῃ βλεφάρων ἀπὸ δάκρυα πίπτει,

Vino plenum: is verò accepit, gaudebatque animo,
Et ipsum compellans verbis alatis allocutus est;
" O amice, quisnam te emit possessionibus suis, 115
" Ita valdè dives et fortis, ut prædicas?'
" Dicis autem ipsum periisse Agamemnonis propter honorem.
" Dic mihi, si fortè nôrim, talis cùm-fuerit.
" Jupiter enim hoc scit, et immortales dii alii,
" Si de-eo viso nuntium-ferre-possim; per multa etenim loca erravi." 120
Huic autem respondit deindè subulcus, princeps virorum;
" O senex, nullus illum vir vagatus ubi-venerit
" Nuncians persuaserit uxorique et dilecto filio.
" Sed alitèr receptionis indigentes viri errones
" Mentiuntur, neque volunt vera loqui. 125
" Quicunque enim errans Ithacæ in populum venerit,
" Profectus ad dominam meam, fallacia loquitur:
" Hæc verò benignè exceptum diligit, et singula inquirit;
" Et ei lugenti palpebris lachrymæ decidunt;

τῷ Εὐμαίῳ, δεξιόμενον· κατὰ τὸν τῦ προπίνων λόγον. Atque hanc veram omninò explicationem contendit Dna. *Dacier*. Sed minùs rectè. Primò enim istud " ὅστις " ἔπινον" non est, (uti illi accipiunt), *ex quo ipse jam* " *biberat:*" sed, *ex quo ipse* " *bibere solebat:*" (vide ad *Il. ά.* 37.) quod de *Ulysse* dici vix potuit. Deindè, si illud " ὁ δ' ἰδέξατο, χαῖρε δὲ θυμῷ," (quod volunt *Eustathius* et Dna. *Dacier*) de *Eumæo* intelligatur; etiam sequens " Καί μιν φω- " νήσας ὥς." de eodem intelligendum erit. Rectiùs itaque *Athenæus*, loco jam suprà citato, itemque *Barnesius*, istud " πλη- " σάμενον δῶκε σκύφον," de *Eumæo* accipiunt.

Ibid. —— σκύφος.] *Aristarchus* apud *Athenæum, lib.* XI. *cap.* 4. legit σκύφον.

Ver. 115. Ὦ φίλε, τίς γάρ σε.] *Barnesius* legendum conjicit, τίς κ' ἄρ σε. Vide autem suprà ad κ'. 174. 190. et ad *Il. ά.* 201.

Ver. 117. —— φθίσθαι.] *Al.* φθέσθαι. Vide et suprà ad β'. 183.

Ver. 126. Ὅς δ' ἂν ἀλητεύων.] *Al.* Ὅς δέ κ' ἀλητεύων.

Ibid. —— Ἰθάκης ἐς δῆμον.] Vide suprà ad *ά.* 103.

Digitized by Google

Ἦ, θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ' ὄληται. 130
Αἶψά κε καὶ σὺ, γεραιὲ, ἔπος παρατεκτήναιο,
Εἴτις τοι χλαῖναν τε, χιτῶνά τε, εἵματα δοίη.
Τῷ δ' ἤδη μέλλουσι κύνες ταχέες τ' οἰωνοὶ
Ῥινὸν ἀπ' ὀστεόφιν ἐρύσαι· ψυχὴ δὲ λέλοιπεν·
Ἠ τόν γ' ἐν πόντῳ φάγον ἰχθύες, ὀστέα δ' αὐτῷ 135
Κεῖται ἐπ' ἠπείρῳ, ψαμάθῳ εἰλυμένα πολλῇ.
Ὡς ὁ μὲν ἔνθ' ἀπόλωλε· φίλοισι δὲ κήδε' ὀπίσσω
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ' ἄλλον
Ἤπιον ὧδε ἄνακτα νιχήσομαι, ὁππόσ' ἐπέλθω·
Οὐδ' εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι 140
Οἶκον, ὅθι πρῶτον γενόμην, καί μ' ἔτρεφον αὐτοί.
Οὐδέ τι τῶν ἔτι τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὀφθαλμοῖσιν ἰδέσθαι, ἐών ἐν πατρίδι γαίῃ·
Ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ ἐ παρεόντ' ὀνομάζειν 145

" Qui mos est mulieris, cùm maritus alibi perierit. 130
" Statim et tu, senex, fabulam fabricares,
" Si quis tibi lænamque, tunicamque, vestimenta daret.
" Illius autem jam oportet canes velocesque alites
" Cutem ab ossibus traxisse; anima verò destituit:
" Vel illum sanè in ponto comederunt pisces, ossa autem ipsius 135
" Jacent in littore, arenâ involuta multâ.
" Sic ille quidem illic periit; amicis verò dolores ponè
" Omnibus, mihi autem maximè, effecti-sunt: non enim ampliùs alium
" Mitem adeò dominum inveniam, quocunquè profectus-fuero;
" Neque si *ad* patris et matris iterùm ivero 140
" Domum, ubi primùm natus sum, et me educaverunt ipsi.
" Neque omninò *ob*-hos ampliùs tantùm lugeo, dolens licèt,
" Oculis ut-videam, existens in patriâ terrâ;
" Sed me Ulyssis desiderium capit absentis.
" Hunc quidem ego, ô hospes, etiam non præsentem nominare 145

Ver. 133. Τῷ δ' ἤδη μέλλουσι κύνες.] Heu! terrâ ignotâ, canibus data præda Latinis
Alitibusque jaces ——. *Æn.* IX. 485.

Ver. 134. —— ἐρύσαι.] *Al.* ἐρύειν.

Ver. 135. Ἠ τόν γ' ἐν πόντῳ.]
—————— aut gurgite mersum
Unda feret; piscesque impasti vulnera lambent. *Æn.* X. 559.

Ver. 141. —— αὐτοὶ.] Apud *Eustathium* δεῦ.

Ver. 142. Οὐδέ τι.] *Al.* Οὐδέ νυ et Οὐδ' ἄρα.

Ibid. —— ἀχνύμενος περ.] MS. à *Tho. Bentleio* collatus, ἱέμενος περ. Quod et aptiùs congruit cum sequente, Ὀφθαλμοῖσιν ἰδέσθαι.

Ver. 145. Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καί ἐ παρεόντ' ὀνομάζειν Αἰδέομαι.] Φησὶν, τὸν Ὀδυσσέα φιλοφρονηματικῆς προσηγορίας ὀνομάζειν αἰδοῦμαι· πρεσβύτερον δὲ ἀδελφὸν καλῶ. *Schol.* Τὸ δὲ " ὀνομάζειν αἰδέομαι," ἀντὶ τοῦ αἰδοῦμαι Ὀδυσσέα οὐν καλεῖν πρὸς ὄνομα διχᾷ τινὰς προσρήσεως φιλόφρονος. *Eustath.* Ἐπὶ μὲν γὰρ τῷ μηδένα τῶν Πυθαγορείων ὀνομάζειν Πυθαγόραν, ἀλλὰ ζῶντα μὲν ὑπέστε βύλοντο δηλῶσαι, καλεῖν αὐτὸν θεῖον· ἐπὲ δὲ τελευτήσειν, ἐκεῖνον τὸν ἄνδρα. Καθάπερ Ὅμηρος ἀποφαίνει τὸν Εὔμαιον ὑπὲρ Ὀδυσσέως μεμνημένον, " Τὸν μὲν " ἐγὼν, ὦ ξεῖνε, καὶ ἐ παρεόντ' ὀνομάζειν Αἰ- " δέομαι· περὶ γὰρ μ' ἐφίλει καὶ κήδετο λίην." *Iamblichus de vitâ Pythagoræ, cap.* 35. Nescio tamen annon simplicius fuerit ita locum hunc intelligere: nempè *Eumæum Ulyssis*,

Digitized by Google

Αἰδέομαι· περὶ γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ·
Ἀλλά μιν ἠθεῖον καλέω, καὶ νόσφιν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδέ τι φῆσθα
Κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος· 150
Ἀλλ' ἐγώ οὐκ αὖτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
Ὡς νεῖται Ὀδυσεύς· εὐαγγέλιον δέ μοι ἔστω,
Αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν τὰ ἃ δώμαθ' ἵκηται·
Ἕσσαι με χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
Πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔτι δεχοίμην. 155
Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς Ἀΐδαο πύλῃσι
Γίνεται, ὅς τε νείῃ εἴκων ἀπατήλια βάζει.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἰστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω· 160

" Revereor; valdè enim me diligebat et curabat in-animo:
" Sed ipsum fratrem-majorem voco, etiam longè absentem."
Hunc autem rursùs allocutus est patiens nobilis Ulysses;
" O amice, quandoquidem prorsùs negas, neque omninò dicis
" Illum venturum esse, animus verò tibi semper incredulus: 150
" Verùm ego non temerè loquar, sed cum juramento,
" Quòd redibit Ulysses; munus-læti-nuntii verò mihi sit,
" Statim, postquam ille reversus suas ad ædes pervenerit;
" Indue mihi lænamque, tunicamque, vestimenta pulchra:
" Antè autem, etiam licèt valdè indigens, nequaquam acciperem. 155
" Inimicus enim mihi is æquè ac Orci portæ
" Est, qui egestati cedens fallacia loquitur.
" Sciat nunc Jupiter primùm deorum, hospitalisque mensa,
" Larque Ulyssis eximii, quem adveni;
" Certè quidem hæc omnia perficientur, sicut dico: 160

---

propter eximiam ejus benignitatem et mansuetudinem, etiam absentis mentionem facere nisi cum reverentiâ non posse. Cæterum *Spondanus* istud ὁ παριόντ', ut et οἰχομένου versu superiori, non "*absentem*," sed "*defunctum*," vertendum contendit. Minùs rectè.

Ver. 146. —— περὶ γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ.] "Vel περὶ" (inquit *Henricus Stephanus*) "jungendo cum θυμῷ, ut sit, ἐφίλει γάρ με καὶ κήδετο περὶ θυμῷ· Vel, ἐφίλει θυμῷ, pro ἐν θυμῷ, περὶ id est περισσῶς."

Ver. 151. —— οὐκ αὔτως.] *Al.* οὐχ αὔτως.

Ver. 152. —— εὐαγγέλιον.] Ἀγαθῆς ἀγγελίας δῶρον. *Schol.* Sic infrà *ver.* 166. —— ἔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω.

Ver. 154. Ἕσσαι με χλαῖναν τε.] Deest hic versus in duobus MSS. à *Tho. Bentleio* collatis; neque ejusdem in commentario meminit *Eustathius*.

Ver. 156. Ἐχθρὸς γάρ μοι κεῖνος, &c.]

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
Iliad. i. 312.

Ver. 158. —— ξενίη τε τράπεζα.] Sic apud *Horatium*; "*Umbram hospitalem.*" *Carm. lib.* II. *Ode* iii. *ver.* 10.

Ver. 159. Ἴστω τ' Ὀδυσῆος.] Ita ex MSS. veterumque Editionum Scholiis, ex *Eustathio*, et ex *Etymolog. Magn.* edidit *Barnesius*. Atque ita (uti et ipse annotat) in omnibus scriptum occurrit infrà τ'. 304. Ita etiam legitur apud *Porphyrium*, *Quæst. Homeric.* 2. *Vulgg.* hoc in loco, Ἴστω τ' Ὀδυσῆος. Cæterùm *Scholiastes* explicat, Ὁ βωμὸς τῆς ἱστίας. Vide et *Porphyrium*, loco jam citato.

Digitized by Google

Τῷ δ' αὐτῷ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·
Τῷ μὲν φθίνοντος μηνὸς, τῷ δ' ἱστάμενοιο,
Οἴκαδε νοστήσει, καὶ τίσεται, ὅς κεν ἐκείνε
Ἐνθάδ' ἀτιμάζει. ἄλοχον, καὶ φαείδιμον υἱόν.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 165
Ὦ γέρον, ἤτ' ἄρ' ἐφὴν εὐαγγέλιον τόδε τίσω,
Οὔτ' Ὀδυσεὺς ἔτι οἴκοι ἐλεύσεται· ἀλλὰ ἔκηλος
Πῖνε, καὶ ἄλλα παρὲξ μερνώμεθα, μηδέ με τούτων
Μίμνησκ' ἦ γὰρ θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἄχνυμαι, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος. 170
Ἀλλ' ἤτοι ὅρκον μὲν ἐάσομεν· αὐτὰρ Ὀδυσσεὺς

" Hoc autem ipso anno veniet huc Ulysses;
" Hoc quidem exeunte mense, isto autem instante,
" Domum revertetur, et ulciscetur, quicunque illum
" Hîc probro-afficit uxorem, et illustrem filium."
Hunc autem respondens allocutus es, Eumæe subulce; 165
" O senex, neque profectò ego munus-læti-nuncii hoc solvam,
" Neque Ulysses ampliùs domum veniet: sed quietus
" Bibe, et alia præter-hæc memoremus, neque mihi hæc
" In-mentem-revoca: certè enim animo in pectore meo
" Doleo, quandò aliquis meminerit honorandi domini. 170
" At sanè juramentum quidem omittamus: verùm Ulysses

Ver. 161. Τῷ δ' αὐτῷ λυκάβαντος ἐλεύσεται.] Λυκάβας δὲ ᾧ νῦν ὁ ἰνιαυτός· ἐ μόνον διὰ τὸ λογαίους, ὁ ἐστὶ λιληθότας, καὶ οἷον σοβεινῶς παρέρχεσθαι· ἀλλὰ ᾧ διότι καὶ κύκλῳ ὥδεσιν ἡμέραι, καθ' ὁμοίοτητα διαβάσεως λέκτων, ἀλλήλων ἴχνται. Πιστεύσεται δὲ, φασὶ, τὸν λύκον διαβαίνοντας βίαιον πόλεμον, ἐνδεκάτας τὴν κέρκον τῶν ἀεὶ προηγουμένων τὸν ἐπομένου τιχηδὸν διατήκεσθαι, ᾧ ἔτω μὴ παρασύρεσθαι τῷ ποταμῷ ἄλλον ἄλλαχῦ, ὡς ᾧ Αἰλιανός [*de Animal. lib.* III. *cap.* 6.] ἱστορεῖ. *Eustath.* Alitèr tamen de voce Λυκάβας ipse *Ælianus*: Λίγυες δὲ φίλον ἡλίῳ εἶναι αὐτὸν [λυκὸν]· καὶ διὰ ταῦτα ἀς τιμὴν τὴν τοῦ ζῴου κικλῆσθαι καὶ τὸν ἰνιαυτὸν Λυκάβαντα ἐστὶν οἱ λίγυες χαίρειν δὲ αὐτῷ ᾧ τὸν Ἀπόλλωνα λόγος. *De Animal. lib.* X. *cap.* 26. Et *Macrobius*: " Annum " quoque vetustissimi Græcorum λυκάβαντα appellant, τὸν ἀπὸ τοῦ λύκου, id est Sole, " βαινόμενον καὶ μετρούμενον. Λύκον autem Sol" lem vocari etiam Lycopolitana Thebaï" dos civitas testimonio est; quæ pari reli" gione Apollinem, itemque Lupum, hoc " est Λύκον, colit; in utroque Solem vene" rans." *Saturnal. lib.* I. *cap.* 17.

Ver. 162. Τῷ μὲν φθίνοντος μηνὸς, τῷ δ' ἱστάμενοιο.] Περὶ τριακάδα καὶ νεομηνίαν. *Schol.* " Homerus quoque cùm ait; τῷ μὲν φθί" νοντος μηνὸς, τῷ δ' ἱστάμενοιο quid aliud " nisi illum φθίνοντα dicit, cujus paulatim " deficientis supputatio in nomen desinit " secuturi; et ἱστάμενον illum qui præcedit " numerum successurus priori in defectum " meanti." *Macrob. Saturnal. lib.* I. *cap.* 16. Σιωιδὼν δὲ [ὁ Σόλων] τοῦ μηνὸς τὴν ἀνωμαλίαν, καὶ τὴν κίνησιν τῆς σελήνης, ὅτι δυομένου τοῦ ἡλίου πάντως, ὅσ' ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε φαύνην, ἵνην καὶ νέαν καλεῖσθαι· τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς, τοῦ παυομένου μηνὶ, τὸ δὲ λοιπὸν ἤδη τοῦ ἀρχομένου προσήκειν ἡγούμενος· πρῶτος (ὡς ἔοικεν) ἐθῶς ἀκούσας Ὁμήρου λέγοντος, " Τῷ μὲν φθί" νοντος μηνὸς, τῷ δ' ἱστάμενοιο." Τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσε. *Plutarch. in vitâ Solonis.* Vide et *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 13.

Ver. 163. —— νοστήσει.] *Al.* νοστήσας. Atque ita in duobus MSS. scriptum reperit *Tho. Bentleius.* Quæ et potior videtur lectio.

Ibid. —— ὅς κεν.] *Al.* ὅστις.

Ver. 168. Πῖνε, καὶ ἄλλα.] *Al.* Πῖνε τε, κἄλλα.

Ver. 169. —— θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν Ἄχνυμαι.] *Eustathius* in commentario citat, θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν Ἄχνυται.

Ver. 171. —— ὅρκον μὲν ἐάσομεν.] *Al.* κεῖνον μὲν ἐάσομεν. Ut infrà *ver.* 183. Sed hoc in loco minùs rectè, propter sequentem Αὐτὰρ Ὀδυσσεὺς &c.

Digitized by Google

Ἔλθοι, ὅπως μιν ἔγωγ' ἐθέλω, καὶ Πηνελόπεια,
Λαέρτης θ' ὁ γέρων, καὶ Τηλέμαχος θεοειδής.
Νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ' Ὀδυσσεὺς,
Τηλεμάχυ· τὸν ἐπεὶ θρέψαν θεοὶ, ἔρνεϊ ἶσον, 175
Καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν ἔτι χερείω
Πατρὸς ἑοῖο φίλοιο, φρένας καὶ εἶδος ἀγητόν·
Τῷ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας,
Ἧέ τις ἀνθρώπων· ὁ δ' ἔβη, μετὰ πατρὸς ἀκουὴν,
Ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ 180
Οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
Νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλώῃ,
Ἦ κε φύγοι, καί κεν οἱ ὑπέρσχοι χεῖρα Κρονίων.
Ἀλλ' ἄγε μοι σὺ, γεραιὲ, τὰ σαυτῷ κήδε' ἔνισπε, 185
Καί μοι τῷτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Ὁππόῃς δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι. 190
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

"Veniat, ut ipsum ego volo, et Penelope,
"Laërtesque senex, et Telemachus deo-par.
"Nunc rursus nati-causâ in-perpetuum lugeo, quem genuit Ulysses,
"Telemachi, quem postquam nutrierant dii, plantæ similem, 175
"Et ipsum putabam fore in viris haud pejorem
"Patre suo charo, mente et specie admirabilem;
"Ejus utique aliquis immortalium læsit mentem intùs æquam,
"Vel aliquis hominum; is autem ivit, ad patris auditionem,
"In Pylum divinam: ei verò proci superbi 180
"Domum venjenti insidias-struunt, ut genus disperet
"Sine-nomine ex Ithacâ Arcesii deo-paris.
"Sed sanè illum quidem sinamus, sive opprimatur,
"Sive effugiat, et eum protegat manu Saturnius:
"Sed age mihi tu, senex, tuas ipsius ærumnas enarra, 185
"Et mihi hoc dic verum, ut benè sciam,
"Quis? undè es virorum? ubi tibi urbs, et parentes?
"Quânam autem in nave venisti? quomodo te nautæ
"Duxerunt in Ithacam? quosnam se esse profitebantur?
"Nequaquam enim te peditem puto huc venisse." 190
Hunc autem respondens allocutus est prudens Ulysses;

Ὀρνὸν δὲ φεῦγε, κἢν δικαίως ἀμύνῃς.
Menander, citatus à Duporto, in Gnomologiâ ad hunc Homeri locum.

Ibid. et *ver.* 183 —— ἐάσομεν.] *Barnesius* scribendum contendit ἐάσομεν. Sed malè. Vide ad *Il.* θ'. 42.

Ver. 176. —— χερείων.] *Al.* χέρειον, vel χερεῖα.

Ver. 177. —— φρένας ἠδ εἶδος.] *Eustathius* in commentario citat, θέμας ἠδ εἶδος.

Ver. 182. Νώνυμον.] Vide ad *Il.* ι'. 227.

Ver. 183. —— ἤ κεν.] *Al.* ἠ κεν.

Ver. 184. —— φύγοι, —— ὑπέρσχοι.] Apud *Eustathium.* φύγῃ —— ὑπέρσχῃ.

Ver. 185. —— σαυτῷ.] *Barnesius* edidit σ' αὐτῷ.

Ver. 190. Οὐ μὲν γάρ τι σε πεζὸν.] Vide suprà ad ι'. 173.

Digitized by Google

Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
Εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἡμὲν ἐδωδὴ,
Ἠδὲ μέθυ γλυκερὸν, πλισίης ἔντοσθεν ἐεῖσι,
Δαίνυσθαί τ' ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἔποιεν, 195
Ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
Οὔτι διαπρήξαιμι, λέγων ἐμὰ κήδεα θυμῷ,
Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα·
Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων,
Ἀνέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι 200
Υἱέες ἐν μεγάροις ἡμὲν τράφεν, ἠδ' ἐγένοντο,
Γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ
Παλλακὶς, ἀλλά με ἶσον ἰθαγενέεσσιν ἐτίμα

" Enimverò tibi ego hæc valdè accuratè enarrabo.
" Esset quidem nunc nobis in *longum*-tempus et cibus,
" Et vinum dulce, casam intra manentibus,
" Epularique quietis, alii autem opus obirent; 195
" Facilè posteà et in annum integrum
" Neutiquam perficerem narrans meas dolores animi,
" Quotquot utique jam omnes deorum voluntate pertuli.
" Ex Cretâ quidem genere glorior *me esse* latâ,
" Viri divitis filium: multi verò et alii 200
" Filii in ædibus et educati sunt, et nati,
" Legitimi ex uxore; me autem empta peperit mater
" Pellex; sed me æquè ac legitimos honorabat

Ver. 193. —— νῶϊν.] Apud *Eustathium*, ἡμῖν, vel ἧμιν.

Ver. 195. —— ἐπὶ ἔργον ἔποιεν.] Id est, ut rectè *Eustathius*, ἔργον ἐφίκοιεν. *Al.* ἐπὶ ἔργα ἔποιεν, et ἐπὶ ἔργα τράποιντο.

Ver. 196. —— ἐς ἐνιαυτὸν ἅπαντα Οὔτι διαπρήξαιμι, λέγων ἐμὰ κήδεα.]

— si prima repetens ab origine pergam,
Et vacet annales nostrorum audire laborum;
Antè diem clauso componet vesper Olympo. *Æn.* I. 374.

Ver. 199. Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων.] " in hoc versu," inquit *Barnesius*, " *Rhythmus* insignis, ut *Odyss. d. ver.* 40. " Ἐκ γὰρ Ὀρέστεω τίστις ἔσσεται Ἀτρείδαο· et " *ver.* 397. Αὐτὰρ ἐγὼν οἶκοιο ἄναξ ἔσομ' " ἠμετέροιο. Item Ψ'. *ver.* 224. Οὐδ' Ἡρα- " κλῆϊ, ὅτ' Εὐρύτῳ Οἰχαλιῆϊ. Et μ'. *ver.* 70. " Ἀργῶ πασιμέλουσα, παρ' Αἰήτεω πολίεσσα. " Talis ille *Simmiæ* in *Gorgo*, apud *Athenæ.* " *lib.* XI. *fol.* 491. Ἀθήρος ὀπόεσσι τρόποις " πλόκαμος πλίκεσι. Item *Antholog. lib.* I. " *cap.* 13. § 16. *fol.* 19. Πεμάζεις τὸν Νάλον " ὁ δ' ἐν δίναις πορεύεται. Item; Τῷ πο- " λυπόθητος τοῦ ἠέλιος Ἀρκαδίου. Hâc " Rhythmi dulcedine capti Neoterici, præ- " sertim *Orientalibus* et *Septentrionalibus* " Linguis ὁμοιοστάτοις cadentibus, sonum " semper sibi similem in Versibus condendis " captabant: quod in *Anglicâ* nostrâ Lin- " guâ, *Gallicâ*, et *Germanicâ* aptiùs quàm " in *Græcâ* aut *Latinâ* conveniet. Verùm " nec *Ovidius* nec *Virgilius* hunc rem in- " tactam reliquerunt, præsertim in ὁμοιο- " τελεύτοις." Vide ad *Il.* ζ'. 236. Caeterùm de totâ hâc narratione *Eustathius*: Εἰδὼς δὲ [ὁ Ποιητὴς] ὡς ἐκ τῶν τοῖς ἱστορεῖν ἀνθρώπων ἱστοριογραφεῖν λόγων ὅτω ψευδῶν, ἀρτύει αὐτὸς ἐν τῷ μέσῳ ἱστορίας τε ἀληθεῖσι καὶ τοπογραφίαις καὶ ἱστορίαις ἐκ ἀλίγοις χρησιμοῖς καὶ λόγῳ ἀξίοις. Ὡραΐζει δὲ καὶ ῥηξοριακὸς καὶ τερπνὸν αὐτὸς ἐν τῷ μέσῳ ἱστορίας τε ἀληθεῖσι καὶ τοπογραφίαις καὶ ἱστορίαις ἐκ ἀλίγοις χρησιμοῖς καὶ λόγῳ ἀξίοις. Ὡραΐζει δὲ καὶ ῥηξοριακὸς καὶ λιβραφίᾳ τὴν διήγησιν. Καὶ ὅλως πολὺ τὸ ἐκπαγωγὸν ἐντίθησι καὶ τῷ τοιούτῳ λόγῳ, ἵνα μὴ διὰ τὴν ψευδῆ πλάσιν ἐξαθυμῶσιν. *Schol.*

Ver. 201. Τίτες ἐν μεγάροις.] *Al.* Τίτε ἐνὶ μεγάροις, et Τίτες ἐν μεγάρῳ.

Ver. 202. —— ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ Παλλακίς.]

Maeonio regi quem serva Lycimnia furtim
Sustulerat ——————. *Æn.* IX. 546.

Ibid. — ὠνητὴ.] Ἐξ ἀφορμῆς δόλῳ. *Schol.*

Ver. 203. —— ἰθαγενέεσσιν.] Τίκτοις γνησίοις. *Schol.* *Al.* Θαυγενέεσσιν.

Digitized by Google

Κάστωρ Ὑλακίδης, τὸν ἐγὼ γένος εὔχομαι εἶναι·
Ὅς ποτ' ἐνὶ Κρήτεσσι, θεὸς ὥς, τίετο δήμῳ, 205
Ὄλβῳ τε, πλέτῳ τε, καὶ υἱάσι κυδαλίμοισιν.
Ἀλλ' ἤτοι τὸν κῆρες ἔβαν θανάτοιο φέρεσσαι
Εἰς Ἀΐδαο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
Παῖδες ὑπέρθυμοι, καὶ ἐπὶ κλήρους ἐβάλοντο·
Αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν, καὶ οἰκὶ ἔνειμαν. 210
Ἠγαγόμην δὲ γυναῖκα πολυπλήρων ἀνθρώπων,
Εἵνεκ' ἐμῆς ἀρετῆς· ἐπεὶ οὐκ ἀποφώλιος ἦα,
Οὐδὲ φυγοπτόλεμος· νῦν δ' ἤδη πάντα λέλοιπεν·
Ἀλλ' ἔμπης καλάμην γέ σ' ὀΐομαι εἰσορόωντα
Γινώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή. 215
Ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ' ἔδοσαν καὶ Ἀθήνη,
Καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε
Ἀνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,

" Castor Hylacides, cujus ego genus glorior *me* esse:
" Qui quondam in Cretensibus, deus veluti, honorabatur populo, 205
" Fortunisque, divitiisque, et filiis gloriosis.
" Sed sanè illum fata iverunt mortis ferentia
" In Orci domos: facultates verò diviserunt
" Filii magnanimi, et sortes jecerunt:
" At mihi valde pauca dederunt, et ædes tribuerunt. 210
" Duxi autem uxorem locupletissimorum hominum
" Gratiâ meæ virtutis; quia non despicabilis eram,
" Neque fugax-in-bello: nunc autem jam omnia defecerunt;
" Sed tamen stipulam saltem te arbitror intuentem
" Cognoscere; profectò enim me calamitas tenet cumulatè multa. 215
" Sanè quidem omninò audaciam Marsque dederunt et Minerva,
" Et vires-bellicas, cùm legerem ad insidias
" Viros optimates, mala inimicis serens;

Ver. 205. Ὅς ποτ'.] *Al.* Ὅς τότ'.
Ibid. —— Κρήτεσσι.] *Al.* Κρήτησι.
Ver. 208. —— ζωὴν.] Πεφυσίαν. *Schol.*
Ver. 209. —— καὶ ἐπὶ κλήρους ἐβάλοντο.] Δῆλον γάρ, ὡς κληρώσεις διενέμοντο οἱ παῖδες τὴν πατρικὴν κτῆσιν. ὅθεν ἡ κληρονομία λέγεται. *Eustath.*
Ver. 214. —— καλάμην γε σ' ὀΐομαι εἰσορόωντα Γινώσκειν.] Πιθανῶς τῷ παραδείγματι. ὡς γὰρ πρὸς ἄγροικον ὄντος τοῦ λόγου ἐστὶ δὶ ἀδίν ἥττον ἐναργές· ὡς γὰρ ἀπὸ τῆς καλάμης ἐνίεν νοῆσαι τὸ κάλλος τῶν τιθεισιμίνων καρπῶν, ὕτως καὶ ἐκ περιβυτικοῦ σώματος τὴν ἀρχαίαν ἐξῆν κατανοῆσαι. *Scholl.* Hinc apud *Erasmum*, Proverbium, *Ex stipulâ cognoscere.* " Ἐκ τῆς καλάμης γνώσεσθαι —— dicitur, " quoties è vestigiis quibusdam in senectâ " reliquis conjecturam facimus, cujusmodi " quis fuerit in adolescentiâ; translatâ me- " taphorâ à segetibus." *Erasm. Adag. Sect. de Conjecturis.* Sic apud *Lucianum*; Ὡς ἐκεῖνα ἀπὸ τῆς καλάμης τεκμαίρεσθαι, *Pseudomantis, haud longè ab initio.* Caeterùm laudat hanc Metaphoram *Aristoteles*: Τὸ γὰρ μανθάνειν ῥᾴδιον, ἅδυ φύσει πᾶσιν ἐστὶ ——. Ἡ δὲ μεταφορὰ ποιεῖ τοῦτο μάλιστα. Ὅταν γὰρ εἴπῃ τὰ γήρας καλάμην, ἐοικέναι μάθησιν καὶ γνῶσιν διὰ τοῦ γένους ἄμφω γὰρ ἀπανθηρόσα. *Rhetoric. lib.* III, *cap.* 10.
Ver. 215. —— δύη.] Κακοπαθεία, καὶ ἡ ἐξ ἐνδείας δυσχερία. *Schol.*
Ver. 217. Καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε.]

Ἐς λόχον· ἔνθα μάλιστ' ἀριστοὶ διακρίνεται ἀνδρῶν,
Ἔνθ' ἔ, τις δειλὸς ἀνὴρ, ὃς σ' ἄλκιμος, ἐξεφαάνθη. *Iliad.* ν'. 277.

Digitized by Google

Οὔποτέ μοι θάνατον προτιδόσκετο θυμὸς ἀγήνωρ,
Ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχεϊ ἕλεσκον 220
Ἀνδρῶν δυσμενέων, ὅ, τε μοι εἴξειε πόδεσσι.
Τοῖος ἔ' ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν,
Οὐδ' οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα·
Ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν,
Καὶ πόλεμοι, καὶ ἄποντες ἐϋξέστοι, καὶ ὀϊστοί, 225
Λυγρὰ, τά τ' ἄλλοισίν γε κατηριγηλὰ πέλονται.
Αὐτὰρ ἐμοὶ τὰ φίλ' ἔσκε, τά κου Θεὸς ἐν φρεσὶ θῆκεν·
Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
Πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν,
Εἰνάκις ἀνδράσιν ἦρξα, καὶ ὠκυπόροισι νέεσσιν, 230
Ἄνδρας ἐς ἀλλοδαπούς· καί μοι μάλα τύγχανε πάντα·

" Nunquam mihi mortem ante oculos ponebat animus generosus,
" Sed multò primus insiliens hastâ occidebam 220
" Virorum inimicorum, quicunque mihi cederet pedibus.
" Talis eram in bello; opus verò mihi haud gratum erat,
" Neque rei-familiaris-cura, quæ scilicèt nutrit claros filios:
" Sed mihi semper naves remigio-instructæ gratæ erant,
" Et bella, et tela benè-polita, et sagittæ: 225
" Tristia, quæ utique aliis horrenda sunt.
" At mihi ea grata erant, quæ scilicèt Deus in animo posuit:
" Alius etenim aliis vir delectatur operibus.
" Antè enim quàm in Trojam profecti sint filii Achivorum,
" Novies viris imperavi, et velocibus navibus, 230
" Viros adversus externos; et mihi abundè contigerant omnia;

Ver. 219. —— προτιδόσκε[ο.] *Porphyrius. Quæst. Homeric.* 16. exponit προεμαντεύετο· *Scholiastes* autem, προείβλεπεν, προσιδέχετο.

Ver. 220. —— ἵλεσκον.] *Al.* ἕλεσκον.

Ver. 222. Τοῖος ἔ' ἐν πολέμῳ.] *Barnesius* legi posse conjicit, Τοῖς ἔην πολέμῳ. Sed nihil opus; quum vox ἔα hoc sensu alibi apud Poëtam occurrat: nempè *Iliad.* δ'. 321. ί. 887. et infrà *ver.* 352. *hujus libri.*

Ibid. —— ἔργον δὲ μοι ὐ φίλον ἔσκεν, Οὐδ' οἰκωφελίη.] Εὖ δὲ καὶ Ὁμήρῳ πεποίηται, " — " ἔργον δὲ μοι ὐ φίλον ἦεν, Οὐδ' οἰκωφελίη, ἥ- " τε τρέφει ἀγλαὰ τέκνα· Ἀλλὰ μοι αἰεὶ νῆες " Ὅς." ὡς τοὺς αὐτοὺς ἀμελοῦντας οἰκίας, καὶ περιερχομένους ἐξ ἀδικίας. *Plutarch. in Catone Majore, haud longè à fine.* Ubi notandum pro φίλον ἔσκεν, legisse hîc *Plutarchum*, φίλον ἦεν. Cæterùm nonnulli, notante *Eustathio*, ἔργον hoc in loco κατ' ἐξοχὴν accipiunt τὴν γεωργίαν μόνην. Atque ita exponit *Scholiastes.*

Ver. 223. Οὐδ' οἰκωφελίη.] Οἰκουρία, οἰκονομία, ἐπιμέλεια. *Schol.*

Σοὶ δ' οἰκωφελίη μελέτω, μέτρον τι φυλάσσειν. *Naumach. Gnom. ver.* 20.

Ver. 226. —— κατηριγηλὰ.] *Al.* κατὰ ῥιγηλὰ, et καταῤῥιγηλὰ.

Ver. 228. Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.] Ἐν τούτοις καὶ γνωμικὴν παροιμίας ἐκπίθεται τῆς λιγύσης, " Ἄλλα πᾶς" " ἄλλοις καλά." *Eustath.*

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἐάνεται.
Archiloch. ap. *Clem. Alexand. Strom.* VI.

ubi et hic *Homeri* locus adducitur.

Ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.
Euripides apud *Eundem, ibid.*

Καὶ γὰρ ἑτέροις ἑτέρων ἔρως
Ἔκνιζέ γε φρένας.
Pindar. Pythior. Ode X. *ver.* 93.

Denique non omnes eadem mirantur amantque.
Horat. Epist. lib. II. ii. 58.

Castor gaudet equis; ovo prognatus eodem,
Pugnis: quot capitum vivunt, totidem studiorum
Millia ——. *Id. Serm. lib.* II. i. 26.
——— trahit sua quemque voluptas.
Virgil. Eclog. II. 65.

Vide et suprà ad Θ'. 167.

Ver. 231. —— πάντα.] MS. à *The. Bentleio* collatus, πολλὰ.

Digitized by Google

Τῶν ἐξαιρεύμην μενοεικέα, πολλὰ δ' ὀπίσσω
Λάγχανον· αἶψα δὲ οἶκος ὀφέλλετο, καί ῥα ἔπειτα
Δεινός τ' αἰδοῖός τε, μετὰ Κρήτεσσι τετύγμην.
Ἀλλ' ὅτε δὴ τήνδε στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Ἐφράσαθ', ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε,
Δὴ τότε μ' ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
Νήεσσ' ἡγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
Ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.
Ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
Τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν
Οἴκαδε σὺν νήεσσι· θεὸς δ' ἐκέδασσεν Ἀχαιούς.
Αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
Μῆνα γὰρ οἷον ἔμεινα τεταρπόμενος τεκέεσσι,
Κουριδίῃ τ' ἀλόχῳ, καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι,
Νῆας ἐῦ στείλαντα σὺν ἀντιθέοις ἑτάροισιν.
Ἐννέα νῆας στεῖλα, θοῶς δ' ἐσαγείρατο λαός.
Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι
Δαίνυντ· αὐτὰρ ἐγὼν ἱερήϊα πολλὰ παρεῖχον,
Θεοῖσίν τε ῥέζειν, αὐτοῖσί τε δαῖτα πένεσθαι.
Ἑβδομάτῃ δ' ἀναβάντες ἀπὸ Κρήτης εὐρείης,

" Ex quibus eligebam quæ-placebant; multa autem pòst
" Sortitò-obtinebam: statim verò domus augebatur; et deinceps
" Gravisque reverendusque inter Cretenses factus-sum.
" Sed cùm jam hoc odiosum iter latè-sonans Jupiter 235
" Decrevit, quod multorum virorum subtùs genua solvit;
" Utique tunc me jusserunt et inclytum Idomeneum
" Naves ducere in Ilium; neque ulla ratio
" Erat denegandi, gravis nempè premebat vulgi vox.
" Ibi quidem novem-annis belligerabamus filii Achivorum, 240
" Decimo autem urbem Priami populati, ivimus
" Domum-versus cum navibus; Deus verò dissipavit Achivos.
" At mihi misero mala struebat providus Jupiter;
" Mensem enim solum mansi delectans *me* filiis,
" Virgineâque uxore, et facultatibus: at posteà 245
" In Ægyptum me animus impulit navigare,
" Navibus benè-adornatis cum eximiis sociis.
" Novem naves adornavi; citò autem coactæ sunt copiæ.
" Sex-diebus quidem posteà mei dilecti socii
" Convivabantur; at ego victimas multas præbebam, 250
" Et Diis ad-sacrificandum, et ipsis ad epulas parandas.
" Septimo autem navibus-conscensis à Cretâ latâ,

Ver. 235. —— τήνδε.] Apud *Eustathium* τὴν γε.

Ver. 246. Αἴγυπτόνδε.] Vide infrà ad *ver.* 257. 258.

Ver. 247. —— εὖ στείλαντα.] Ita *Barnesius. Vulgg.* ἐϋστέλλαντα.

Ver. 250. —— ἱερήϊα.] Θερίμματα. *Schol.* Vide ad *Il.* χ'. 159.

Ver. 251. Θεοῖσιν τε ῥέζειν.] Pronuntiabatur Θοῖσιν· ut rectè notavit *Barnesius.* Vide ad *Il.* κ. 18.

Digitized by Google

Ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ,
Ῥηϊδίως, ὡσεί τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
Νηῶν πημάνθη, ἀλλ' ἀσπεθέες καὶ ἄνουσοι 255
Ἥμεθα· τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.
Πεμπταῖοι δ' Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα·
Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
Ἔνθ' ἦτοι μὲν ἐγὼ κελόμην ἑρίηρας ἑταίρους
Αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι· 260
Ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
Οἱ δ', ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
Αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,

" Navigavimus Boreâ vento puro, bono,
" Facilè, veluti secundo flumine; neque ulla adeò mihi
" Navium læsa est, sed sospites et incolumes 255
" Sedebamus: has autem ventusque gubernatoresque dirigebant.
" Quinto-die autem ad Ægyptum pulchrè-fluentem venimus:
" Statui verò in Ægypto fluvio naves remis-utrinque-agitatas.
" Ibi quidem ego jubebam charos socios,
" Illic apud naves manere, et naves tueri; 260
" Speculatores autem per speculas hortabar ut-irent:
" Hi autem insolentiæ cedentes, sequentes impetum suum,
" Statim admodùm Ægyptiorum virorum perpulchros agros
" Populabantur, mulieresque abducebant, et infantes liberos,

Ver. 254. —— *ὡσὶ τε κατὰ ῥόον.*] *Al. ὡς εἴτε κατὰ ῥόον.*

Ibid. —— *ἔν.*] *Proindè* ——.

Ver. 256. —— *τὰς δ' ἄνεμος τε, κυβερνῆται τ' ἴθυνον.*]

—— fugimus spumantibus undis,
Quà cursum ventusque gubernatorque vocabant. *Æn.* III. 269.

Ver. 257. Πεμπταῖοι.] Τῶν δὲ ἄκρων [τῆς Κρήτης] —— τὸ δ' ἐῶον τὸ Σαμώνιον ἐστὶν — Ἐφ' ἃ δ' ἀπὸ —— τοῦ Σαμωνίου πρὸς Αἴγυπτον, τεττάρων ἡμερῶν καὶ νυκτῶν πλοῦς. *Strabo, Geograph. lib.* X. *pag.* 727. 728. *al.* 474. 475.

Ibid. — Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα.] " Ita " appellatur Ægyptus propter Nilum à quo " certis temporibus irrigatur." *Spondan.* Pessimè. Rectè enim *Barnesius* hîc per Αἴγυπτον non *Terram Ægypti*, sed fluvium *Nilum* intelligit, qui in sequenti versu et alibi sæpè apud Poëtam Αἴγυπτος appellatur. " Patet," inquit, " hîc ex *Masculino* Epi- " theto, *Ægyptum* hîc non dici de *Terrâ*, " sed de *Fluvio* ——. Prætereà hoc *Epi-* " *theton* sèmper de *Fluvio* apud *Homerum* " dicitur:"

Ναῦς δὲ Σαπνίοντος ἐϋῤῥέεται παρ' ὄχθας.
Iliad. ζ'. 34.

Similitèr *Eustathius*; Δηλοῖ δὲ, ὡς καὶ πρὸ τούτων, καὶ ὅτι Αἴγυπτος καὶ ὁ Νεῖλος ἰκαλεῖτο· φησὶ γὰρ· " Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα." Καὶ, " Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας." Vide ad *ver.* 258.

Ver. 258. Στῆσα δ' ἐν.] MS. à *Tho. Bentleio* collatus, Στήσαμεν.

Ibid. —— Αἰγύπτῳ ποταμῷ.] Ὅμηρος —— τοῖς ἀρχαίοις ἐχρήσατο ὀνόμασιν ——, καθότι καὶ Αἴγυπτον τὸν ποταμὸν εἶπεν, ὁ Νεῖλον. *Pausanias, lib.* IX. *cap.* 40. Vide *Plin. Nat. Hist. lib.* V. *cap.* 9. item suprà ad γ'. 300. et δ'. 581. et λ'. 638.

Ver. 262. —— ὕβρει εἴξαντες.] Νεμεσίζοντες ὑπὸ τῆς ὕβρεως. *Schol.*

Ibid. —— μένεϊ σφῷ.] Apud *Eustathium*, μένεϊ σφῶν.

Ver. 263. —— Αἰγυπτίων.] Similitèr infrà *ver.* 286. Αἰγυπτίους· Ubi *Barnesius*; " Duæ," inquit, " ultimæ Syllabæ coales- " cunt in unam." Sed nihil opus. Vide suprà ad δ'. 127. et ad *Il.* β'. 537.

Ver. 264. —— ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα.] Ἄγον, ἀντὶ τοῦ, εἰς αἰχμαλωσίαν ἀπέφερον. *Schol.* Sic *Iliad.* ί. 589.

Ἄνδρας μὲν κτείνουσι ——
Τέκνα δὲ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.

Digitized by Google

Αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή· 65
Οἱ δὲ, βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένῃφιν
Ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων,
Χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
Φῦζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
Μεῖναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη. 270
Ἐνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ' ἄγαγον ζωοὺς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα
Ποίησ'· (ὡς ὄφελον θανέειν, καὶ πότμον ἐπισπεῖν
Αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ' ὑπέδεκτο·) 275
Αὐτίκ' ἀπὸ κρατὸς κυνέην εὐτυκτον ἔθηκα,
Καὶ σάκος ὤμοιϊν· δόρυ δ' ἔκβαλον ἔκτοσε χειρός·
Αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἤλυθον ἵππων,
Καὶ κύσα γούναθ' ἑλὼν· ὁ δ' ἐρύσατο, καί μ' ἐλέησεν·
Ἐς δίφρον δέ μ' ἔσας ἄγεν οἴκαδε δακρυχέοντα. 280

" Ipsosque interficiebant; citò autem ad urbem pervenit strepitus: 265
" Illi autem clamorem audientes, simul cum aurorâ apparente,
" Venerunt: impletus est verò totus campus peditibusque et equitibus,
" Ærisque fulgore: Jupiter autem gaudens-fulmine
" Fugam meis sociis malam immisit; neque quisquam sustinuit
" Consistere contrà: circùm enim mala undique stabant. 270
" Ibi nostrûm multos quidem interfecerunt acuto ære;
" Alios autem duxerunt vivos, sibi operaturos ex-necessitate.
" At mihi Jupiter ipse in mente hoc cogitatum
" Effecit; (ut debui mori, et fatum assequi
" Illic in Ægypto; adhuc enim me malum excepit!) 275
" Statim de capite galeam fabrefactam deposui,
" Et scutum ab humeris; hastamque projeci ex manu:
" At ego regis obviam ivi equis;
" Et osculatus-sum genua prehensa: hic autem servavit, et mei miseritus est;
" In currum verò me locatum duxit domum lachrymas-fundentem. 280

Ver. 266. —— βοῆς ἀΐοντες.] Vide ad *Il.* ε. 252.

Ver. 267. —— πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων, Χαλκοῦ τε στεροπῆς.]

Præterea magnæ legiones cum loca cursus
Camporum complent ————:
Fulgur ibi ad cœlum se tollit; totaque circùm
Ære renidescit tellus ————.
Lucret. lib. II. *ver.* 323. 327.

Ut sæpè ingenti bello cùm longa cohortes
Explicuit legio, et campo stetit agmen aperto,
Directæque acies, ac latè fluctuat omnis
Ære renidenti tellus ————.
Virgil. Georgic. II. 279.

—— campique armis sublimibus ardent.
Æn. XI. 602.

Ver. 270. —— περὶ γὰρ κακὰ πάντοθεν ἔστη.] Sic *Iliad.* π'. 111.

—— πάντοθεν δὲ κακὸν κακῷ ἐστήριπτο.

Ver. 272. —— ἄγαγον.] MSS. duo à *Tho. Bentleio* collati, ἔκαγον. Quo modo et in Vulgatis legitur infrà ρ'. 441. ubi repetitur hic locus.

Ver. 273. —— ἐνὶ φρεσὶ τοῦτο νόημα.] *Eustathius* in commentario citat, ἐνὶ φρεσὶν ᾧδε νόημα.

Ver. 278. Αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον.] Φασὶ δὲ οἱ Παλαιοὶ ἀντὶ τοῦ, "βασιλῆος ἐναντίον "ἦλυθον," ὅτι ὁ Σίδων ἐβασίλευεν Αἰγύπτου τότε. *Eustath.*

Ver. 279. —— καί μ' ἐλέησεν.] *Eustathius* in commentario citat, καί μ' ἐσώσεν.

Digitized by Google

Ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊασον μελίῃσιν,
Ἱέμενοι κτεῖναι· (δὴ γὰρ κεχολώατο λίην·)
Ἀλλ' ἀπὸ κεῖνος ἔρυκε· Διὸς δ' ὠπίζετο μῆνιν
Ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
Ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ' ἄγειρα 285
Χρήματ' ἀν' Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,
Δὴ τότε Φοίνιξ ἦλθεν ἀνὴρ, ἀπατήλια εἰδὼς,
Τρώκτης, ὅς δὴ πολλὰ κάκ' ἀνθρώποισιν ἐώργει·
Ὅς μ' ἄγε παρπεπιθὼν ἧσιν φρεσὶν, ὄφρ' ἱκόμεσθα 290
Φοινίκην, ὅθι τοῦγε δόμοι καὶ κτήματ' ἔκειτο.
Ἔνθα παρ' αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν·
Ἀλλ' ὅτε δὴ μῆνές τε, καὶ ἡμέραι ἐξετελεῦντο,
Ἄψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
Ἐς Λιβύην μ' ἐπὶ νηὸς ἐέσσατο παντοπόροιο, 295
Ψεύδεα βουλεύσας, ἵνα οἱ σὺν φόρτον ἄγοιμι·
Κεῖθι δέ μ' ὡς περάσῃσι, καὶ ἄσπετον ὦνον ἕλοιτο.

" Profectò me valdè multi adoriebantur fraxineis hastis,
" Cupientes interficere, (jam enim irati erant valdè;)
" Sed ille arcebat: Jovis nempè veritus est iram
" Hospitalis, qui utique maximè indignè-fert mala opera.
" Ibi quidem septem annos mansi ibidem, multasque collegi 285
" Divitias inter Ægyptios viros; dederunt enim omnes.
" Sed cùm jam octavus mihi revolvens annus venisset,
" Tunc demùm Phœniceus venit vir, fallacia doctus,
" Veterator, qui jam multa mala hominibus fecerat:
" Qui me duxit persuasum ipsius ingenio, donec venissemus 290
" In Phœniciam, ubi ejus scilicèt domus, et possessiones erant.
" Ibi apud ipsum mansi integrum in annum:
" Sed quandò jam mensesque et dies exacti essent,
" Iterùm re-circumvolvente anno, et supervenissent tempora;
" In Libyam me navi imposuit pontum transeunti, 295
" Mendacia meditatus, ut secum onus portarem;
" Illic autem me ut venderet, et magnum pretium acciperet.

Ver. 283. —— ἐκὸ κεῖνος ἔρυκε.] Suos nimirùm à vi *Ulyssei* inferendâ arcuit. Ita infrà σ'. 104. — κύκας, σύας τ' ἀπερύκων. Et *Iliad.* Υ. 542. φ'. 562. — βελέων ἀπερύκοι ἰεμένων. *Barnesius*, Versionem Editionis *Didymi* secutus, malè reddit, " *ille eripuit.*"

Ver. 286. Χρήματ'.] *Al.* Κτήματ'.

Ver. 287. Ἀλλ' ὅτι δὴ ὄγδοον μοι.] Pronuntiabatur ὄγδυν. Ut rectè notavit *Barnesius.*

Ver. 288. Δὴ τότε φοίνιξ ἦλθεν ἀνὴρ.] Ἐπεὶ ἤδει καὶ τὸν Εὔμαιον ὑπὸ Φοινίκων πεπραμένον. *Schol.*

Ibid. —— Φοίνιξ.] *Barnesius* edidit Φοῖνιξ. Sed minùs rectè. Nam Φοινίκην infrà *ver.* 291. et alibi apud Poëtam *medium* producit. Vide ad *Il.* β'. 267.

Ver. 289. Τρώκτης.] Πανοῦργος, ἀπατεών. *Schol.*

Ibid. —— ἀνθρώποισιν ἐώργει.] *Al.* ἀνθρώπους ἐώργει.

Ver. 294. —— περιτελλομένου ἔτεος.] *Al.* ἐπιτελλομένου ἔτους.

—— volventibus annis. *Æn.* I. 234.

Ver. 297. Κεῖθι δὲ μ' ὡς περάσῃσι.] Vox περάσῃσι *antepenultimam* corripit, quippè ex πιπράσκω, non ex περάω, deducta. Vide ad *Il.* α'. 67. *Al.* περάσῃσι et περάσῃσι.

Ibid. — ὦνον ἕλοιτο.] Editio *Florentina*, notante *Barnesio*, habet ὦνον ἄρωτο. Quam et veram omninò lectionem contendunt nonnulli. " Il faut certainement lire ἄρωτο " avec l'Edition de *Florence* de 1448 ——

Digitized by Google

Τῷ ἑπόμην ἐπὶ νηὸς, ὀϊόμενός περ, ἀνάγκῃ.
Ἡ δ' ἔθεεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ,
Μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφιν μήδετ' ὄλεθρον. 300
Ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα,
Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
Νηὸς ὑπὲρ γλαφυρῆς· ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ζεὺς δ' ἄμυδις βράντησε, καὶ ἔμβαλε λὶ κεραυνόν. 305
Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
Ἐν δὲ θείου πλῆτο· πέσον δ' ἐκ νηὸς ἅπαντες.
Οἱ δὲ κορώνησιν ἴκελοι, περὶ νῆα μέλαιναν
Κύμασιν ἐμφορέοντο· Θεὸς δ' ἀποαίνυτο νόστον.
Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς, ἔχοντί περ ἄλγεα θυμῷ, 310
Ἰστὸν ἀμαιμάκετον νηὸς κυανοπρώροιο
Ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
Τῷ ῥα περιπλεχθεὶς, φερόμην ὀλοοῖς ἀνέμοισιν·

" Hunc sequebar in navi, suspicans licèt, ex-necessitate.
" Illa verò currebat Boreâ vento puro, bono,
" Per-medium supra Cretam: Jupiter autem eis moliebatur exitium. 300
" Sed cùm jam Cretam quidem liquissemus, neque ulla alia
" Apparebat terrarum, sed cœlum et mare;
" Tum verò atram nubem statuit Saturnius
" Nave super cavâ, obscuratus autem est pontus sub ipsâ:
" Jupiter verò crebrò tonuit, et injecit navi fulmen. 305
" Hæc autem contorta est tota, Jovis percussa fulmine,
" Sulphureque impleta est; ceciderunt autem ex navi omnes.
" Hi verò cornicibus similes, circùm navem nigram
" In fluctibus ferebantur: Deus autem auferebat reditum.
" At mihi Jupiter ipse, habenti licèt dolores animo, 310
" Malum longum navis cœruleam-habentis-proram
" Manibus imposuit, ut adhuc malum effugerem.
" Hunc scilicèt amplexus, ferebar perniciosis ventis;

" C'est qu' ἴλοιτο ne se trouve du tout point, " en ce sens-là, dans *Homère:* An lieu " qu' ἄροιτο s'y trouve souvent dans le sens " d' *auferre, reportare,* [nempè *domum*], qu'il " doit avoir ici; car le *Phénicien* en que- " stion, après avoir vendu Ulysse en Lybie, " devoit en reporter l'argent chez lui. Vid. " Ἰλ. ι. 3. κ'. 307. υ. 247. Ὀδ. γ'. 422. " &c. *Histoire Critique de la Republique des Lettres, tom.* VIII. *pag.* 41.

Ver. 299. Ἡδ' ἔθεεν.]

— vastumque cavâ trabe currimus æquor. *Æn.* III. 191.

Currit iter tutum non seciùs æquore classis. *Æn.* V. 862.

Ver. 300. —— Ζεὺς δὲ σφιν.] *Al.* Ζεὺς γὰρ σφισι.

Ver. 301. Ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, &c.] Ἀφηγοῦνται δὲ ἐκ κινδυνεύσαι, καθὰ ἐκ περὶ τούτων ἔφη μετὰ τὰς τοῦ ἡλίου βόας. *Eustath.* Vide suprà ad μ'. 403. &c.

Ibid. — οὐδὲ τις ἄλλη Φαίνετο γαιάων, &c.]

Postquam altùm tenuere rates, nec jam ampliùs ullæ
Apparent terræ; cœlum undique et undique pontus;
Tum mihi cœruleus suprà caput astitit imber,
Noctem hiememque ferens; et inhorruit unda tenebris.

Æn. III. 192.

Ver. 308. Οἱ δὲ κορώνησιν ἴκελοι.]

Adparent rari nantes in gurgite vasto.

Æn. I. 118.

Digitized by Google

Ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
Γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον, 315
Ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐπομίσσατο Φείδων
Ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν
Αἴθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
Χειρὸς ἀναστήσας, ὄφρ' ἵκετο δώματα πατρός·
Ἀμφὶ δέ με χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσεν. 320
Ἔνθ' Ὀδυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκεν,
Ξεινίσαι, ἠδὲ φιλῆσαι, ἰόντ' ἐς πατρίδα γαῖαν·
Καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεὺς,
Χαλκόν τε, χρυσόν τε, πολύκμητόν τε σίδηρον.
Καὶ νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι· 325
Τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα Θεοῖο
Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσῃ,

" Per novem dies ferebar, decimâ autem me nocte nigrâ
" Terræ Thesprotorum appulit magna unda volvens. 315
" Ibi me Thesprotorum rex excepit Pheidon
" Heros gratis; hujus enim dilectus filius cùm-supervenisset,
" Frigore et labore afflictum duxit in domum,
" Manu sublevatum, donec pervenisset ad ædes patris:
" Mihi verò lænamque, tunicamque, vestimenta induit. 320
" Ibi de-Ulysse ego audivi; ille enim dicebat,
" Hospitio *se illum* excepisse, et amicè tractâsse euntem in patriam terram:
" Et mihi bona ostendit, quot collegerat Ulysses,
" Æsque, aurumque, et multùm-elaboratum ferrum.
" Et sanè in decimam generationem alium adhuc aleret; 325
" Tot ei in ædibus res-pretiosæ jacebant regis.
" Ipsum autem in Dodonem dicebat ivisse, ut Dei
" Ex quercu alto-vertice Jovis consilium audiret,

Ver. 315. Γαίῃ Θεσπρωτῶν.] Θεσπρωτία, πόλις περὶ τὰ ἴσχατα τῆς Θεσσαλίας. *Schol.*

Ver. 316. —— Θεσπρωτῶν βασιλεὺς. *Thesproti* apud *Thucydidem, lib.* II. ἀβασίλευτοι dicuntur; uti notavit *Barnesius.*

Ver. 317. —— ἀπριάτην.] *Al.* ἀπριώδην.

Ver. 322. Ξεινίσαι, ἠδὲ φιλῆσαι.] *Al.* Ξεινίσσ' ἠδὲ φιλῆσαι.

Ver. 324. Χαλκὸν τε, χρυσὸν τε, πολύκμητόν τε σίδηρον.] *Eustathius* in commentario citat, Χαλκὸν τε, χρυσὸν τε ἅλις, ἰσοθῆτα θ' ὑφάντην Ut suprà ν. 136. et infrà π'. 231.

Ver. 326. Τόσσα οἱ ἐν μεγάροις.] Apud *Eustathium*, Τόσσα οἱ ἐνὶ μεγάροις.

Ver. 327. Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι.] Τὸ γὰρ δὴ μαντήϊον τοῦτο [τὸ ἐν Δωδώνῃ] νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι. Καὶ ἦν τὸν χρόνον τοῦτον μόνον. *Herodotus, lib.* II. § 52. Ἡ Δωδώνη τοίνυν τὸ μὲν παλαιὸν ὑπὸ Θεσπρωτοῖς ἦν καὶ τὸ ἄλσος ὁ Τόμαρος, ἡ Τμάρος, (ἀμφοτέρως γὰρ λέγεται), ὑφ' ᾧ κεῖται τὸ ἱερὸν καὶ οἱ Τραγικοὶ τε καὶ Πίνδαρος Θεσπρωτίδα ἀρήσασι τὴν Δωδώνην· ὕστερον δὲ ὑπὸ Μολοσσῶν ἐλέγετο. *Strabo, Geograph. lib.* V. *pag.* 505. *al.* 328.

Ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα,
Τὴν αἰπύνωτον τ' ἀμφὶ Δωδώνην, ἵνα
Μαντεῖα θῶκος τ' ἐστὶ Θεσπρωτῶν Διός,
Τίρας τ' ἄπιστον αἱ πρεσήγοροι δρύες.
Æschylus, Prometh. Vinct. ver. 827.

Ἔνθα τε Δωδώνη τὶς ἐπ' ἰσχα[ῖ]ῃ πεπόλισται
Τὴν δὲ Ζεὺς ἐφίλησι καὶ ὃν χρηστήριον εἶναι
Τίμιον ἀνθρώποις· ναῖον δ' ἐν πυθμένι φηγῷ·
Ἔνθεν ἐπιχθόνιοι μαντήϊα πάντα φέρονται.
Hesiod. apud Scholiasten in Sophocl. Trachin. ver. 1174.

Ver. 328. —— ἐπακούσῃ.] *Al.* ἐπακοῦσαι. Atque ita citat *Strabo, Geograph. lib.* VII. *pag.* 506. *al.* 329. Idem tamen, *lib.* XVI. *pag.* 1105. *al.* 762. citat ὑπακούσῃ. *Al.* ἐπακούσῃ.

Digitized by Google

Ὅππως νοστήσῃ Ἰθάκης ἐς πίονα δῆμον,
Ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν, ἠὲ κρυφηδόν. 330
Ὤρμοσε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
Νῆα κατειρύσθαι, καὶ ἑπαρτέας ἔμμεν ἑταίρους,
Οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
Ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον, 335
Ἔνθ' ὅγε μ' ἠνώγει πέμψαι βασιλῆϊ Ἀκάστῳ
Ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἤνδανε βουλὴ
Ἀμφ' ἐμοὶ, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.
Ἀλλ' ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
Αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο· 340
Ἐκ μέν με χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἔδυσαν,
Ἀμφὶ δέ μοι ῥάκος ἄλλο κακὸν βάλον, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὄρηαι.
Ἑσπέριοι δ' Ἰθάκης εὐδειέλου ἔργ' ἀφίκοντο·
Ἔνθ' ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηῒ, 345
Ὅπλῳ ἐϋστρεφέϊ στερεῶς· αὐτοὶ δ' ἀποβάντες

" Quomodo rediret Ithacæ in opulentum populum,
" Jam diù absens, an palàm, an occultè. 330
" Juravit autem coram me ipso, libans in domo,
" Navem deductam, et paratos esse socios;
" Qui jam ipsum comitabuntur dilectam in patriam terram,
" Sed me priùs dimisit: contigit enim ut-iret navis
" Virorum Thesprotorum in Dulichium tritici-feracem. 335
" Tunc ille me jussit mittere regi Acasto
" Accuratè; illis autem malum in animo placebat consilium
" De me, ut adhuc omninò in calamitatis pestem inciderem.
" Sed quandò à-terrâ longè progressa est pontum-transiens navis,
" Statim servilem diem mihi moliebantur: 340
" Exuerunt quidem me lœnâ, tunicâque, vestimentis,
" Circùmque me pannum alium malum jecerunt, et tunicam,
" Lacera, quæ et ipse in oculis vides.
" Vespertini autem Ithacæ amœnæ *ad* culta pervenerunt:
" Ibi me quidem ligaverunt bonis-transtris-instructâ in navi, 345
" Fune benè-torto arctè; ipsi verò egressi

Ver. 329. —— νοστήσῃ.] *Al.* νοστήσει.

Ibid. —— Ἰθάκης ἐς πίονα δῆμον.] Vide suprà ad *ά.* 103.

Ver. 331. Ὤρμοσε.] Apud *Eustathium* in commentario, Ὅμνυε· Ut infrà *τ'.* 288.

Ibid. —— ἀποσπένδων.] *Al.* ἐπισπένδων.

Ver. 333. —— πέμψουσι.] *Al.* πέμψωσι.

Ver. 335. —— ἐς Δυλίχιον.] Τὸ δὲ Δυλίχιον, νῆσος δὲ αὕτη μία τῶν Ἐχινάδων. *Eustath.*

Ibid. —— πολύπυρον.] *Al.* πολύμηλον.

Ver. 336. —— Ἀκάστῳ.] *Al.* Ἐκάστῳ.

Ver. 338. —— δύης ἐπὶ πῆμα γενοίμην.] *Scholiastes* interpretatur, Ἐπὶ ταῖς συμβεβηκυίαις τιμωρίαις ἄλλην βλάβην ὑπομένειμι. Videtur itaque is legisse δύης ἐπὶ.

Ver. 340. —— ἐμοὶ περιμηχανόωντο.] *Al.* ἐμοὶ περὶ μηχανόωντο· et ἐμοῦ περὶ μηχανάωντο.

Ver. 341. Ἐκ μὲν με.] *Al.* Ἐκ μὲν γε.

Ver. 343. Ῥωγαλέα.] *Al.* Ῥωγαλέον, et Ῥωγαλέην.

Digitized by Google

Ἐεσυμένως παρὰ δῆνα θαλάσσης δόρτον ἵλοντο.
Αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
Ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
Ἔεστὸν ἐφόλκαιον καταβὰς ἐπέλασσα θαλάσσῃ 350
Στῆθος· ἔπειτα δὲ χερσὶ διήρεσσα ἀμφοτέρῃσι·
Νηχόμενος, μάλα δ' ὦκα θύρηφ' ἕα ἀμφὶς ἐείνων.
Ἔνθ' ἀναβὰς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
Κείμην πεπτηώς· οἱ δὲ μεγάλα στεναχοντες
Φοίτων· ἀλλ' ἐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι 355
Μαίεσθαι προτέρω· τοὶ μὲν πάλιν αὖτις ἔβαινον
Νηὸς ἐπὶ γλαφυρῆς· ἐμὲ δ' ἔκρυψαν θεοὶ αὐτοὶ
Ῥηϊδίως, καί με ῥαθμῷ ἐπέλασσαν ἄγοντες
Ἀνδρὸς ἐπισταμένου· ἔτι γὰρ νύ μοι αἶσα βιῶναι.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 360
Ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας,
Ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες, ἠδ' ὅσ' ἀλήθης.
Ἀλλὰ τάδ' ἐ κατὰ κόσμον ὀίομαι, οὐδέ με πείσεις,
Εἰπὼν ἀμφ' Ὀδυσῆϊ· τί σε χρὴ τοῖον ἐόντα

" Festinanter ad littus maris cœnam sumpsere.
" At mihi vinculum quidem resolverunt dii ipsi
" Facilè; capiti autem panno obvoluto,
" Lævigatum per clavum delapsus applicui mari 350
" Pectus; deindè autem manibus remigavi ambabus
" Natans; valdèque citò foris eram seorsùm ab illis.
" Tunc cùm-ascendissem, ubi utique querretum erat floridæ sylvæ,
" Jacebam stratus: illi autem valdè gementes
" Ibant; sed haud enim ipsis videbatur melius esse 355
" Inquirere ulteriùs; hi quidem retrò iterùm ibant
" Navem in cavam; me autem absconderunt dii ipsi
" Facilè, et me stabulo appulerunt ducentes
" Viri prudentis; adhuc enim jam mihi fatum vivere.'
Hunc autem respondens allocutus es, Eumæe subulce; 360
" O miser hospitum, certè mihi valde animum commovisti,
" Hæc singula dicens, quot scilicèt passus, et quantum vagatus es.
" Sed ea non pro decenti *dicta* arbitror, neque mihi persuadebis,
" Locutus de Ulysse: quid te oportet, talis cùm-sis,

Ver. 348. —— ἀνέγναμψαν.] *Al.* ἀνέγναψαν.

Ver. 350. —— ἐφόλκαιον.] Πηδάλιον. *Schol.*

Ver. 352. —— θύρηφ'.] *Al.* θύρηθ'.

Ver. 353. —— δρίος.] Δρυώδης ἢ σύσκιος τόπος· *Schol.* *Al.* δρύος.

Ver. 355. —— ἀλλ' ἐ γὰρ σφιν.] Vide suprà ad κ'. 190. *Eustathius* autem in commentario citat, ἀλλ' ἐπεὶ ἐ σφιν.

Ver. 358. —— ῥαθμῷ·] Σταθμὸν δὲ ἐξ οὗ καὶ ἀγροτικὴν οἴκαν λέγει. *Eustath.*

Ver. 361. Ἆ δειλὲ.] *Al.* Ὦ δειλὲ.

Ver. 363. —— ἐ κατὰ κόσμον ὀίομαι.] Ἤγουν ἄκοσμα νομίζω. *Eustath.*

Ver. 364. —— τί σε χρὴ τοῖον ἐόντα Μαψιδίως ψεύδεσθαι;]

—— μὴ ψεύδ', ἐπιτάμενος σάφα εἰνοῶν.
Iliad. δ'. 404.

Cæterùm minùs rectè hîc *Eustathius*; Καὶ ὅρα τὸ "Μαψιδίως ψεύδεσθαι," δηλοῦν ὡς τὸ μὴ μάτην ψεύδεσθαι, ἐ πάνυ ψευδῶν. Istiusmodi enim distinctioni nullus hîc videtur locus.

Digitized by Google

Μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς, 365
Νόστον ἐμοῖο ἄνακτος, ὅτ' ἤχθετο πᾶσι θεοῖσι
Πάγχυ μάλ', ὅττι μιν ἔτι μετὰ Τρώεσσι δάμασσαν,
Ἠὲ φίλων ἐν χερσὶν, ἐπεὶ πόλεμον τολύπευσε.
Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν παναχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω. 370
Νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο.
Αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
Ἔρχομαι, εἰ μὴ πέ τι περίφρων Πηνελόπεια
Ἐλθέμεν ὀτρύνῃσιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθῃ.
Ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέεσσιν, 375
Ἡμὲν οἱ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
Ἠδ' οἱ χαίρεσσιν βίοτον νηποινον ἔδοντες.
Ἀλλ' ἐμοί ἐ φίλον ἐστὶ μεταλλῆσαι, καὶ ἔρεσθαι,
Ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
Ὅς τ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀλήθεις, 380
Ἦλυθ' ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
Φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
Νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·

" Temerè mentiri? ego autem certè novi et ipse 365
" De-reditu mei domini, quòd odio *is* haberetur omnibus diis
" Omninò valdè, quia ipsum non inter Trojanos domuerunt,
" Vel amicorum in manibus, postquam bellum confecisset.
" Tunc ei tumulum quidem fecissent omnes Achivi,
" Atque etiam suo filio magnam gloriam comparâsset in-posterum: 370
" Nunc autem ipsum inglorièe Harpyiæ abripuerunt.
" At ego apud sues semotus; neque ad urbem
" Eo; nisi quandò fortè prudens Penelope
" Venire jubeat, quandò nuntius alicundè venerit.
" Sed illi quidem singula assidentes interrogant, 375
" Tum qui dolent diù absente rege,
" Tum qui gaudent victum impunè edentes,
" Sed mihi non gratum est inquirere et interrogare;
" Ex quo scilicet me Ætolus vir decepit sermone;
" Qui utique viro interfecto, multas per regiones vagatus, 380
" Venit meam ad casam: ego autem ipsum amantèr-complectebar.
" Dixit autem eum *se* inter Cretenses apud Idomeneum vidisse
" Naves reficientem, quas ei confregerant procellæ:

Ver. 366. —— ὅτ' ἤχθετο πᾶσι θεοῖσι Πάγχυ μάλ', ὅτι μιν ἔτι &c.] Ἰσέον δὲ ὅτι τὸ "ὅτ' ἤχθετο" δύναται νοηθῆναι καὶ ἀντὶ τοῦ ὅτι ἐμισήθη ὁ νόστος δηλαδὴ, ἢ ὁ Ὀδυσσεύς. *Eustath.* Pro posteriori accipiendi ratione planè faciunt sequentia.

Ver. 369. Τῷ κεν οἱ.] *Barnesius* edidit Τῷ κέν οἱ· Sed et ferri potest vulgata Lectio. Vide ad *Il. α.* 51. item *κ'.* 212:

Ver. 370. —— ᾧ παιδὶ μέγα κλέος ἤρατ'.] *Filio suo magnam gloriam comparâsset*, nempè *Ulysses.* Ita *Iliad. γ'.* 373. *δ'.* 165. —— καὶ ἄφθιτον ἤρατο κῦδος. *Barnesius* aliique malè vertunt, "*suo filio magna gloriâ crevisset.*" Quod cum vocis ἤρατο significatione nullo modo congruit.

Ver. 374. —— ἵλθῃ.] *Al.* ἴθοι.

Ver. 380. Ὅς τ' ἄνδρα.] *Al.* Ὅς ῥ' ἄνδρα.

Ver. 381. Ἦλυθ' ἐμὸν πρὸς σταθμόν.] *Al.* Ἤλθεν ἐμὰ πρὸς δώματ'.

Ver. 383. —— ἀκειόμενον.] Θεραπεύοντα, ἰώμενον. *Schol.* *Al.* ἀκειόμενον.

Digitized by Google

Καὶ φάτ' ἐλεύσεσθαι, ἢ ἐς θέρος, ἢ ἐς ὀπώρην,
Πολλὰ χρήματ' ἄγοντα, σὺν ἀντιθέοις ἑτάροισι. 385
Καὶ σὺ, γέρον πολυπενθὲς, ἐπεὶ σέ μοι ἤγαγε δαίμων,
Μήτε τί μοι ψεύδεσσι χαρίζεο, μήτε τι θέλγε·
Οὐ γὰρ τέκνεκ' ἐγώ σ' αἰδέσσομαι, οὐδὲ φιλήσω,
Ἀλλὰ Δία ξένιον δείσας, αὐτόν τ' ἐλεήσας.
Τὸν ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 390
Ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
Οἷόν σ' οὐδ' ὀμόσας περ ἐπήγαγον, οὐδέ σε πείθω.
Ἀλλ' ἄγε νῦν ῥήτρην ποιησόμεθ· αὐτὰρ ὕπερθε
Μάρτυροι ἀμφοτέροισι θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν·
Εἰ μέν κεν νοσήσῃ ἄναξ τεὸς ἐς τόδε δῶμα, 395
Ἕσσας με χλαῖνάν τε, χιτῶνά τε, εἵματα, πέμψαι
Δουλίχιονδ' ἱέναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
Εἰ δέ κε μὴ ἔλθῃσιν ἄναξ τεὸς, ὡς ἀγορεύω,
Δμῶας ἐπισσεύσας, βαλέειν μεγάλης κατὰ πέτρης,
Ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν. 400

" Et dixit venturum, vel in æstatem, vel in autumnum,
" Multas opes advehentem, cum deo-paribus sociis. 385
" Et tu, senex multa-passe, postquam te ad me duxit deus,
" Neque omninò mihi mendaciis gratificare, neque mulce:
" Non enim ob-id ego te honorabo, neque diligam,
" Sed Jovem hospitalem veritus, teque ipsum miseratus."
Hunc autem respondens allocutus est prudens Ulysses; 390
" Certè valdè quidem tibi animus in pectoribus incredulus,
" Quòd te neque vel juratus induxi, neque tibi persuadeo.
" Sed age nunc sponsionem faciamus; at desuper
" Testes ambobus dii *sint*, qui Olympum habitant.
" Si quidem redierit herus tuus in hanc domum, 395
" Indutum me lænâque, tunicâque, vestimentis, mitte
" Ad Dulichium ut-eam, quò mihi gratum est animo:
" Sin non venerit herus tuus, ut prædico,
" Famulis incitatis, dejice magnâ de rupe,
" Ut et alius medicus caveat decipere." 400

Ver. 387. Μήτε τι μοι ψεύδεσσι χαρίζεο.]

——— μηδὲ μ' οἰκτίσας
Ξύνθαλπε μυθοῖς ψευδέσι ———.
Æschyl. Prometh. Vinct. ver. 685.

Ver. 388. ——— αἰδέσσομαι·] Ita ex MS. et ex *Schol. Vett.* edidit *Barnesius*. Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* αἰδήσομαι. Quæ vox alibi apud Poëtam non occurrit. Vide ad *Il. ι.* 504. 636, et *χ'.* 419.

Ver. 389. ——— ἱλεήσας.] *Al.* ἱλασίρων. Atque ita in commentario legit *Eustathius*.

Ver. 392. Οἷον σ' οὐδ' ὀμόσας περ ἐπήγαγον.] " Nullum enim vinculum ad adstrin-" gendam fidem jurejurando majores arc-" tius esse voluerunt." *Cicero, de Officiis, lib.* III. § 31.

Ὅστις γὰρ ὀμνύοντι μηδὲν πέφυται,
Αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.
Amphis apud Stobæum, § 27.

Ver. 393. ——— ῥήτρην.] Τὴν ἐπὶ ῥητοῖς καὶ ὁμολογουμένοις συνθήκην. *Schol.*

Ibid. ——— ὕπερθε.] *Al.* ὄπισθε.

Ver. 397. Δουλίχιον.] Πόλις τῆς Κεφαλληνίας. *Schol.* Alitèr *Eustathius*: Vide suprà ad *ver.* 335.

Ver. 399. ——— ἐπισσεύσας.] *Al.* ἐπιεσσεύας.

Ver. 400. ——— ἀλεύεται.] *Al.* ἀλεύαῖ]ο. Ut infrà *ω.* 29.

Digitized by Google

Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε δῖος ὑφορβός·
Ξεῖν', ἔτω γάρ κέν μοι ἐϋκλείη γ' ἀρετή τε
Εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα, καὶ μετέπειτα,
Ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον, καὶ ξείνια δῶκα,
Αὖθις δὲ κτείναιμι, φίλον δ' ἀπὸ θυμὸν ἑλοίμην. 405
Πρόφρων δή κεν ἔπειτα Δία Κρονίωνα λιτοίμην.
Νῦν δ' ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
Εἶεν, ἵν' ἐν κλισίῃ λαρὸν τεταυκοίμεθα δόρπον.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἀγχίμολον δὲ σύες τε καὶ ἄνδρες ἦλθον ὑφορβοί· 410
Τὰς μὲν ἄρα ἕρξαν κατὰ ἤθεα κοιμηθῆναι·
Κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων.
Αὐτὰρ ὁ οἷς ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·
Ἄξεθ' ὑῶν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω.
Τηλεδαπῷ· πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵπερ ἀτίζῦν 415

Hunc autem respondens allocutus est nobilis subulcus;
" Hospes, etenim sic mihi bona-fama, virtutisque nomen,
" Esset inter homines simul nunc, et deinceps,
" Qui te postquam in casam duxissem, et xenia dedissem,
" Deindè interficerem, dilectumque animum eriperem; 405
" Promptus sanè deindè Jovi Saturnio supplicarem.
" Nunc verò hora cœnæ: citissimè mihi intùs socii
" Fuerint, ut in casâ lautam apparemus cœnam."
Sic hi quidem talia inter se dicebant.
Propè autem suesque et viri venerunt subulci; 410
Has quidem deinceps includerunt in sua-claustra ad-cubandum:
Strepitus verò ingens ortus est suûm stabulantium.
Verùm suos socios hortabatur nobilis subulcus;
" Ducite suûm optimum, ut hospitis-*gratia* mactem
" Longinqui: unà autem ipsi recreabimur, qui utique ærumnam 415

Ver. 402. —— ἔτω γάρ.] Refertur istud γάρ ad id quod elegantèr reticetur: " *Ne* " *mihi istiusmodi factionis auctor sis; Ita* " *ENIM* &c."

Ver. 403. —— μετέπειτα.] *Al.* μετόπισθεν.

Ver. 405. Αὖθις δὲ κτείναιμι.] Malè hîc *Eustathius*: Ἐν δὲ τῷ " Αὖτις δὲ κτείναιμι," σημειοῦται ὁ σύνδεσμος, ληφθεὶς συνήθως ἀντὶ τοῦ Δή. Quidni enim (si oportuisset) et scribere potuisset *Homerus*, Αὖθις δὲ κτείναιμι, &c.? Vide autem ad *Il. ά.* 87. et *α'.* 490.

Ibid. —— κτείναιμι.] *Al.* κτείναιμι.

Ver. 406. Πρόφρων δὴ κεν ἔπειτα Δία Κρονίωνα λιτοίμην.] Ἄτοπον γὰρ ἔφετο ὁ Ἔρμαιος ἄνδρα τινὰ φόνῳ καὶ αἵματι κεχραμμένον, καὶ ὅλως ἱκανῶς πρεσβεύειν τῷ Διῷ. *Kyriac. Strozz. de Republ. lib.* X. Porrò aliam hujus loci interpretationem affert *Eustathius*: Δικλῆς (inquit) ἴνοιαν ἔχει. Ἡ γὰρ λέγει βουλόμενος καὶ εἰρωνικῶς κατ' ἀντίφρασιν, ὡς ἔτω πρόφρων ἂν εὐξαίμην Διῒ ξενίῳ, φονεύσας ξένον· ἢ καὶ ἄλλως κατὰ συναλοιφὴν, [legendo nimirùm Δία Κρονίων' ἀλιτοίμην], ὅτι ἔτως ἂν πρόφρων, ἤτοι ἀκόντως καὶ μετὰ ῥήσεως, ἀπολύσαιμι ἄγων ἀμέρστοιμι ἐς Διός. Verùm posterior hæc accipiendi ratio cum isto δὴ κεν ἔπειτα parùm aptè convenit. Cæterùm *Barnesius* edidit cum notâ interrogationis, Δία Κρονίωνα λιτοίμην; Sed et hoc minùs rectè.

Ibid. —— δὴ κεν ἔπειτα.] *Al.* κεν δ' ἔπειτα.

Ver. 411. —— ἄρα ἕρξαν.] Vide ad *Il. ά.* 51.

Ibid. —— κατὰ ἤθεα.] Τὰς συνήθους κοίτας. *Eustath.* Fuerunt, teste *Barnesio*, qui exposuerint, " *De more;*" Quo sensu hæc vox multibi apud Poëtam usurpatur. Vide ad *Il. ζ'.* 511. et *ά.* 268.

Ver. 415. —— ὀνησόμεθ'.] Ὀνήσεως καὶ ἀφελείας μετάσχωμεν. *Scholi.*

Digitized by Google

Δὴν ἔχομεν, πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων·
Ἄλλοι δ' ἡμέτερον κάματον νήποινον ἔδουσιν.
Ὣς ἄρα φωνήσας κέασε ξύλα νηλέϊ χαλκῷ·
Οἱ δ' ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον·
Τὸν μὲν ἔπειτ' ἔστησαν ἐπ' ἐσχάρῃ· οὐδὲ συβώτης 420
Λήθετ' ἄρ' ἀθανάτων, (φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν,)
Ἀλλ' ὅγ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
Ἀργιόδοντος ὑός, καὶ ἐπεύχετο πᾶσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Κόψε δ' ἀνασχόμενος σχίζῃ δρυός, ἣν λίπε πείων· 425
Τὸν δ' ἔλιπε ψυχή· τοὶ δ' ἐσφαξάν τε καὶ εὗσαν·
Αἶψα δέ μιν διέχευαν· ὁ δ' ὠμοθετεῖτο συβώτης,
Πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν·
Καὶ τὰ μὲν ἐν πυρὶ βάλε, παλύνας ἀλφίτῳ ἀπτῇ,
Μίστυλλόν τ' ἄρα τἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν, 430
Ὄπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα·
Βάλλον δ' εἰν ἐλεοῖσιν ἀολλέα· ἂν δὲ συβώτης
Ἵστατο δαιτρεύσων· (περὶ γὰρ φρεσὶν αἴσιμα ᾔδη)

" Diù habemus, patiens suûm gratiâ albis-dentibus;
" Alii verò nostrum laborem impune edunt."
Sic locutus, scidit ligna acuto ære:
Illi autem suem adduxerunt valdè pinguem quinquennem:
Eum quidem posteâ statuerunt ad focum; neque subulcus 420
Oblitus est immortalium, (mente enim utebatur bonâ;)
Sed hic auspicans, capitis pilos in ignem jecit
Albis-dentibus suis, et precabatur omnes deos,
Ut-rediret Ulysses prudens suam in domum.
Percussit autem manu-sublatâ, segmine quercûs, quod liquerat findens; 425
Hunc verò reliquit anima: hi autem jugulârunt et usulârunt;
Statimque ipsum diviserunt; frusta autem cruda ponebat subulcus,
Undique auspicans à membris, in pinguem adipem:
Et alia quidem in ignem jecit, conspersa farinæ floræ;
Minutatim dein secuerunt cætera, et verubus infixerunt, 430
Assaveruntque scitè, detraxeruntque omnia:
Posuerunt autem in mensis simul-omnia: subulcus verò
Surrexit divisurus; (valdè enim mente æqua nôrat;)

Ver. 419. —— εἰσῆγον.] *Al.* εἰσάγαγον.

Ver. 421. Λήθετ'.] Vide suprà ad λ'. 101.

Ver. 422. 425. 427. Ἀλλ' ὅγ' ἀπαρχόμενος —— Κόψε δ' ἀνασχόμενος —— ὁ δ' ὠμοθετεῖτο συβώτης.] Ταῦτα δὲ Ῥωμαῖος ἔτι καὶ νῦν πράττοντας ἐπὶ ταῖς θυσίαις ἰδὼν ἐπέτυμε· καὶ μιᾷ πίστει τῇδε ἀρκούμενος, ἐ θαρεῖν ἐπείσθην οἶναι τοὺς οἰκιστὰς τῆς Ῥώμης, ἀλλ' ἐκ πολλῶν τόπων συνειληλυθότας Ἕλληνας. *Dionys. Halicarn. Antiq. Rom. lib.* VII. *ub fine.*

Ver. 425. Κόψε δ' ἀνασχόμενος.] *Dionysius*, loco jam allato, citat Κόψε δ' ἀπαρχόμενος. Ex versu (ut videtur) 422. Ipse autem alibi, ut recètè annotat *Sylburgius*, citat Πλήξας ἀνασχόμενος. Περὶ Συνθέσεως, § 5.

Ver. 426. —— τοὶ δ' ἔσφαξαν.] Apud *Dionysium*, τοὶ δὲ σφάξαν.

Ver. 427. —— ὠμοθετεῖτο.] Ὠμῶν ὄντων τῶν κρεῶν, ἀπήρχετο τοῖς θεοῖς. *Schol.*

Ver. 432. Βάλλον δ' εἰν ἐλεοῖσιν.] Ἐλεὸς δ' ἐστὶν ἡ μαγειρικὴ τράπεζα. *Athenæus, lib.* IV. *cap.* 22.

Digitized by Google

Καὶ τὰ μὲν ἕπταχα πάντα διεμοιρᾶτο δαΐζων·
Τὴν μὲν ἴαν Νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἱῖ, 435
Θῆκεν ἐπευξάμενος, τὰς δ' ἄλλας νεῖμεν ἑκάστῳ.
Νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
Ἀργιόδοντος ὑός· κύδαινε δὲ θυμὸν ἄνακτος·
Καί μιν φωνήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Αἴθ' ἔτως, Εὔμαιε, φίλος Διΐ πατρὶ γένοιο, 440
Ὡς ἐμοὶ, ὅττι με τοῖον ἐόντ' ἀγαθοῖσι γεραίρεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
Οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
Ὅ,ττι κεν ᾧ θυμῷ ἐθέλει, δύναται γὰρ ἅπαντα. 445
Ἦ ῥα, καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσι·
Σπείσας δ' αἴθοπα οἶνον, Ὀδυσσῆϊ πτολιπόρθῳ
Ἐν χείρεσσιν ἔθηκεν, ὁ δ' ἕζετο ἦ παρὰ μοίρῃ.

Atque illa quidem septifariàm omnia partitus est dividens;
Partem quidem unam Nymphis et Mercurio, Maiæ filio, 435
Posuit precatus; cæteras verò distribuit singulis:
Tergo autem Ulyssem perpetuo honorabat
Albis dentibus suis; lætificabat verò animum domini:
Et ipsum compellans allocutus est prudens Ulysses;
" Utinam sic, Eumæe, dilectus Jovi patri fieres, 440
" Ut mihi; siquidem me, talis cùm-sim, bonis honoras."
Hunc autem respondens allocutus es, Eumæe subulce;
" Comede, eximie hospitum, et delectare hisce,
" Qualia adsunt; Deus autem hoc quidem dabit, illud verò sinet,
" Quodcunque suo animo voluerit; potest enim omnia. 445
Dixit, et primitas sacrificavit diis sempiternis;
Libatoque nigro vino, Ulyssi urbium-vastatori
Id manibus posuit; hic autem sedebat suam juxta partem.

Ver. 434. —— διεμοιρᾶτο.] Pronuntiabatur fortè διεμμοιρᾶτο. Vide ad *Il. α.* 4.

Ver. 435. —— Νύμφῃσι καὶ Ἑρμῇ.] Δωρεῶται δὲ μοῖραν ὁ Εὔμαιος Νύμφαις μὲν, ἵνα γῆθεν ἀναδιδοῖν τροφὰς τοῖς ζώοις, ὡς ἱπιστατοῦσαι κρήναις καὶ ἄλσεσι καὶ ἱεροῖς ποταμοῖς, ὡς προδιδήλωται· [*Odyss. κ'.* 350.] Ἑρμῇ δὲ ὡς ᾧ αὐτῷ νομίῳ, καὶ αὐξητικῷ τῶν θρεμμάτων. *Eustath.* Καὶ Σιμονίδης θύειν αὐτὰς φησὶ Νύμφαις καὶ Μαιάδος τόκῳ· Οὔτοι κάρ ἀνδρῶν αἷμ' ἴχνεσι ποιμένων· *Schol.*

Ibid. υἱῖ.] *Al.* υἱεῖ.

Ver. 436. —— ἱκάσῃ.] *Al.* ἱκάσοις.

Ver. 437. Νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι.]

Vescitur Æneas ——————
Perpetui tergo bovis, et lustralibus extis.
Æn. VIII. 182.

Ver. 443. —— δαιμόνιε.] Vide ad *Il. β'.* 190.

Ibid. —— τέρπεο τοῖσδε, Οἷα πάρεστι.]

Τέρπεο πᾶσιν ὁμῶς, οἷα δίδωσι Διός.
Diog. Laërt. lib. I. *in vitâ Periandri.*

Ver. 444. —— Θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει.] Sic *Iliad. π'.* 250.

Τῷ δ' ἕτερον μὲν ἔδωκε πάλῃ, ἕτερον δ' ἐκίνησε·
Similitèr et apud *Pindarum;*
—— τὸ μὲν δώσει, τὸ δ' ἕπω.
Pythior. Ode XII. *ver. ult.*
Cæterùm apud *Eustathium* legitur hîc, τὰ μὲν δώσει, τὰ δ' ἐάσει.

Ibid. —— ἐάσει.] Vide ad *Il. γ'.* 42.

Ver. 445. —— ἐθέλει.] *Al.* ἐθέλῃ.

Ver. 446. —— ἄρματα.] Τὰς ἀπαρχὰς. *Schol.* Ἀπάρχματα, αἱ μεγάλαι ἀπαρχαὶ τῶν θυσιῶν τῶν τελείων· παρὰ τὸ ἄρχω, ἀπάρχω, ἄργμα ἢ ἄπαργμα, ὡς Ὅμηρος· "ἄργματα "θῦσε θεοῖς αἰειγενέτῃσι." *Etymolog. Magn.* *in voce* Ἀπάργματα.

Ibid. —— θῦσε.] Ἤγουν, κατὰ τὰς παλαιὰς, ἐθυμίασεν· ἐδίκτυσε γὰρ, φασὶ, παρὰ τῷ ποιητῇ τὸ "θῦσαι," ἀντὶ τοῦ σφάξαι ἱερεῖον λέγεται. *Eustath.*

Ver. 447. —— Ὀδυσσῆϊ πτολιπόρθῳ.] Vide suprà ad *α.* 2, et infrà ad *χ'.* 239.

Digitized by Google

Σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὃν ῥα συβώτης
Αὐτὸς κτήσατο οἶος, ἀποιχομένοιο ἄνακτος, 450
Νόσφιν δεσποίνης, καὶ Λαέρταο γέροντος·
Πὰρ δ' ἄρα μιν Ταφίων πρίατο κτεάτεσσιν ἑοῖσιν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος· οἱ δ' ἐπὶ κοῖτον, 455
Σίτῳ καὶ κρειῶν κεκορημένοι, ἐσσεύοντο.
Νὺξ δ' ἄρ' ἐφῆλθε κακὴ σκοτομήνιος, ὗε δ' ἄρα Ζεὺς
Πάννυχος· αὐτὰρ ἄη Ζέφυρος μέγας αἰὲν ἔφυδρος.
Τοῖς δ' Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
Εἴπως οἱ ἐπδὺς χλαῖναν πόροι, ἤ τιν' ἑταίρων 460
Ἄλλον ἐποτρύνειεν· ἐπεὶ ἔο κήδετο λίην·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι,
Εὐξάμενός τι ἔπος ἐρέω, οἶνος γὰρ ἀνώγει
Ἠλεὸς, ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,

Panem autem ipsis distribuit Mesaulius, quem scilicèt subulcus
Ipse *sibi*-comparaverat solus, absente domino, 450
Seorsùm à dominâ et Laërte sene:
Ipsum nempè à Taphiis emit possessionibus suis.
Hi autem ad cibos paratos appositos manus porrigebant.
At postquam potûs et sibi desiderium exemissent,
Panem quidem eis abstulit Mesaulius; illi autem ad cubitum, 455
Pane et carnibus saturati, properabant.
Nox verò deindè supervenit mala obscura; pluebat autem Jupiter
Totâ-nocte; at spirabat Zephyrus magnus semper aquosus.
Inter hos verò Ulysses locutus est subulcum tentans,
Si quo-pacto sibi exutam lænam præberet, vel aliquem sociorum 460
Alium *dare*-hortaretur; siquidem ipsius curam-gerebat valdè:
" Audi nunc, Eumæe, et alii omnes socii,
" Gloriabundus aliquod verbum dicam; vinum enim jubet
" Stultum, quod utique impulit sapientem etiam valdè cantare,

---

Ver. 450. Αὐτὸς κτήσατο οἶος.] Nempè κτάτισσιν ἑοῖσιν, *ver.* 452. Vide suprà ad *ver.* 8.

Ver. 455. —— κοῖτον·] *Al.* κοίτην.

Ver. 457. —— δ' ἄρ'.] *Al.* γὰρ.

Ibid. —— σκο[ομήνιος.] Ἀσέληνος, σκο[οινὴ· ἢ καθ' ἣν ἡ σελήνη ἀπισκότωται τῇ πρὸς τὸν ἥλιον συνόδῳ· μήνη γὰρ, ἡ σελήνη. *Schol.* Similiter *Eustathius*; Σκοτομήνιος δὲ νὺξ οὐχ ἁπλῶς ἡ ἀσέληνος, ἀλλὰ καθ' ἣν ἡ σελήνη ἀποσκοτῶται, φησὶν, ἐγγίσασα ἡλίῳ πρὸς σύνοδον. Fortasse tamen rectiùs per Νὺξ σκοτομήνιος idem intelligas quod suprà depingitur;

Νύκτα δ' ὀρφναίην· ἐδὲ πρόφαινετ' ἰδέσθαι.
Ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖ ἦν, οὐδὲ σελήνη
Οὐρανόθεν πρόφαινε· κατέιχετο γὰρ νεφέεσσι.
Odyss. ι. 143.

Ver. 459. — συβώτεω.] Vide ad *Il. α.* 1.

Ver. 463. —— οἶνος γὰρ ἀνώγει Ἠλεὸς, ὅς τ' ἐφέηκε &c.]

Οἶνος γὰρ πυροῖ ἴσον ἐπιχθονίοισιν ὄνειαρ,
Ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς,
Ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος, ἀγλαΐης τε,
Ἐν δὲ χοροιτυπίης &c.

Panyasis, εἰς ἀκρασίαν, ver. 11.

Quid non ebrietas designat? operta recludit;
Spes jubet esse ratas; ad prælia trudit inermem;
Sollicitis animis onus eximit; &c.

Horat. Epist. lib. I. v. 16.

Ver. 464. —— πολύφρονα περ μάλ' ἀεῖσαι, Καὶ θ' ἁπαλὸν γελάσαι.] Τὸν γὰρ οἶνον Ὅμηρος, ἐκ ἡλίου ἅσπερ ἠλίθιον καλεῖ, καὶ ματαιοποιὸν· ὐδὲ κελεύει σκυθρωπὸν εἶναι, μήτε ᾄδοντα, μήτε γελῶντα, μητ' ἐνθύμως ποτὶ καὶ πρὸς

Digitized by Google

Καί Ϝ' ἀπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν, 465
Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον.
Ἀλλ' ἐπεὶ ἓν τὸ πρῶτον ἀνέκραγον, ὐκ ἐπικεύσω·
Εἴϝ' ὡς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὅϝ' ὑπὸ Τροίῃ λόχον ἤγομεν ἀρτύναντες·
Ἡγείσθην δ' Ὀδυσεύς τε, καὶ Ἀτρείδης Μενέλαος, 470
Τοῖσι δ' ἅμα τρίτος ἦρχον ἐγώ· αὐτοὶ γὰρ ἄνωγον.
Ἀλλ' ὅτε δή ῥ' ἱκόμεσθα ποτὶ πτόλιν, αἰπύ τε τεῖχος,
Ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνὰ,

" Et ad mollitèr ridendum, et saltandum incitavit, 465
" Et aliquod verbum emisit, quod scilicèt non-dictum melius.
" Sed postquam sanè primùm garrulus-esse-cœpi, non celabo:
" Utinam sic pubescerem, viresque mihi integræ essent,
" Sicut quandò sub Trojâ insidias duximus instructas:
" Duces autem erant Ulyssesque, et Atrides Menelaus; 470
" Cum his verò unà tertius dux-eram ego, ipsi enim jubebant.
" Sed quandò jam venissemus ad urbem, altumque murum,
" Nos quidem circa urbem per virgulta densa,

ὄρχησιν τρεπόμενον· οὐχ ὕστερος ἀγερώχου δὲ ἱκαρίστερος ἐστὶν· ἀλλ' ἤδει τούτων ἑκάστῳ καὶ ποσότητος καὶ ποιότητος διαφοραν. Ὅθεν οὐκ εἴπεν ὡς ἀρὰ τὸν πολύφρονα ὁ οἶνος ποιεῖ ᾄσαι, ἀλλὰ " μάλ' " ἀεῖσαι," τελείαν ἀμείτρως καὶ ἐπὶ πλεῖον ὥστε προσοχλεῖν. Οὐδ' ἔτι γελάσαι, μὰ Δί', οὐδ' ὀρχήσασθαι κοινὸν δ' ἐπ' ἀμφοτέρων λαβὼν τὸ " ἄπα- " λὸν," τὴν ἀνανδρον εἰς τοῦτο πρόσπτωσιν ἐπιτιμᾷζει. " Καὶ ϐ' ἀπαλὸν γελάσαι, καὶ τ' ὀρχήσασ- " θαι κοινὸν." *Athenæus, lib.* IV. *cap.* 27.

Οἶνος καὶ φρονίοντας εἰς ἀφροσύνας ἀναϐάλλει.
Sthenelus, Poëta, apud eundem Athenæum, lib. X. *cap.* 7.

Ver. 465. Καὶ Ϝ' ἀπαλὸν γελάσαι.

Cura fugit multo diluiturque mero:
Tunc veniunt risus ———.
Ovid. Art. Amator. I. 238.

Cæterùm de voce γελάσαι, vide ad *Il. α.* 67.

Ibid. —— καὶ τ' ὀρχήσασθαι ἀνῆκεν.] Sic apud *Athenæum;*

Οἶνος ἄνωγε γέροντα καὶ ὐκ ἐϐέλοντα χορεύειν.
Lib. X. *cap.* 7.

Et apud *Ovidium;*

Ebrius incinctis philyrâ conviva capillis
Saltat ———. *Fast. lib.* V. *ver.* 337.

Ver. 466. Καὶ τι ἔπος προέηκεν.] Τῆς δὲ μέθης ἐδὲν ὕτω κατηγοροῦσιν, ὡς τὸ περὶ τοὺς λόγους ἀκρατὲς καὶ ἄόριστον. " Οἶνος γὰρ τ' ἐ- " φήκει &c." (suprà *ver.* 464.) Καὶ τοι τὸ δεινότατον, ὡς δὴ καὶ γέλως καὶ ὀρχησις ὐδὲν ἄχρι τούτων " Καὶ τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤ- " ῥητον ἄμεινον." *Plutarch.* περὶ Ἀδολεσχίας.

Ὃς δ' ἂν ὑπερϐάλλῃ πόσιος μέτρον, ὐκ ἔτι κοῖνος
Τῆς αὐτοῦ γλώσσης κυρεῖ, ὐδὲ νόον
Μυθεῦται δ' ἀκάλαμπα ———.
Theogn. Gnom. ver. 479.

Ver. 467. —— πρῶτον ἀνέκραγον.] " Quæ- " dam *Præterita Media* (inquit *Phil. Labbe*) " ego notavi penultimam ancipitem habere " longam. Cujus rei rationem si quis à me " repetat, fatebor ingenuè hâc in parte in- " scitiam, aut ampliùs cogitandum pronun- " tiabo. En igitur ea verba, quæ primus, " quod sciam, observavi à reliquorum, quæ " ab *Aoristo Secundo* profecta ejus quanti- " tatem referre solent, naturâ ac conditione " desciscere. Ἔρριψα à ῥίγω, πέπραγα à " πράττω, τετριφύαι à τρίζω, βέϐριθα à ϐρίθω, " μέμυκα à μύκω, (nam ἔμυκον penultimam " breviat, ut et ἔκρυφον et similia); κέκραγα " à κράζω, κέκυφα à κύφω." *Prosod. p.* 44. 45. Nempè non advertit vir eruditus *Præterita Media* non *unam* habere *omnia* formandi rationem. Alia enim *Aoristi Secundi* sequuntur analogiam; ut τύπτω, ἔτυπον, τέτυπα· λέγω, ἔλεγον, λέλογα. Alia autem aut ex *Aoristo Primo*, aut ex *Præsenti* retinent vel *diphthongum*, ut φαίνω, ἔφηνα, ἔφανον, πέφηνα· πείθω, ἔπεισθον, πέπεισθα· vel *syllabam positione longam*, ut δέρκω, ἔδρακον, δέδορκα· πίρθω, ἔπραθον, πέπορθα· vel *vocalem longam*, ut τρίζω, ἔτριγον, τέτριγα· ῥίγεω, ἔρριγον, ἔρριγα· πράττω, ἔπραξον, πέπραγα· κράζω, ἔκραγον, κέκραγα· &c. Vide ad *Il*, β'. 314.

Ver. 473. —— περὶ ἄστυ.] *Al.* κυτὶ ἄστυ. et παρὰ ἄστυ.

Ibid. —— κατὰ ῥωπήϊα πυκνά.]

Hîc inter densas corylos ———.
Virgil. Eclog. I. 14.

Digitized by Google

Ἀνδόναπας καὶ ἕλος ὑπὸ τεύχεσι πεπτηῶτες
Κείμεθα· νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ, Βορέαο πεσόντος, 475
Πηγυλὶς, αὐτὰρ ὕπερθε χιὼν γένετ', ἠΰτε πάχνη,
Ψυχρὴ, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
Ἔνθ' ἄλλοι πάντες χλαίνας ἔχον, ἠδὲ χιτῶνας,
Εὕδον δ' εὔκηλοι, σάκεσιν εἰλυμένοι ὤμους·
Αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον 480
Ἀφραδίαις, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης·
Ἀλλ' ἑπόμην σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.
Ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
Καὶ τότ' ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα,
Ἀγκῶνι νύξας· (ὁ δ' ἄρ' ἐμμαπέως ὑπάκουσε·) 485
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Οὔτι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
Δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων,
Οἰοχίτων' ἐμεναι· νῦν δ' οὐκ ἔτι φυκτὰ πέλονται.
Ὡς ἐφάμην· ὁ δ' ἔπειτα νόον σχέθε τόνδ' ἐνὶ θυμῷ, 490

" In arundinibus et palude sub armis prostrati, 475
" Jacebamus: nox autem supervenit mala, Boreâ orto,
" Glacialis; at super nix facta est, veluti pruina,
" Frigida, et scutis circum accrescebat glacies.
" Ibi alii omnes lænas habebant, et tunicas,
" Dormiebantque quieti, scutis cooperti humeros:
" At ego lænam quidem profectus sociis reliquebam 480
" Scultitiâ; quoniam non putabam *me* frigus valdè passurum:
" Sed sequebar, scutum solum habens, et cingulum nitidum.
" Sed quandò jam tertia pars noctis erat, astraque transierant;
" Utique tunc ego Ulyssem allocutus sum, propè existentem,
" Cubito pungens; (is verò promptè audivit;) 485
" Nobilissime Laërtiade, solers Ulysses,
" Nequaquàm ampliùs vivis inter-ero: sed me hyems
" Domat; non enim habeo lænam: decepit me deus,
" Solâ-cum-tunicâ ut-essem; nunc verò non ampliùs effugium est.'
" Sic dixi; is autem deindè sententiam habebat hanc in animo, 490

Ver. 474. Ἀνδόναπας.] *Al.* Ἀν δόναπας.

Ibid. —— πεπτηῶτες.] Vide ad *Il.* β'. 818. et ζ'. 261.

Ver. 476. Πηγυλὶς.] Ἤγεν παγετὸς κατὰ τοὺς Παλαιοὺς, ἢ παγετώδης. *Eustath.* Cæterùm apud *Etymolog. Magn.* notante *Barnesio*, legitur Πηλυγὶς.

Ibid. —— ὕπερθε.] *Al.* ἔπειτα.

Ver. 477. —— περιτρέφετο.] Πέριξ ἐπήγνυτο, ἐπαγετοῦτο, συνίστατο, ἱστεῖτο. —— Οὕτω δὲ ὁ γάλα θρέψας Κύκλωψ [suprà ί. 246.] συρεστοῦται. *Eustath.* *Al.* περιστρέφετο. Vide ad *Il.* ί. 903.

Ibid. —— κρύσταλλος.] Τὸ πεπηγὸς ὕδωρ. *Schol.*

Ver. 479. —— σάκεσιν εἰλυμένοι.] *Al.* σακέεσσ' εἰλυμένοι.

Ver. 481. Ἀφραδίαις.] *Al.* Ἀφραδίῃσι, et Ἀφραδίῃ.

Ver. 485. Ἀγκῶνι νύξας.] *Barnesius* legendum conjicit, Ἀγκῶν' ἐννύξας. Sed nihil opus. Vide ad *Il.* ά. 51.

Ver. 487. Οὔτι.] *Al.* Οὔτω.

Ver. 489. —— ἔμεναι.] *Al.* ἔμμεν, ἔμεναι, et ἴέναι.

Ibid. —— φυκτὰ.] *Barnesius* scribendum contendit φευκτὰ· Rationibus haud satis idoneis. Vide ad *Il*, ζ'. 488.

Ver. 490. —— νόον σχέθε τόνδ' ἐνὶ θυμῷ.] Τὸ δὲ "νόον σχέθε," ἀντὶ τοῦ, ἔκρυψε τὸν μυ-

Digitized by Google

Οἷος ἐκεῖνος ἔην βουλευέμεν, ἠδὲ μάχεσθαι·
Φθέγξάμενος δ' ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπε·
Σίγα νῦν, μήτις σεῦ Ἀχαιῶν ἄλλος ἀκούσῃ.
Ἦ, καὶ ἐπ' ἀγκῶνος πεφαλὴν σχέθεν, εἶπέ τε μῦθον·
Κλῦτε, φίλοι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος· 495
Λίην γὰρ νηῶν ἐκὰς ἤλθομεν· ἀλλά τις εἴη
Εἰπεῖν Ἀτρείδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
Εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα Θόας, Ἀνδραίμονος υἱός,
Καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν, 500
Βῆ δὲ θέειν ἐπὶ νῆας· ἐγὼ δ' ἐνὶ εἵματι κείνου
Κείμην ἀσπασίως· φάε δὲ χρυσόθρονος ἠώς.
Ὣς νῦν ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
Ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος· 505
Νῦν δέ μ' ἀτιμάζουσι, κακὰ χροῖ εἵματ' ἔχοντα.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας,

"Qualis ille erat ad-consultandum et pugnandum:
"Locutus autem summissâ voce, me sermone affabatur:
"Sile nunc, ne quis te Achivorum alius audiat.'
"Dixit; et in cubito caput tenuit, dixitque sermonem:
"Audite, amici, divinum mihi in somnis astitit somnium; 495
"Valdè enim à navibus longè venimus; sed aliquis eat
"Nunciatum Atridæ Agamemnoni, pastori populorum,
"Si plures à navibus jusserit venire.'
"Sic dixit: surrexit autem deindè Thoas, Andræmonis filius,
"Confestim, lænamque deposuit purpuream, 500
"Perrexitque currere ad naves: ego verò in vestimento illius
"Jacui libentèr; illuxit autem aureo-folio aurora.
"Ita utinam nunc pubescerem, viresque mihi integræ essent;
"Daret aliquis lænam in stabulis subulcorum,
"Utrumque, amicitiâ ac reverentiâ viri boni; 505
"Nunc autem mè despicatui-habent, mala corpore vestimenta habentem."
Hunc autem respondens, allocutus es, Eumæe subulce;
"O senex, narratio quidem tibi bona, quam dixisti;

σημειῶδη λόγον κατὰ νῆν. *Eustath.* Rectiùs, ut opinor, interpreteris; "*Cogitatum hoc concipiebat in animo.*"

Ver. 491. Οἷος ἐκεῖνος ἔην βουλευέμεν, ἠδὲ μάχεσθαι.] Γράφεται δὲ καὶ, "Οἷος ἐκεῖνος ἔην τιλίσαι ἔργον τι ἔνδς τι." *Eustath.*

Ver. 494. —— σχέθεν.] *Al.* θέτο.

Ver. 496. Λίην γὰρ νηῶν ἐκὰς ἤλθομεν.] Vide *Strabonem, Geograph. lib.* XIII. *pag.* 894. *al.* 599.

Ver. 498. Εἰ πλέονας παρὰ ναῦφιν ἐπι.ρύνοι νέεσθαι.] Ἤγων ὅπως πλέοις τρατιώτας πέμψοι ἐδε. *Eustath.*

Ver. 500. —— θέτο.] *Al.* βάλε.

Ibid. —— φοινικόεσσαν.] Pronuntiabatur φοινικοῦσσαν. Vide ad *Il.* β'. 267. et α'. 133.

Ver. 501. Βῆ δὲ θέειν.] *Al.* Βῆ δ' ἰέναι.

Ver. 508. —— αἶνος μὲν τοι ἀμύμων.] Δῆλον δὲ ὅτι αἶνος παρὰ τοῖς Παλαιοῖς οὐ μόνον ἔπαινος, ἐξ οὗ πολύαινος Ὀδυσσεὺς, ὡς καὶ Σαφὼ [suprà μ'. 184.] εἶπεν, ἀλλὰ καὶ λόγος συμβολικὸς ἐκ μύθου ἢ ἱστορίας περιέχειν ἔχων παραινετικὴν. *Eustath.* Ita *Hesiodus* fabulam *Accipitris* et *Luscinia* αἶνον appellat; Ἔργ. καὶ Ἡμερ. I. 200.

Digitized by Google

Οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηπερδὲς ἔειπες·
Τῷ οὔτ' ἐσθῆτος δεινήσεαι, οὔτε τεν ἄλλου, 510
Ὧν ἐπέοικ' ἱκέτην ταλαπείριον ἀντιάσαντα,
Νῦν· ἀτὰρ ἠῶθέν γε τὰ σὰ ῥάκεα δυοπαλίξεις·
Οὐ γὰρ πολλαὶ χλαῖναι, ἐπημοιβοί τε χιτῶνες
Ἐνθάδε ἔννυσθαι, μία δ' εἴη φωτὶ ἑκάστῳ.
Αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱὸς, 515
Αὐτός τοι χλαῖνάν τε χιτῶνά τε, εἵματα δώσει,
Πέμψει δ', ὅππῃ σε κραδίη θυμός τε κελεύει.
Ὣς εἰπὼν ἀνόρουσε· τίθει δ' ἄρα οἱ πυρὸς ἐγγὺς
Εὐνὴν, ἐν δ' οἰῶν τε καὶ αἰγῶν δέρματ' ἔβαλλεν.
Ἔνθ' Ὀδυσεὺς κατέλεκτ'· ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ 520
Πυκνὴν καὶ μεγάλην, ἥ οἱ παρεχέσκετ' ἀμοιβὰς,
Ἔννυσθαι, ὅτε τις χειμὼν ἔπαγλος ὄροιτο.
Ὣς ὁ μὲν ἔνθ' Ὀδυσεὺς κοιμήσατο, τοὶ δὲ παρ' αὐτὸν
Ἄνδρες κοιμήσαντο νεηνίαι· οὐδὲ συβώτῃ
Ἤνδανεν αὐτόθι κοῖτος, υἶων ἀπὸ κοιμηθῆναι· 525

"Neque quid adhuc præter decorum verbum inutile locutus es:
"Ideò neque veste indigebis, neque ullâ aliâ-re, 510
"Quarum decet supplicem miserum compotem-factum-esse,
"Nunc; at manè quidem tuis te pannis amicies;
"Non enim multæ lænæ, mutatoriæque tunicæ
"Hîc ad-induendum; una autem sola viro cuique.
"At postquam venerit Ulyssis dilectus filius, 515
"Ipse tibi lænamque tunicamque, vestimenta dabit,
"Mittetque, quò te cor animusque jubet."
Sic locutus surrexit; ponebat autem ei prope ignem
Lectum, oviumque et caprarum pelles injiciebat.
Ibi Ulysses decubuit; injecit autem lænam ipsi 520
Densam et magnam, quæ ei præbebat copiam-mutandi,
Ad-induendum, quandò aliqua hyems terribilis orta esset.
Sic ibi quidem tunc Ulysses decubuit; apud ipsum verò
Viri cubuerunt juvenes: non autem subulco
Placuit illic lectus, ut à suibus seorsùm cubaret; 525

Ver. 509. Οὐδὲ τι πω παρὰ μοῖραν ἔπος νηπερδὲς ἔειπες.] Οὐ γὰρ παρὰ τὸ πρόσηκον τὰ κακὰ ἠγόρευσας. *Porphyr. Quæst. Homeric.* 16.

Ibid. —— ἔειπες.] *Al.* ἔειπας· et ἔνισις.

Ver. 511. —— ἀντιάσαντα.] Vide suprà ad ζ. 193. et ad *Il.* α. 67.

Ver. 512. —— τὰ σὰ ῥάκεα δυοπαλίξεις.] Ἀντὶ τοῦ, διὰ χειρὸς ἕξεις, ἀμφίσῃ, συῤῥάψεις· ἢ περιτινάξεις, περιτρίψεις. *Etymolog. Magn.* in voce Δυοπαλίζω.

Ver. 513. —— χλαῖναι, ἐπημοιβοί τε χιτῶνες.] Χλαῖναι, χλαμύδες, τὰ ἔξωθεν περιβλήματα ——. Χιτῶνες, τὰ ἔσωθεν ἐνδεῖα ἱμάτια. *Schol.*

Ver. 515. 516. 517. Αὐτὰρ ἐπὴν ἔλθῃσιν κ.τ.λ.] Desunt hi tres versus in MS. à *Tho. Bentleio* collato.

Ver. 517. —— θυμὸς τε κελεύει.] *Al.* καὶ θυμὸς ἀνώγει.

Ver. 521. —— μεγάλην.] *Al.* μαλακὴν.

Ibid. —— παρεχέσκετ' ἀμοιβὰς.] Παρῆχε τὰς ἀμοιβὰς ἢ ἐναλλαγὰς. *Schol.* Cæterùm *Barnesius* edidit, legendumque pronuntiat, παρεκέσκετ' ἀμοιβὰς. ut sit παρέκειτο ἀμοιβαίη· uti infrà φ. 41. Κέκιστ' ἐνὶ μεγάροις. verùm, ut opinor, auctoritate haud satis idoneâ. Porrò vir eruditus *Tho. Bentleius* in uno MS. scriptum reperit παρέχεσκεν ἀμοιβὰς.

Digitized by Google

Ἀλλ' ὅγ' ἄρ' ἔξω ἰὼν ὡπλίζετο· χαῖρε δ' Ὀδυσσεὺς,
Ὅττι ῥά οἱ βιότου περικήδετο, νόσφιν ἐόντος.
Πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις,
Ἀμφὶ δὲ χλαῖναν ἐέσσατ' ἀλεξάνεμον μάλα πυκνὴν,
Ἂν δὲ νάκην ἕλετ' αἰγὸς ἐϋτρεφέος μεγάλοιο· 530
Εἵλετο δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν.
Βῆ δ' ἴμεναι κείων, ὅθι περ σύες ἀργιόδοντες
Πέτρῃ ὑπὸ γλαφυρῇ εὗδον, Βορέω ὑπ' ἰωγῇ.

Sed is extrà profectus armabat-se: gaudebat verò Ulysses,
Quòd scilicèt sibi facultatum curam-habebat, dum *ipse* abesset.
Primùm quidem ensem acutum circum fortes posuit humeros;
Lænam autem sibi circumdedit arcentem-ventos, valdè densam;
Ac pellem sumpsit capræ benè-nutritæ magnæ: 530
Sumpsitque acutum jaculum, canum propulsatorem et virorum.
Perrexit autem ire decubiturus, ubi scilicèt sues albis-dentibus
Rupe sub cavâ dormiebant, Boreæ sub tegmine.

Ver. 527. ——— νόσφιν ἐόντος.] *Al.* νόσφιν ἐόντι.

Ver. 528. ——— ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις.]

Tum lateri atque humeris Tegeæum subligat ensem. *Æn.* VIII. 459.

Ver. 529. ——— χλαῖναν ἐέσσατ'.] Vide suprà ad *i.* 296. *Al.* χλαῖναν ἑ ἔσσατ'. Minùs rectè.

Ver. 530. ——— νάκην.] Δέρμα αἰγὸς δασύμαλλον. *Schol.*

Ver. 533. ——— Βορέω ὑπ' ἰωγῇ.] Ἰωγή, ἡ σκέπη· ——— ἢ ὑπαιγαὶ δὲ, αἱ ὑπαγωγαὶ καὶ σκέπαι. *Etymolog. Magn.* Κυρίως οὖν ἰωὴ τῆς πνοῆς οὔσης, καὶ τοῦ ἄγνυσθαι σημαίνοντος τὸ κλᾶσθαι, ἰωγὴ λοιπὸν ἡ τῆς πνοῆς ἂν εἴη κλάσις. Ἔφη οὖν ὅτι, "εὗδον Βορέω ὑπ' ἰωγῇ," ὅπερ ἄγνυται ἡ τοῦ Βορᾶ πνοή. *Porphyr. Quæst. Homeric.* 29. *Al.* ὑπ' ἰωγῆς.

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ο'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ο'.

ΤΗΛΕΜΑΧΟΝ Ἀθηνᾶ ὄναρ ἐκτρέψασα ἐς Ἰθάκην ἐπανιλθεῖν προτρέπεται· ὃς δῶρα παρὰ Μενελάου λαβὼν πέμπεται· καὶ ἐμβαίνων μέλλων ἐς τὴν ναῦν, Θεοκλύμενον τινὰ Ἀργεῖον μάντιν ἀναλαμβάνει ἐπὶ φόνῳ φεύγοντα· καὶ Εὔμαιος Ὀδυσσεῖ διηγεῖται, ὡς Φοίνικες αὐτὸν ληϊσάμενοι ἐκ Συρίας νήσου, ἀπέδοντο Λαέρτῃ· καὶ ἡ Τηλεμάχου ναῦς κατάγεται ἐς Ἰθάκην, καὶ ταύτην ἐς ἄστυ ἀποπέμψας, αὐτὸς πρὸς Εὔμαιον ἔρχεται.

Ἐπιγραφαί.

Τηλεμάχου ἐπάνοδος· Μνηστήρων λόχος· Τηλεμάχου πρὸς Εὔμαιον ἄφιξις.

Ἄλλως,

Οὐ, ἐπείδη Ἰθάκης Λακεδαίμονος ἐξ Ὀδυσσέως.

Ἠ Δ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
Ὤχετ', Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν
Νόστου ὑπομνήσουσα, καὶ ὀτρυνέουσα νέεσθαι.

LIB. XV.

IN spatiosam verò Lacedæmonem Pallas Minerva
Ibat, Ulyssis magnanimi illustrem filium
De-reditu submonitura, et hortatura ut-rediret.

Ver. 1. Ἠδ' ἐς εὐρύχορον Λακεδαίμονα.] Connectitur cum *Odyss.* ν'. 439 440.

Ibid. ——— εὐρύχορον Λακεδαίμονα.] Sic Oraculum apud *Homerum*;

——— Σπάρτης οἰκήτορες εὐρυχόροιο.
Lib. VII. § 220.

Cæterùm nonnulli *Spartam* εὐρύχορον appellatam existimârunt propter *Choreas* quarum meminit *Plutarchus* in libro *de institutis Laconicis*. Alii vero εὐρύχορον exponunt simplicitèr *latam*, Εὐρύχορον, φασὶ, λέγει — γῆν, τὴν εὔχωρον καὶ μεγάλην. *Eustath.* ad *Odyss.* μ'. 4. Quod et eo verisimilius videtur, quòd aliis terris idem epitheton sæpè tribuat Poëta. Vide suprà ad γ'. 635. ζ'. 4. et λ'. 255. Vir tamen eruditus *Isaacus Casaubonus* alteram sententiam amplectitur, reprehenditque *Athenæi* Latinum Interpretem, quòd εὐρύχορον "*agri spatiosi*" reddiderit. *Annotat. in Athenæum, lib.* IV. *cap.* 3.

Ver. 3. Νόστου ὑπομνήσουσα, καὶ ὀτρυνέουσα νέεσθαι.] Φρονεῖ γὰρ ὡς εἰκὸς ὁ Τηλέμαχος, ἐπὶ

Digitized by Google

Εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν
Εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο· 5
Ἤτοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ·
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκύς, ἀλλ' ἐνὶ θυμῷ
Νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν·
Ἀγχοῦ δ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
Τηλέμαχ', οὐκ ἔτι καλὰ δόμων ἀπὸ δὴν ἀλάλησαι, 10
Κτήματά τε προλιπών, ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
Οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι,
Κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
Ἀλλ' ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον,
Πεμπέμεν, ὄφρ' ἔτι οἴκοι ἀμύμονα μητέρα τέτμῃς· 15
Ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται
Εὐρυμάχῳ γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας

Invenit autem Telemachum et Nestoris inclytum filium
Cubantes in vestibulo domûs Menelai illustris; 5
Nestoridem quidem molli domitum somno:
Telemachum autem non somnus tenebat dulcis; sed *eum* in animo
Noctem per placidam curæ de-patre excitabant.
Propè autem stans allocuta est cæsia-oculis Minerva;
" Telemache, non ampliùs benè à *tuâ* domo diù aberras, 10
" Possessionibusque relictis, virisque in tuis ædibus,
" Ita superbis; *cave* nè tibi omnia comedant,
" Possessionibus divisis, tu autem inane iter feceris,
" Sed hortare citissimè bello-strenuum Menelaum,
" Ut *te* dimittat; ut adhuc domi eximiam matrem invenias: 15
" Jam enim paterque fratresque jubent
" Eurymacho nubere; is enim superat omnes

τῆς κατ' αὐτὸν Ἀθηνᾶς, καιρὸν εἶναι ἤδη τοῦ ἐπανιλθεῖν αὐτόν. *Eustath.*

Ἤδη γάρ μοι θυμὸς ἐλδεται οἴκαδ' ἱκέσθαι.
Infrà *ver.* 66.

Vide ad *Il. α.* 194.

Ibid. —— ὀτρυνέεσκε.] Vide ad *Il. α'.* 338. et *κ'.* 55.

Ver. 5. Εὕδοντ' ἐν προδόμῳ.] Quoniam infrà *ver.* 7. legitur, Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκύς· ideò vocem Εὕδοντ' hoc in loco non Εὕδοντες, (uti exponit *Scholiastes*), sed Εὕδοντα intelligendam contendit *Barnesius*: scilicèt ut ad *Pisistratum* solum referatur. Sed nihil opus. Primò enim vox Εὕδων de eo qui ad somnum captandum decubuerit, (ut opinor), satìs rectè dici potest: Deindè istud Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκύς, *ver.* 7. non impedit quin pauluùm dormierit *Telemachus*, etsi non (ut *Nestoris* filius) μαλακῷ δεδμημένος ὕπνῳ. Similitèr de Jove dicit Poëta, *Iliad. α'.* 611. Ἔνθα κάθευδ' ἀναβάς· de eodem autem statim deinceps, *β.* *ver.* 2. Δία δ' οὐκ ἔχε ἡδύμος ὕπνος.

Ver. 8. —— μελεδήματα πατρὸς ἔγειρεν.] *Barnesius* aliique vertunt, " *curas de patre* " *excitabat.*" Sed ad vocis ἔγειρεν significationem rectiùs (ut opinor) interpretêris, " *curæ de parte* eum è somno *excitabant*;" sive, " *insomnem reddebant.*" Vide suprà ad *ζ'.* 48. et ad *Iliad. ψ'.* 234. *ω'.* 344.

Ver. 10. —— ἀπὸ δὴν ἀλάλησαι.] MS. à *Tho. Bentleio* collatus, ἀπὸ τῆλ' ἀλάλησαι. Atque ita in commentario citat *Eustathius.*

Ver. 13. Κτήματα.] *Al.* Χρήματα.

Ibid. — τηϋσίην.] Vide suprà ad *γ'.* 316.

Ver. 16. Ἤδη γάρ ῥα πατήρ τε.] Hinc *Ovidius*;

Me pater Icarius viduo discedere lecto
Cogit, et immensas increpat usquè moras. *Heroïd. Epist.* l. 81.

Vide *Straboneu*, *Geograph. lib.* X. *pag.* 708. *al.* 461.

Ibid. —— πατήρ.] Ἰκάριος ὁ Οἰβάλου. *Schol.*

Ver. 17. —— γήμασθαι.] Vide suprà ad *λ'.* 272.

Digitized by Google

Μνηστῆρας δώροισι, καὶ ἐξώφελλεν ἔεδνα·
Μή νύ τι, σεῦ ἀέκητι, δόμων ἐκ κτῆμα φέρηται.
Οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός· 20
Κεινου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι,
Παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
Οὐκέτι μέμνηται τεθνηότος, οὐδὲ μεταλλᾷ.
Ἀλλὰ σύγ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
Δμωάων, ἥτις τοι ἀρίστη φαίνεται εἶναι, 25
Εἰσόκε τοι φήνωσι θεὰ κυδρὴν παράκοιτιν.
Ἄλλο δέ τοί γε ἔπος ἐρέω· σὺ δὲ σύνθεο θυμῷ·
Μνηστήρων σ' ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
Ἐν πορθμῷ Ἰθάκης τε, Σάμοιό τε παιπαλόεσσης,
Ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι. 30
Ἀλλὰ τά γ' οὐκ οἴω· πρὶν καί τινα γαῖα καθέξει
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.

" Procos donis, et exaugere-solet sponsalia:
" Nequod, te invito, ex ædibus bonum efferatur.
" Scis enim, qualis animus in pectoribus mulieris:
" Illius vult domum augere, qui duxerit; 20
" Filiorum autem priorum, et mariti-cui-virgo-nupserat dilecti,
" Non ampliùs recordatur mortui, neque inquirit.
" Sed tu ubi-veneris ipse committas singula
" Famularum *ei*, quæcunque tibi optima videatur esse, 25
" Donec tibi ostenderint dii illustrem uxorem.
" Aliud autem tibi verbum dicam; tu verò repone animo;
" Procorum tibi diligentèr optimates insidiantur
" In freto Ithacæque, Samique asperæ,
" Cupientes occidere, antequam in patriam terram veneris. 30
" Sed ea scilicèt non *futura* puto: priùs etiam aliquem terra detinebit
" Virorum procorum, qui tibi victum devorant.

Ver. 18. —— ἔεδνα.] Ita *Barnesius*. Nempè ut ἥλιος, ἠέλιος· ἴερση, ἱέρση· ita ἔδνον, ἐέδνον. *Vulgg.* ἔεδνα.

Ver. 22. Παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο Οὐκέτι μέμνηται.]

Ἀπέπτυσ' αὐτὴν, ἥτις ἄνδρα τὸν πάρος
Κλωδοῖσι λέκτροις ἀποβαλοῦσ' ἄλλον φιλῶ.
Euripid. Troad. ver. 662

Παλαιὰ παιδῶν λέκτρα καὶ νεοδμήτων.
Id. Medea, ver. 76.

Ubi *Scholiastes* hunc *Homeri* locum citat.

Ver. 23. —— τεθνηότος.] Vide ad *Il.* β'. 818. *Al.* τεθνεότος.

Ver. 27. —— σὺ δὲ σύνθεο θυμῷ.]

— tu condita mente teneto. *Æn.* III. 388.

Ver. 28. Μνηστήρων σ' ἐπιτηδὲς.] Vide suprà ad γ'. 842. ϛ'c.

Ver. 29. Ἐν πορθμῷ Ἰθάκης.] Πορθμὸς ἐστὶ τινὶ θάλασσα ὑπὸ γῆς περιεχομένη· ἰσθμὸς δὲ τινὶ γῆ ὑπὸ θαλάσσης περιεχομένη. *Schol.*

Ibid. —— Σάμοιό τε παιπαλόεσσης.] Σάμον δὲ, τὴν νῦν Κεφαλληνίαν· ὡς καὶ ὅταν φῇ· "Ἐν πορθμῷ σ' Ἰθάκης τε, Σάμοιό τε παι-" παλόεσσης." Τῷ γὰρ ἐπιθέτῳ τὴν ὁμωνυμίαν διέσαλται, ὡς οὐκ ἐπὶ τῆς πόλεως, ἀλλ' ἐπὶ τῆς νήσου, τιθεὶς τοὔνομα. Τετραπόλεως γὰρ οὔσης τῆς νήσου, μία τῶν τεττάρων ἐστὶ καὶ Σάμος καὶ Σάμη καλουμένη, καθ' ἑκάτερον τοὔνομα ὁμωνυμοῦσα τῇ νήσῳ. *Strabo, Geograph. lib.* X. *pag.* 695. *al.* 453. *Apollodorus* autem, notante *Strabone, ibid.* insulam non Σάμην, sed Σάμον semper appellatam contendit. Vide suprà ad α'. 246. Cæterùm quod hîc ait *Scholiastes*, Τὴν Σάμην εἴρηκε Σάμον διὰ τὸ μέτρον· planè nihili est. Alibi enim occurrit vox Σάμη·

Μεσσηγὺς δὲ Σάμη τε καὶ Ἴμβρου παιπαλόεσσης. *Iliad.* ω'. 78.

Ubi facilè scribere potuisset Poëta Σάμης, si ita oportuisset.

Digitized by Google

Ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
Νυκτὶ δ' ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
Ἀθανάτων, ὅς τίς σε φυλάσσει τε ῥύεταί τε. 35
Αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι,
Νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους·
Αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος· ὁμῶς δέ τοι ἤπια οἶδεν.
Ἔνθα δὲ νύκτ' ἀέσαι· τὸν δ' ὀτρῦναι πόλιν εἴσω. 40
Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
Οὕνεκα οἱ σῶς ἐσσὶ, καὶ ἐκ Πύλου εἰλήλουθας.
Ἣ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
Αὐτὰρ ὁ Νεστορίδην ἐξ ἡδέος ὕπνου ἔγειρεν,
Λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν· 45
Ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
Ζεῦξον ὑφ' ἅρματ' ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
Τηλέμαχ', οὔπως ἐστὶν, ἐπειγομένους περ ὁδοῖο,
Νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ' ἔσσεται ἠώς. 50

" Sed longè ab insulis abstine benè-fabricatam navem,
" Cumque nocte simul naviga: mittet autem tibi ventum-secundum à-tergo
" Immortalium, quicunque te custoditque, tueturque. 35
" At ubi ad primum littus Ithacæ perveneris,
" Navem quidem in urbem mitte et omnes socios:
" Ipse verò primùm subulcum adi,
" Qui tibi suûm custos *est*, simulque tibi benè-vult.
" Illic autem noctem perage; eum verò mitte in urbem 40
" Nuncium laturum prudenti Penelopæ;
" Quòd ei salvus sis, et ex Pylo veneris."
Hæc quidem sic locuta abiit ad magnum Olympum.
At hic Nestoridem ex dulci somno excitavit
Calcitrando pede motum; et ei verbum dixit; 45
" Surge, Nestoride Pisistrate, solidos-ungulis equos
" Junge currui subducens, ut conficiamus iter."
Hunc autem Nestorides Pisistratus contrà allocutus est;
" Telemache, nequaquàm licet, festinantes quamvis ad-iter,
" Noctem per tenebrosam aurigare; citò autem aderit Aurora. 50

Ver. 39. —— ὁμῶς δὲ τοι ἤπια οἶδεν.] Vide suprà ad ν'. 405.

Ver. 43. Ἣ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη.]
—— Sic fatus, nocti se immiscuit atræ.
Æn. IV. 570.

Ver. 47. —— πρήσσωμεν ὁδοιο.] In vulgatis editum est πρήσομεν· Verùm cum in omnibus editionibus legatur πρήσσωμεν πρήσσησιν, *Iliad.* ω'. 264. *Odyss.* γ'. 476. ὁ. 219. ubi idem ferè hemistichium occurrit; etiam hîc πρήσσωμεν edidit.

Ver. 50. Νύκτα διὰ δνοφερὴν ἐλάαν.] Conjicit Dna. *Dacier* hoc eâdem accidisse nocte quam suprà depingit Poëta:
Νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ σποσομήνιος, &c. ξ'. 457.
ideoque hoc in loco noctem δνοφερὴν appellatam existimat: scilicèt ut dicat *Pisistratus*, " *nocte tam obscurâ et intempestâ iter nullo mo-* " *do instituendum esse.*" Sed malè. Neque enim Epitheton δνοφερὴ omninò noctem intempestam, aut solito obscuriorem denotat; sed omni nocti in universum tribuitur; neque, ut de eâdem ipsâ nocte hæc intelligantur, ulla videtur ratio. Reverà hoc dicit *Pisistratus*, " *noctem*, (*non* istam *utique*, " *sed* omnem), *ad iter faciendum*, *tempus esse* " *omnino inidoneum.*"

Digitized by Google

Ἀλλὰ μέν, εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείη
Ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
Καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψῃ.
Τῷ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
Ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ· 55
Ὣς ἔφατ᾽· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν ἠώς.
Ἀγχίμολον δέ σφ᾽ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Ἀνστὰς ἐξ εὐνῆς, Ἑλένης παρὰ καλλικόμοιο.
Τὸν δ᾽ ὡς ἓν ἐνόησεν Ὀδυσσῆος φίλος υἱός,
Σπερχόμενός ῥα χιτῶνα περὶ χροῖ σιγαλόεντα 60
Δῦνεν, καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς βάλετ᾽ ὤμοις
Ἥρως· βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Ἤδη νῦν μ᾽ ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν· 65
Ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ᾽ ἱκέσθαι.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
Τηλέμαχ᾽, ἤτι σ᾽ ἔγωγε πολὺν χρόνον ἐνθάδ᾽ ἐρύξω
Ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ

"Sed mane, dum dona ferens in-currum posuerit
"Heros Atrides, hastâ-inclytus Menelaus,
"Et verbis mitibus compellatum dimiserit.
"Etenim hospes recordatur dies omnes
"Viri hospitalis, qui amicitiam præbuerit." 55
Sic dixit: statim autem aureo-solio venit Aurora.
Propè autem ad eos venit bello strenuus Menelaus,
Ubi-surrexisset è lecto, Helenâ à comas-pulchrâ.
Hunc autem postquam animadvertit Ulyssis dilectus filius,
Festinans utique tunicam circum corpus splendidam 60
Induit, et magnum pallium fortibus injecit humeris
Heros: ivit autem foràs, astitisque allocutus est
Telemachus, dilectus filius Ulyssis divini;
"Atride Menelaë Jovis-alumne, princeps populorum,
"Jam nunc me dimitte dilectam in patriam terram; 65
"Jam enim mihi animus cupit domum ire."
Huic autem respondit deindè bello strenuus Menelaus;
"Telemache, non te ego in multum tempus hîc detinebo
"Cupientem reditûs: succenseo autem et alii

Ver. 51. —— ἐπιδίφρια.] Ἐπὶ τὸν δίφρον τιθέμενα, ἢ τὸ ἅρμα. *Schol.*

Ver. 60. Σπερχόμενος ῥα χιτῶνα.]

Consurgit ——, tunicâque inducitur artus. *Æn.* VIII. 457.

Ver. 62. —— παριστάμενος δὲ προσηύδα.] *Al.* παρεστάμενος δ᾽ ἔπος ηὔδα.

Ver. 63. Τηλέμαχος.] Deest hic versus in nonnullis Editionibus, itemque in MS. à *Tho. Bentleio* collato. "Ac certè," inquit *Henricus Stephanus*, "malim abesse, quòd "supervacaneus videatur."

Ver. 69. 70. —— νεμεσσῶμαι δὲ καὶ ἄλλῳ Ἀνδρὶ &c.] Apud *Dionysium Halicarnassensem*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 19. *sub initio*, contrahuntur hæc in unum versum, hoc modo;

Καὶ δ᾽ ἄλλῳ νεμεσῶ, ὅς κ᾽ ἔξοχα μὲν φιλέῃσιν.

Vide ad *ver.* 70.

Digitized by Google

Ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν, 70
Ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.
Ἴσόν τοι κακὸν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
Ξεῖνον ἐποτρύνῃ, καὶ ὃς ἐσσύμενον κατερύκῃ·
Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
Ἀλλὰ μένε', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείω 75
Καλὰ, σὺ δ' ὀφθαλμοῖσιν ἴδῃς· εἴπω δὲ γυναιξὶν,
Δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
Ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη, καὶ ὄνειαρ,
Δειπνήσαντας ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν.
Εἰ δ' ἐθέλεις τρεφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος, 80
Ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
Ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἡμέας

" Viro hospitali, qui immoderatè quidem diligat, 70
" Immoderate autem oderit; meliora nempe æquabilia omnia.
" Æquale sanè malum est, qui et nolentem redire
" Hospitem impellat, et qui ire festinantem detineat:
" Oportet hospitem præsentem amicè tractare, volentem autem dimittere.
" Sed mane, dum dona ferens in currum posuero 75
" Pulchra; tu autem oculis videris: dicam verò mulieribus,
" Jentaculum in ædibus ut parent abundè ex intùs existentibus.
" Utrumque, gloriaque et splendor, et utilitas est,
" Pastos ire multam super immensam terram.
" Sin vis divertere in Hellada, et medium Argos; 80
" Ut te ipse sequar; subjungam autem tibi equos,
" Et ad urbes hominum ducam; neque quisquam nos

Ver. 70. —— ὅς κ' ἔξοχα μὲν φιλέῃσιν, Ἔξοχα δ' ἐχθαίρῃσιν.] Τῆς δὲ Ὁμήρου σοφίας κἀκεῖνα καταμαθεῖν ἐστὶ δείγματα, ὅτι καλὰ καὶ πολλὰ σοφῶν ἀνδρῶν ἀποφθέγματα προαναφώνησεν· οἷον τὸ —— Μηδὲν ἄγαν· " Καὶ δ' ἄλλῳ " νεμεσῶ, ὅς κ' ἔξοχα &c. *Dionys. Halicarn.* φιλοτ. τῆς Ὁμήρου ποιήσεως, § 19.

Χρὴν γὰρ μετρίας ἀλλήλους
Φιλίας θνητοὺς ἀνακίρνασθαι,
Καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς.
Euripid. Hippolyt. ver. 253.

Ibid. 71. —— ἀμείνω δ' αἴσιμα πάντα.] Ἐγγὺς ἐστὶ τοῦ εἰπεῖν, ὡς πάντων μέτρον ἄριστον. *Eustath.*

Ver. 73. —— ἐποτρύνῃ, —— κατερύκῃ.] *Al.* ἐποτρύνει, —— κατερύκει.

Ver. 74. Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.] Sic apud *Theocritum*;

Μηδὲ ξεινοδόκον κακὸν ἴμμεναι· ἀλλὰ τρεφέζα
Μειλίξαν· ἀποπέμψαι, ἐπὰν ἐθέλοντι νέεσθαι.
Idyll. XVI. 27.

—— nè sit mora; mitte volentem.
Ovid. Fast. lib. IV. *ver.* 269.

Καὶ οἵ γε ἄνθρωποι ὑποδέχονται αὐτὴν [χιλιδόνα] κατὰ τὸν τῆς Ὁμηρικῆς ξενίας θεσμὸν, ὃς κελεύει καὶ φιλεῖν τὸν παρόντα, καὶ εἴνεκα βελόμενον ἀποπέμπειν. *Ælian. de Animal. lib.* I. *cap.* 52.

Ver. 78. Ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη, καὶ ὄνειαρ, Δειπνήσαντας ἴμεν.] Τυτίζει τὸ τοὺς ξένους δειπνήσαντας ὑποχωρῆσαι εἰς ὄδον, ὄνειαρ μὲν τῷ ξενοδοχηθέντι διὰ τὸ φαγεῖν —— κῦδος δὲ καὶ ἀγλαΐα τῷ ξενοδοχήσαντι. *Eustath.* Atqui utrumque videtur τῷ ξενοδοχηθέντι tribuendum. Cæterùm *Scholiastes* κῦδος hîc exponit παράστημα ψυχῆς.

Ver. 79. Δειπνήσαντας.] Vide suprà ad γ. 535.

Ver. 80. —— ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος.] Ποιητικῷ δὲ τινὶ σχήματι συγκαταλέγων τὸ μέρος τῷ ὅλῳ φασὶ τὸν Ὅμηρον ὡς τὸ " ἀν' " Ἑλλάδα καὶ μέσον Ἄργος." *Strabo, Geograph. lib.* VIII. *pag.* 524. *al.* 340. Vide autem suprà ad ά. 344. et ad *Il.* β'. 528.

Ver. 81. Ὄφρα τοι αὐτὸς ἕπωμαι.] Τὸ καὶ " ὄφρα ἕπωμαι" ἀπὸ κοινοῦ ἔχει χρειωτικῶς τὸ " μένε εἰσόκε·" [suprà *ver.* 75.] οἷον, Ἀλλὰ μένε εἰσόκε δῶρα φέρω καλὰ· εἰ δ' ἐθέλοις, μένε δηλαδὴ, ὄφρα τοι αὐτὸς ἕπωμαι. *Eustath.*

Digitized by Google

Αὖτως ἀποπέρψει, δώσει δέ τι ἔν γε φέρεσθαι,
Ἥ τινα τρίποδον ἐϋχάλκων, ἠὲ λεβήτων,
Ἠὲ δύ' ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον. 85
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Βέλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ· (ἐ γὰρ ὄπισθεν
Οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσι·)
Μὴ πατέρ' ἀντίθεον διζήμενος, αὐτὸς ὄλωμαι, 90
Ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
Αὐτίκ' ἄρ' ἦ ἀλόχῳ ἠδὲ δμωῇσι κέλευσε,
Δεῖπνον ἐνὶ μεγάροις στευκεῖν ἅλις ἔνδον ἐόντων.
Ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοίδης Ἐτεωνεὺς, 95
Ἀνστὰς ἐξ εὐνῆς, ἐπεί ἑ πολὺ ναῖεν ἀπ' αὐτῆς·
Τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος,
Ὀπτῆσαί τε κρεῶν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκέσας.
Αὐτὸς δ' ἐς θάλαμον κατεβήσατο κηώεντα,

" Incassùm remittet; dabit autem aliquid unum saltem ferendum;
" Aut aliquem tripodum benè-æratorum, aut lebetum,
" Aut duos mulos, aut aureum poculum." 85
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" Atride Menelaë Jovis-alumne, princeps populorum,
" Volo jam redire ad nostra; (non enim ponè
" Custodem discedens reliqui apud possessiones meas:)
" Nè patrem deo-parem quærens, ipse peream, 90
" Aut aliquod mihi ex ædibus supellectile pereat."
At postquam hoc audiiset bello strenuus Menelaus,
Statim suam uxorem et famulas jussit,
Jentaculum in ædibus parare abundè ex intùs existentibus:
Propè autem ad ipsum venit Boëthœdes Eteoneus, 95
Ubi surrexisset è lecto; quippe non procul habitabat ab ipso:
Hunc ignem accendere jussit bello strenuus Menelaus,
Assaresque carnes; is verò non inobsequens fuit, ubi audivisset.
Ipse autem in thalamum descendit odoratum,

Ver. 83. Αὖτως ἀποπέρψει.] Ita omnes. Quod tamen, ut opinor, ferri non potest. *Barnesius* quidem *Anapæstum* quovis in loco pro *Dactylo* adhiberi posse contendit. Verùm ejus rei exemplum alibi apud *Homerum* non occurrit. In versu enim isto quem hîc citat vir eruditus, *Odyss.* β'. 289. Ὀπλισσον δ' ἵππε ἐ ἄγχιστα ——, pes tertius "ἵππε ἐ" non est *Anapæstus*, sed *Dactylus*; quippè vox ἵππε mediam naturâ producit. Et in aliis locis à *Barnesio* ibi (ad *Odyss.* β'. 289.) citatis; Βορέης ἐ Ζέφυρος —— *Iliad.* ί. 5. Νέα μὲν μοι πείσατε —— *Odyss.* ί. 283. Ἴρηνον δὲ σύας —— ε'. 181. pedes isti "Βορέης," "Νέα μὲν," "Ἴρηνον," non sunt *Anapæsti*, sed *Spondæi*: pronuntiando nimirùm, Βόῤῥης, Νᾶ μὲν, Ἴρηνν: ideòque hoc in loco errorem aliquem latere crediderim. Quænam autem vera denùm sit lectio, non liquet.

Ver. 85. Ἠὲ δύ' ἡμιόνους.] Ἐν δὲ τῷ, "δύ' "ἡμιόνους," δύο μὲν λέγει διὰ τὴν ξυνωρίδα. Οὐ γὰρ ἐπελήτιζον οἱ ἥρωες τότε. *Eustath.* Atqui equos celetes tunc in usu fuisse liquet ex *Iliad.* ά. 679. &c.

Ver. 97. 98. Τὸν πῦρ κῆαι ἄνωξε —— Ὀπτῆσαί τε κρεῶν.] "Mallem hîc," inquit *Barnesius*, "legere Ὀπτῆσαι κρειῶν, ut sensus sit, "*Ignem jussit accendere, Ad assandum carnes.*" Sed malè.

Ibid. —— κῆαι.] *Al.* κεῖαι.

Digitized by Google

Οὐκ οἶος, ἅμα τῷγ' Ἑλένη κίε καὶ Μεγαπένθης. 100
Ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθ' οἱ κειμήλια κεῖτο,
Ἀτρείδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,
Υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε' ἄνωγεν
Ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
Ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἃς κάμεν αὐτή. 105
Τῶν ἕν' ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
Ὃς κάλλιστος ἔην ποικίλμασιν, ἠδὲ μέγιστος·
Ἀστὴρ δ' ὡς ἀπέλαμπεν, ἔκειτο δὲ νείατος ἄλλων.
Βὰν δ' ἰέναι προτέρω διὰ δώματος, ἕως ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος· 110
Τηλέμαχ', ἦτοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
Ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
Δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
Δώσω, ὃ κάλλιστον καὶ τιμηέστατον ἐστί·
Δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ 115

Non solus; simul cum-ipso Helena ivit et Megapenthes. 100
Sed quandò jam pervenissent, ubi ei bona-recondita jacebant,
Atrides quidem deindè poculum cepit rotundum,
Filium autem craterem portare Megapenthem jussit
Argenteum: Helena verò astitit arcis,
Ubi erant ei pepla omnigeno-artificio-varia, quæ elaboraverat ipsa. 105
Horum unum sublatum Helena ferebat, præstantissima mulierum,
Quod pulcherrimum erat ornatu-versicolori, et maximum;
Stella autem veluti resplendebat; jacebat verò ultimum omnium.
Perrexerunt autem ire ulteriùs per domum, donec pervenissent
Ad-Telemachum: hunc autem allocutus est flavus Menelaus; 110
" Telemache, sanè reditum, quemadmodum animo tuo cupis,
" Sic tibi Jupiter perficiat, altitonans maritus Junonis.
" Donorum autem, quotquot in meâ domo recondita jacent,
" Dabo, quod optimum et pretiosissimum est:
" Dabo tibi craterem elaboratum; argenteus autem 115

Ver. 101. —— ἵκανον, ἔθ' οἱ κειμήλια κεῖτο.] Ita edidit *Barnesius*. *Vulgg.* ἔθι οἱ. Quod versum perimit: nam ἵκανον mediam semper producit. Cæterùm MS. à *Tho. Bentleio* collatus habet ἔθι κειμήλια κεῖτο.

Ver. 102. et 120. —— ἀμφικύπελλον.] Κατὰ τὸν Δειπνοσοφιστὴν,] *Athenæum*, *lib.* XI. *cap.* 9.] ἀμφικύπελλον ἤδιν ἄλλο σημαίνει, ἢ ὅτι ἦν ἀμφίκυρτον. Σιληνὸς δὲ, τὸ μὴ ἔχον ὦτα. *Eustath.* Ubi plures hujus vocis interpretationes affert. Vide et ad *Il. ά.* 584.

Ver. 104. —— φωριαμοῖσιν.] Τοῖς κιβωτοῖς. *Schol.*

Ver. 109. —— διὰ δώματος.] *Eustathius* videtur legisse διὰ δώματα.

Ibid. —— ἕως ἵκοντο.] " En," inquit *Barnesius*, " *Amphibrachyn* in *Sexto* loco." Minùs rectè. Pronuntiabatur enim ac si scriptum fuisset ὅτι ἵκοντο vel ὅσ' ἵκοντο. Vide ad *Il. ό.* 539. *Al.* εἵως ἵκοντο. Quod vix ullâ ratione ferri potest.

Ver. 115. Δώσω τοι κρητῆρα τετυγμένον.]

Ipsius Anchisæ longævi hoc munus habebis,
Cratera impressum signis, quem Thracius olim
Anchisæ genitori in magno munere Cisseus
Ferre sui dederat monimentum et pignus amoris. *Æn.* V. 535.

Ibid. —— κρητῆρα τετυγμένον.] Quoniam *Menelaus Telemacho* δίπας ἀμφικύπελλον ipse tradere dicatur, infrà *ver.* 120. ideò per κρητῆρα τετυγμένον hoc in loco poculum istud intelligit Dna. *Dacier*. " Homére," inquit, " donne ici le même nom à la coupe " que Menelas met entre les mains de Te-

Digitized by Google

Ἐστὶν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται·
Ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεὺς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
Κεῖσέ με νοστήσαντα· τεῖν δ' ἐθέλω τόδ' ὀπάσσαι.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον 120
Ἥρως Ἀτρείδης· ὁ δ' ἄρα κρητῆρα φαεινὸν
Θῆκ' αὐτῇ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης
Ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρηος,
Πέπλον ἔχεσ' ἐν χερσὶν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τεῦτο δίδωμι, 125
Μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,

" Est totus, auro verò labra munita sunt;
" Opus verò Vulcani: donavit autem illum *miki* Phædimus heros,
" Sidoniorum rex, quandò ejus domus suscepit
" Illic me in-reditu-profectum: tibi autem volo hoc præbere."
Sic locutus, in manibus ponebat poculum rotundum 120
Heros Atrides; craterem verò splendidum
Posuit ante ipsum ferens fortis Megapenthes
Argenteum: Helena autem astitit genas-pulchra,
Peplum habens in manibus, verbumque dixit, et compellabat;
" Donum tibi et ego, fili dilecte, hoc do, 125
" Monumentum Helenæ manuum, optabilium in nuptiarum tempus,

" lemaque, et à l'urne que Megapenthes " met à ses pieds; car il appelle l'une et " l'autre *κρητῆρα*." Quod nullo modo ferri potest. Apertissimè enim apud Poëtam distinguitur Poculum à Cratere permultis in locis, præsertim autem hîc *ver.* 102. 103. et *ver.* 120. 121.

Ibid. —— *τετυγμένον.*] Vide ad *Il.* ζ'. 488.

Ver. 117. —— "Ἔργον δ' Ἡφαίστοιο.] Δεῖ δὲ δέχεσθαι πρὸς ὑπερβολὴν εἰρημένον τὸ, " Ἡφαίστου ἔργον," ὡς λέγεται Ἀθηνᾶς ἔργα, τὰ καλὰ, καὶ Χαρίτων, καὶ Μουσῶν· ἐπεὶ ὅτι γε οἱ ἄνδρες [Σιδόνιοι] ἦσαν καλλίτεχνοι, δηλοῖ τὸν κρατῆρα ἐπαινῶν ὃν ὁ Εὔνεως ἔδωκεν ἀντὶ Λυκάονος· φησὶ γὰρ, [*Il.* ψ'. 742.] " —— κάλλει " ἐπέπα πᾶσαν ἐπ' αἶαν Πολλὰν, ἐπεὶ Σιδόνες " πολυδαίδαλοι εὖ ἤσκησαν." *Strabo, Geograph. lib.* I. *pag.* 70. *al.* 41.

Ibid. —— πόρεν δὲ ἑ Φαίδιμος ἥρως, Σιδονίων βασιλεὺς.] Vide suprà ad δ'. 617.

Ver. 119. Κεῖσε με νοστήσαντα.] *Barnesius* vocem *νοστήσαντα* hoc in loco non " *reversum*," sed " *profectum*," vertendam contendit. Νοστῆσαι, ἐπὶ τῷ οἴκαδε ἐπανελθεῖν εἰρηται κεῖται δὲ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἁπλῶς ἐλθεῖν· " Κεῖσε με νοστήσαντα." *Phavorinus à Barnesio citatus.* Idque ex eo porrò confirmari existimat *Barnesius*, quòd cum voculâ *κεῖσε* conjuncta fit. Verùm cùm *νοστέω* isto sensu nusquam alibi apud *Homerum* occurrat, rectiùs fortassè *Eustathius*; Ἴσως δὲ (inquit) ἀ αὐτὸ [νοστῆσαι] ἐπὶ τοῦ οἴκαδε ἐπανελθεῖν εἴρηται. Εἰ γὰρ ἀ μὴ εἰς Σιδόνα ἐνόστησεν ὁ Μενέλαος, ἀλλ' ἐν τῷ οἴκαδε παλινοστεῖν ἐπλανήθη ἐκεῖ. Quin et alibi occurrit vox *νοστήσαντα* etiam cum voculâ *κεῖσε* conjuncta, ubi sensu vulgato planè usurpatur;

Κεῖσε με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.
Iliad. ψ'. 145.

Ver. 120. —— χερσὶ.] *Al.* χειρὶ.

Ver. 123. —— Ἑλένη δὲ παρίστατο καλλιπάρηος, Πέπλον ἔχεσ'.]

Nec minùs Andromache, digressu mœsta supremo,
Fert picturatas auri subtemine vestes,
Et Phrygiam Ascanio chlamydem ——.
Æn. III. 482.

Ver. 124. —— ἐν χερσὶν.] *Al.* ἐν χειρὶ.

Ver. 125. Δῶρον τοι ἀ ἐγὼ, —— Μνῆμ' Ἑλένης χειρῶν.] *Al.* Δῶρόν τι ἀ ἐγὼ.

Accipe et hæc, manuum tibi quæ monumenta mearum
Sint, puer, et longum Andromachæ testentur amorem. *Æn.* III. 486.

Ibid. —— τέκνον φίλε.] Vide suprà ad λ' 90. 91.

Ver. 126. —— πολυηράτου ἐς γάμου ὥρην.] Τὸ δὲ, πολυηράτου, ἀμφιδολίαν ἔχει. Ἄδηλον γὰρ εἴτε πολυηράτου Ἑλένης ῥητέον, εἴτε γάμου πολυηράτου. *Eustath.* Verùm prior ista accipiendi ratio ad vocis πολυηράτου significa-

Digitized by Google

Σῇ ἀλόχῳ φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ
Κείσθω ἐνὶ μεγάρῳ· σὺ δέ μοι χαίρων ἀφίκοιο
Οἶκον ἐϋκτίμενον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς εἰπὼν ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων. 130
Καὶ τὰ μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
Δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ.
Τὼς δ' ἦγε πρὸς δῶμα πάρη ξανθὸς Μενέλαος·
Ἕζέσθην δ' ἄρ' ἔπειτα κατὰ κλισμούς τε, θρόνους τε.
Χέρνιβα δ' ἀμφίπολος πρόχοῳ ἐπέχευε φέρουσα 135
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Πὰρ δὲ Βοηθοίδης κρέα δαίετο, καὶ νέμε μοίρας· 140
Ὠνοχόει δ' υἱὸς Μενελάου πυδαλίμοιο·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

" Tuæ uxori gestandum; interim verò dilectam apud matrem
" Jacet in domo: tu autem mihi gaudens perveneris
" Domum ad benè-ædificatam, et tuam in patriam terram."
Sic locuta in manibus posuit, hic autem accepit gaudens. 130
Et hæc quidem in capsum posuit Pisistratus heros
Accepta; et omnia suo admiratus est animo.
Hos autem duxit ad domum capite flavus Menelaus:
Sederunt verò deindè in sedibusque, soliisque.
Aquam autem famula gutturnio infudit ferens 135
Pulchro, aureo, super argenteo lebete,
Ad-lavandum: juxtaque politam extendit mensam.
Panem verò veneranda proma apposuit ferens,
Ferculis multis impositis, gratificans de præsentibus.
Juxta autem Boëthœdes carnes dividebat, et distribuebat portiones; 140
Vinum verò fundebat filius Menelai inclyti;
Hi autem ad cibos paratos appositos manus extendebant.

---

tionem multò minùs apta; ad sententiam, cùm de se ipsa loquatur *Helena*, planè absurda. Vide infrà ad *ver.* 365. et ψ'. 354. Cæterùm deducta vox πολυήρατος non ex ἐρῶμαι, (penultimam enim tum necessariò produceret); sed ex ἴραμαι. Vide ad *Il.* α'. 67.

Ver. 127. Σῇ ἀλόχῳ φορέειν]. Non, uti malè reddit *Barnesius*, " *Ut tuæ uxori portes;*" sed, ut rectè versio *Westeniana*, " *Tuæ uxori gestandum.*" Aptiùs nimirùm congruit hæc interpretatio et cum reliquâ sententiâ, et cùm ipsius vocis φορέειν significatione: Eodem enim sensu alibi apud Poëtam usurpatur hæc vox;

——— τὰ μὲν ὅτι κατα θη]εῖσιν ἕοικεν
Ἀνδρεσσιν φορέειν ———. *Iliad.* κ'. 440.

——— τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
Ἣ κεφαλῇ φορέειν ———. κ'. 799.

Ver. 128. Κείσθω.] *Al.* Κείσθαι.

Ver. 130. ——— χερσὶ.] *Al.* χειρὶ.

Ver. 131. ——— πείρινθα.] Κιβώτιον τῆς ἐκ μάζης. *Schol.*

Ver. 139. Εἴδατα πόλλ' ἐπιθεῖσα.] Deest hic versus in MSS. duobus à *Tho. Bentleio* collatis.

Ver. 140. ——— κρέα δαίετο.] Συμβάλλει δὲ, τὸ κρέα τὴν λύγκειαν ἐνταῦθα, εἰς ἀποκοπὴν παθὸν ἐκ τοῦ κρέατος. *Eustath.*

Ver. 141. Ὠνοχόει δ' υἱὸς Μενελάου.] Ὠνοχόον παρὰ τοῖς ἀρχαίοις οἱ εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός· " Ὠνοχόει δ' υἱὸς Μενε- " λάου πυδαλίμοιο." Καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν ποιεῖν ἀνεγκόμενος, *Athenaeus*, *lib.* X. *cap.* 6.

Digitized by Google

Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Καὶ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
Ἵππους τε ζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον· 145
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἠριδούπου.
Τὼς δὲ μέτ', Ἀτρείδης ἕκιε ξανθὸς Μενέλαος,
Οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
Χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
Στῆ δ' ἵππων προπάροιθε· δεδισκόμενος δὲ προσηύδα· 150
Χαίρετον, ὦ κέρω, καὶ Νέστορι ποιμένι λαῶν
Εἰπεῖν· ἦ γὰρ ἔμοιγε, πατὴρ ὥς, ἤπιος ἦεν,
Εἴως ἐν Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Καὶ λίην κείνῳ γε, διοτρεφὲς, ὡς ἀγορεύεις, 155
Πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἶ γὰρ ἐγὼν ὥς
Νοστήσας, Ἰθάκηνδε κιὼν, Ὀδυσεῖ ἐνὶ οἴκῳ
Εἴποιμ', ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
Ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά.

At postquam potûs et cibi desiderium exemissent,
Utique tunc Telemachus et Nestoris illustris filius
Equosque junxerunt, currusque variegatos conscenderunt: 145
Exegerunt autem è vestibulo et porticu sonorâ.
Cum his verò Atrides ivit flavus Menelaus,
Vinum habens in manu dulce dextrâ,
Aureo in poculo, ut ubi-libâssent proficiscerentur.
Stetit autem equos ante; propinansque allocutus est; 150
" Valete, ô juvenes, et Nestori pastori populorum
" Dicite *salutem*; certè enim mihi, pater tanquam, mitis erat,
" Quamdiù in Trojâ pugnabamus filii Achivorum."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" Et omninò illi, Jovis-alumne, sicut dicis, 155
" Omnia hæc profecti narrabimus: utinam enim ego sic
" Reversus, in Ithacam ubi-venero, Ulyssi in domo
" Dixero, ut à te potitus amicæ-tractationis omnigenæ
" Veniam, afferam autem supellectilia multa et bona."

Ver. 144. Καὶ τότε.] *Al.* Δὴ τότε.

Ver. 146. —— αἰθούσης ἠριδούπου.] Ita ex Editt. Vett. rectè restituit *Barnesius*; ita enim in omnibus legitur *Iliad.* ά. 323. *Odys.* γ'. 399. 493. quin et ita hîc habet MS. à *Tho. Bentleio* collatus. *Vulgg.* ἠριγλώσσου. Quod versum perimit.

Ver. 149. Χρυσέῳ ἐν δέπαϊ, ὄφρα.] Nullâ analogiâ produci potest ultima vocis δέπαϊ. Vide ad *Il.* ά. 342. et ώ. 285. Cæterùm fortasse legendum Ἐν δέπαϊ χρυσέῳ, ὄφρα &c. scilicèt ut χρυσέῳ (uti sæpe fit) pronuntietur χρυσῷ. Ita certe alibi Poëta;

—— ἐν δ' οἶνον ἔχεον
Ἐν δέπαϊ χρυσέῳ ——. *Odyss.* ύ. 260.
Καὶ δέπαϊ χρυσέῳ διεδέκοντο, ——. ά. 120.

Ver. 151. —— ὦ Νέστορι ποιμένι λαῶν Εἰπεῖν.] Nempè Εἰπεῖν, χαίρειν.

Ver. 152. —— πατὴρ ὥς, ἤπιος ἦεν.] Vide suprà ad β'. 47. et 284.

Ver. 153. Εἴως ἐν Τροίῃ] *Al.* Ἕως ἐνὶ Τροίῃ. Vide suprà ad *ver.* 109.

Ver. 157. —— κιὼν, Ὀδυσεῖ ἐνὶ οἴκῳ.] *Al.* κιχὼν Ὀδυσῆ ἐνὶ οἴκῳ. Cæterùm MS. à *Tho. Bentleio* collatus habet Ὀδυσῆϊ.

Digitized by Google

Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις, 160
Αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,
Ἥμερον ἐξ αὐλῆς· οἱ δ' ἰύζοντες ἕποντο
Ἄνέρες ἠδὲ γυναῖκες· ὁ δὲ σφισιν ἐγγύθεν ἐλθὼν
Δεξιὸς ἤϊξε πρόσθ' ἵππων, οἱ δὲ ἰδόντες
Γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη. 165
Τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
Φράζεο δὴ, Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν,
Εἰ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας, ἠέ σοι αὐτῷ.
Ὣς φάτο· μερμήριξε δ' ἀρηΐφιλος Μενέλαος,
Ὄππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας. 170
Τὸν δ' Ἑλένη τανύπεπλος ὑποφθαμένη φάτο μῦθον·
Κλῦτε μευ, αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Ἀθάνατοι βάλλεσσι, καὶ ὡς τελέεσθαι ὀΐω.
Ὡς ὅδε χὴν ἥρπαξ', ἀτιταλλομένην ἐνὶ οἴκῳ,
Ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε, τόκος τε· 175
Ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν, καὶ πόλλ' ἐπαληθεὶς,
Οἴκαδε νοστήσει, καὶ τίσεται· ἠὲ καὶ ἤδη

Sic ei locuto supervolavit dextera avis, 160
Aquila album anserem ferens unguibus magnum,
Mansuetum è chorte; clamantes autem sequebantur
Viri et mulieres: hæc verò ipsos propè cum-venisset
Dextera emicuit ante equos: hi autem conspicati
Gavisi-sunt; et omnibus in mentibus animus lætatus est. 165
His autem Nestorides Pisistratus exordiebatur sermonem;
"Considera jam, Menelaë Jovis-alumne, princeps populorum,
"An nobis hoc ostenderit deus portentum, an tibi ipsi."
Sic dixit; cogitabat autem bellicosus Menelaus,
Quomodò ei ritè responderet meditatus. 170
Hunc autem Helena stolata præveniens dixit verbum;
"Audite me; at ego vaticinabor, sicut in animo
"Immortales suggerunt, et sicut perfectum-iri puto.
"Sicut hæc anserem rapuit, nutritum in domo,
"Profecta ex monte, ubi ei genusque, partusque; 175
"Sic Ulysses mala multa passus, et multùm vagatus,
"Domum redibit, et ulciscetur; aut etiam jam

Ver. 160. —— ἐπέπταστο δεξιὸς ὄρνις, Αἰετὸς ἀργὴν χῆνα φέρων.]

Namque volans rubrâ fulvus Jovis ales in æthrâ, ——
Cycnum excellentem pedibus rapit improbus uncis. *Æn.* XII. 247. 249.

Ver. 162. —— ἰύζοντες.] Vide suprà ad *i.* 394. et ad *Il.* δ'. 455.

Ver. 163. —— ὁ δὲ σφισὶν ἐγγύθεν ἐλθὼν.] Ita ex Editt. Vett. et ex *Eustathio* rectè restituit *Barnesius*: Atque ita habet MS. à *Tho. Bentleio* collatus. *Al.* ὁ δὲ σφιν ἐγγύθεν ἐλθὼν.

Ver. 164. —— οἱ δὲ ἰδόντες γήθησαν.]

Tum verò augurium Rutuli clamore salutant. *Æn.* XII. 257.

Ver. 168. Εἰ νῶϊν.] *Al.* Ἢ νῶϊν.

Ver. 170. —— ὑποκρίναιτο.] Vide ad *Il.* *ε.* 309. 338.

Ver. 171. Τὸν δ'.] *Al.* Τὸν γ'.

Ibid. —— ὑποφθαμένη.] Vide ad *Il.* β'. 43.

Digitized by Google

Οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντιὸν ηὔδα·
Οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης,
Τῷ κέν τοι καὶ κεῖθι, θεῷ ὥς, εὐχετοῴμην.
Ἦ, καὶ ἐφ' ἵπποιϊν μάστιν βάλεν· οἱ δὲ μάλ' ὦκα
Ἤϊξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
Οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.
Ἐς Φηρὰς δ' ἵκοντο, Διοκλῆος ποτὶ δῶμα,
Υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
Ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Ἵππους τε ζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
Μάστιζεν δ' ἔλαων· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
Αἶψα δ' ἔπειθ' ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·

"Domi *est:* quinetiam procis malum omnibus serit."
Hanc autem rursùs Telemachus prudens contrà allocutus est;
"Sic nunc Jupiter faciat, altitonans maritus Junonis; 180
"Ita tibi et illic, deo tanquàm, vota-fecerim."
Dixit: et equis flagellum incussit: hi autem valdè celeritèr
Ruerunt ad-campum per urbem prompti.
Ii verò toto die quatiebant jugum utrinque habentes:
Occidit autem sol, obumbrabanturque omnes viæ. 185
Ad Pheras vero pervenerunt, Diocleï ad domum,
Filii Orsilochi, quem Alpheus genuit filium.
Illic verò noctem peregerunt: is verò eis hospitalia apposuit.
Quandò verò manè-genita apparuit rosea-digitis aurora,
Equosque junxerunt, currusque variegatos conscenderunt; 190
Exegerunt autem è vestibulo et porticu sonorâ:
Flagellavit verò *Pisistratus*, ut inirent-cursum; ii autem non inviti volârunt.
Statim verò posteà venerunt ad Pyli altam urbem:

Ver. 178. —— ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.] Ita edidit *Barnesius* ex *Odyss.* ε'. 159. ubi in omnibus ita scriptum occurrit; et ex *Eustathio*, qui in commentario hunc versum hoc modo citat; Οἴκοι ἐνὶ, μνηστῆρσι κακὸν πάντεσσι φυτεύων. Cum *Barnesio* porrò facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* μνηστῆρσι κακὰ πάντεσσι φυτεύει. Quod et ipsum ferri posset. Vide ad *Il.* ε'. 51.

Ver. 182. —— μάστιν.] Vide ad *Il.* ψ'. 500.

Ver. 185. Δύσετο τ' ἠέλιος, σκιόωντο τε πᾶσαι ἀγυιαί.]

Vertitur intereà cœlum, et ruit Oceano nox,
Involvens umbrâ magnâ terramque polumque. *Æn.* II. 250.

Sol ruit intereà, et montes umbrantur opaci. *Æn.* III. 508.

Cæterùm vulgati hîc habent Δύσετο τ' ἠέλιος, &c. *Barnesius* autem edidit Δύσετο· rectè; *Primam* enim producit.

Ver. 186. Ἐς Φηρὰς δ' ἵκοντο.] *Al.* Ἐς δὲ Φερὰς ἵκοντο· uti infrà *ver.* 296. Ἦ δὲ Φερὰς ἐτίθαλλεν.

Ver 187. —— Ὀρσιλόχοιο.] MS. à *Tho. Bentleio* collatus, Ὀρτιλόχοιο· Atque ita in pluribus Editionibus legitur suprà γ'. 488. et infrà φ'. 16.

Ver. 188. Ἔνθα δὲ νύκτ' ἄεσαν.] *Barnesius* sensum postulare existimat, ut scribatur Ἐνθάδε. Sed minùs rectè. Vide ad *Il.* Θ'. 160.

Ver. 191. —— ἐριδούπου.] *Al.* ἐριγδούπου. Vide suprà ad *ver.* 146.

Digitized by Google

Καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας 195
Μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
Ἐκ πατέρων φιλότητος· ἀτὰρ καὶ ὁμήλικες ἐσμέν·
Ἤδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
Μή με παρὲξ ἄγε νῆα, διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ,
Μή με γέρων ἀέκοντα κατάσχῃ ὦ ἐνὶ οἴκῳ, 200
Ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼν θᾶσσον ἱκέσθαι.
Ὡς φάτο· Νεστορίδης δ' ἄρ' ἑῷ συμφράσσατο θυμῷ,
Ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν·
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Στρέψ' ἵππους ἐπὶ νῆα θοὴν, καὶ δῖνα θαλάσσης· 205
Νηῒ δ' ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
Ἐσθῆτα, χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκε·
Καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Σπουδῇ νῦν ἀνάβαινε, κέλευέ τε πάντας ἑταίρους,
Πρὶν ἐμὲ οἴκαδ' ἱκέσθαι, ἀπαγγεῖλαί τε γέροντι· 210

Et tunc Telemachus allocutus est Nestoris filium;
" Nestoride, quomodo mihi pollicitus perfeceris 195
" Verbum meum? hospites autem penitùs gloriamur esse
" Ex patrum amicitiâ; atqui et æquales-ætate sumus:
" Hoc autem iter magis concordiâ *nos* conjunget.
" Nè me præter navem agas, ô Jovis-alumne, sed relinque illic;
" Nè me senex invitum detineat suâ in domo, 200
" Cupiens amantèr-tractare: mihi autem opus *est* citò *domum*-pervenire."
Sic dixit: Nestorides autem suo consultabat animo,
Quomodo ei ritè pollicitus perficeret:
Sic verò ei cogitanti visum est satius esse:
Vertit equos ad navem velocem, et littus maris: 205
Navis autem in puppi depromebat pulchra dona,
Vestes, aurumque, quæ ei Menelaus dederat:
Et ipsum hortans verbis alatis allocutus est;
" Festinantèr nunc conscende, jubeque omnes socios;
" Priusquam ego domum ivero, renuntiaveroque seni: 210

Ver. 197. 201. —— φιλότητος —— φιλίειν.] Vide ad *Il. α.* 338. et *υ.* 304.

Ibid. —— ἐσμὲν.] *Al.* ἐιμὲν.

Ver. 198. Ἤδε δ' ὁδὸς.] *Al.* Ἡ δὲ ὁδὸς.

Ver. 199. Μὴ με παρὲξ ἄγε νῆα.] Μὴ με παρὰ τὴν φέρουσαν ὁδὸν ἐπὶ τὴν ναῦν, ἐπ' ἄλλην ὁδὸν ἐπάγης. *Schol.*

Ver. 200. Μὴ με γέρων.] *Al.* Μὴ μ' ὁ γέρων.

Ver. 201. —— ἐμὲ δὲ χρεὼν θᾶσσον ἱκέσθαι.] Vide ad *Il. κ'.* 43. Cæterùm *Eustathius* in commentario citat χρέω. Atque ita in pluribus codicibus scriptum reperit *Tho. Bentleius.* Quæ fortè et verior lectio; quia vox χρεὼν alibi apud *Homerum* non occurrit.

Ver. 204. Ὧδε δὲ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.]

Hæc alternanti potior sententia visa est.
Æn. IV. 287.

Ver. 205. Στρέψ' ἵππους ἐπὶ νῆα θοὴν.] Vide *Strabonem*, *Geograph. lib.* VIII. *pag.* 538. 539. *al.* 350.

Ver. 206. —— ἐνὶ.] *Al.* ἐπὶ.

Ver. 209. —— ἀνάβαινε.] *Al.* ἄμβαινε ut infrà *ver.* 219. Cæterùm *Eustathius* exponit ἀνάπλει. Minùs rectè; ut liquet ex *ver.* 219. 221.

Ibid. —— κέλευε τε.] *Al.* κέλευε δὲ.

Digitized by Google

Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Οἷος ἐκείνου θυμὸς ὑπέρβιος· οὔ σε μεθήσει·
Ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται· οὐδέ σε φημὶ
Ἄψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἕμπης.
Ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους 215
Ἄψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώμαθ' ἵκανε.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσεν·
Ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηῒ μελαίνῃ·
Αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Αἶψα δ' ἄρ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον. 221
Ἤτοι ὁ μὲν τὰ πονεῖτο, καὶ εὔχετο· θῦε δ' Ἀθήνῃ
Νηῒ παρὰ πρύμνῃ· σχεδόθεν δέ οἱ ἦλυθεν ἀνὴρ
Τηλεδαπὸς, φεύγων ἐξ Ἄργεος, ἄνδρα κατακτὰς,
Μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν, 225
Ὅς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἐνὶ, μητέρι μήλων,
Ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·
Δὴ τότε γ' ἄλλον δῆμον ἀφίκετο, πατρίδα φεύγων,
Νηλέα τε μεγάθυμον, ἀγαυότατον ζωόντων,
Ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν 230

" Benè enim ego hoc novi in mente et in animo,
" Qualis illius animus vehemens: non te dimittet,
" Sed ipse invitaturus huc veniet; neque te puto
" Retrò iturum vacuum: valdè enim irascetur omninò."
Sic utique locutus impulit pulchros-jubis equos 215
Retrò Pyliorum in urbem, celeritèrque domum pervenit.
Telemachus verò sociis hortans præcepit:
" Ordinate arma, socii, in nave nigrâ;
" Ipsique conscendamus, ut perficiamus iter."
Sic dixit: illi autem ei maximè quidem auscultârunt, et paruerunt. 220
Statim verò ingrediebantur, et in transtris-sedebant.
Atque is quidem hæc properabat, et supplicabat; sacraque faciebat Minervæ
Navis ad puppim; propè autem ad eum venit vir
Longinquus, fugiens ex Argo, viro interfecto,
Vates; at genere Melampodis proles erat, 225
Qui anteà quidem quondam habitabat in Pylo, genetrice ovium,
Dives inter Pylios valdè egregias ædes habitans:
Tunc demùm alium ad populum pervenit, patriam fugiens,
Neleumque magnanimum, clarissimum viventium,
Qui ei opes multas integrum in annum 230

Ver. 213. —— ἐδὲ σε φημὶ.] *Al.* ἐδὲ ἰ φημὶ.
Ver. 215. —— ἔλασεν.] MS. unus à *Tho. Bentleio* collatus, ἵμασεν.
Ver. 218. —— τεύχε'.] Τὰ τῆς νεὼς ἐργαλεῖα. *Schol.*
Ver. 221. —— ἔσβαινον.] *Al.* ἴμβαινον.
Ver. 226. Ὅς πρὶν μὲν.] *Melampus.*
Ver. 227. —— μέγ'.] *Al.* μέτ'.
Ver. 228. —— ἄλλον δῆμον ἀφίκετο, πατρίδα φεύγων.] Τυτίφιν ὅς Ἄργος ἦλθε, τὴν Πύλον φυγών. *Eustath.* Cæterùm MS. à *Tho. Bentleio* collatus, hîc legit ἄλλων δῆμον· uti infrà *ver.* 238.

Digitized by Google

Εἶχε βίην· ὁ δὲ τέως μὲν ἐνὶ μεγάροις Φυλάκοισι
Δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων,
Εἵνεκα Νηλῆος κούρης, ἄτης τε βαρείης,
Τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐρινύς.
Ἀλλ' ὁ μὲν ἔκφυγε κῆρα, καὶ ἤλασε βοῦς ἐριμύκους 235
Ἐς Πύλον ἐκ Φυλάκης, καὶ ἐτίσατο ἔργον ἀεικὲς,
Ἀντίθεον Νηλῆα, κασιγνήτῳ τε γυναῖκα
Ἠγάγετο πρὸς δώμαθ· ὁ δ' ἄλλων ἵκετο δῆμον,
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
Ναιέμεναι πολλοῖσιν ἀνάσσοντ' Ἀργείοισιν· 240
Ἔνθα δ' ἔγημε γυναῖκα, καὶ ὑψερεφὲς θέτο δῶμα,
Γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Οἰκλῆα μεγάθυμον·
Αὐτὰρ Οἰκλείης λαοσσόον Ἀμφιάρηον,
Ὃν περὶ κῆρι φίλει Ζεύς τ' αἰγίοχος, καὶ Ἀπόλλων, 245

Tenebat vi; ille verò tamdiù quidem in ædibus Phylaci
Vinculo in gravi ligatus erat, duros dolores patiens,
Gratiâ Nelei filiæ, noxæque gravis,
Quam ei in mente posuit dea gravis Erinnys.
Sed is quidem effugit mortem, et abegit boves mugitibus-præstantes 235
In Pylum ex Phylace, et ultus est factum indignum,
Deo-parem Neleum, fratrique uxorem
Duxit ad domum: ipse verò aliorum venit ad populum
In Argos equis-pascendis-aptum: ibi enim ei fatale erat
Habitare multis imperantem Argivis: 240
Ibi autem duxit uxorem, et altam posuit domum,
Genuitque Antiphatem et Mantium, filios fortes.
Antiphates quidem genuit Oïcleum magnanimum;
At Oïcleus populi-concitatorem Amphiaraum,
Quem ex-animo diligebat Jupiterque Ægiochus, et Apollo 245

Ver. 231. ——— τέως μὲν.] Ἕως τῦ τελευθῆναι τὸν ἰνιαυτὸν. *Schol.* Pronuntiabatur autem τὼς μὲν.

Ver. 232. Δεσμῷ ἐν ἀργαλέῳ.] Vide suprà ad λ'. 292.

Ver. 233. Εἵνεκα Νηλῆος κούρης.] Πηρῶς. *Eustath.* Vide suprà ad λ'. 286.

Ver. 234. ——— δασπλῆτις Ἐρινύς.] Δυσπροσπέλαστος. *Schol.*

Ver. 236. ——— ἐτίσατο ἔργον ἀεικὲς, Ἀντίθεον Νηλῆα.] Vox τίσασθαι apud Poëtam, Voce *Mediâ*, sæpè de injuriâ, sæpè de injuriæ auctore *ulciscendo* usurpatur; Vide *Iliad.* σ'. 208. χ'. 20. *Odyss.* γ'. 306. ψ'. 31. Hic autem videtur ἐτίσατο ad utrumque simul referri. Cæterùm *Scholiastes* sententiam ita exponit. Καὶ ἐτιμωρήσατο τὸν Νηλία, ὑπομένας ἔργον χαλεπὸν.

Ver. 237. ——— κασιγνήτῳ τε.] Τῷ βίαιον. *Schol.* ad λ'. 289. suprà. Cæterùm MS. à *Tho. Beatleio* collatus, hic legit κασιγνήτῳ δὲ.

Ver. 240. ——— πολλοῖσιν ἀνάσσοντ'.] *Al.* πολλοῖσι τ' ἀνάσσων. [illegible]

Ver. 241. ——— ἔγημε.] Vide suprà ad λ'. 272.

Ver. 242. ——— Μάντιον.] *Al.* Φάμον. Atqui ejusdem iterùm meminit Poëta infrà *ver.* 249. Μάντιος καὶ τίκτουσ' ἔτ'.

Ver. 245. Ὃν περὶ κῆρι φίλει Ζεὺς τ' αἰγίοχος, καὶ Ἀπόλλων.] Τὸν δὲ Ἀμφιάρεων φιλεῖν ὁ Ζεὺς μὲν λέγεται, ὡς βασιλικὸν ἄνδρα καὶ διὰ τῦτο ἀφιγνῦ καὶ ἀλεξιφῶτ· Ἀπόλλων δὲ ὡς μάντιν. *Eustath.*

Digitized by Google

Παντοίην φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδὸν,
Ἀλλ' ὄλετ' ἐν Θήβῃσι, γυναίων εἵνεκα δώρων.
Τοῦ δ' υἱεῖς ἐγένοντ' Ἀλκμαίων, Ἀμφίλοχός τε.
Μάντιος αὖ τέκετο Πολυφείδεά τε, Κλεῖτόν τε·
Ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς, 250
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
Θῆκε βροτῶν ὄχ' ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάρηος·
Ὅς ῥ' Ὑπερησίηνδ' ἀπενάσσατο, πατρὶ χολωθεὶς,
Ἔνθ' ὅγε ναιετάων μαντεύετο πᾶσι βροτοῖσι. 255
Τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ' ὄνομ' ἦεν,
Ὅς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ' ἐπίχανε
Στένδοντ', εὐχόμενόν τε, θοῇ παρὰ νηῒ μελαίνῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

Omnigeno amore: neque pervenit *is ad* senectutis limen;
Sed periit Thebis, muliebrium gratiâ donorum.
Huic autem filii nati sunt Alcmæon, Amphilochusque.
Mantius rursùm genuit Polyphidemque, Clitumque:
Sed sanè Clitum aureum-solium-habens rapuit Aurora, 250
Pulchritudinem ob ipsius; ut immortalibus interesset.
At magnanimum Polyphidem vatem Apollo
Reddidit hominum longè optimum, postquam mortuus est Amphiaraus:
Qui scilicèt in Hypereesiam migravit, patri iratus;
Ubi ille habitans vaticinabatur omnibus mortalibus. 255
Hujus quidem filius advenit, Theoclymenus autem nomen *ei* erat.
Qui tunc prope Telemachum stetit: hunc verò deprehendit
Libantem, supplicantemque, velocem apud navem nigram;
Et ipsum affatus verba alata dixit;

Ver. 246. Παντοίην φιλότητ'.] Apud *Plautonem*, loco jam infrà citato, Παντοίῃ φιλότητ'.

Ibid. —— οὐδ' ἵκετο γήραος οὐδὸν.] Θεοὶ γὰρ πτερωμένης ἐκ ἀπολύει, ζώντι δὲ ἀγαθῶν αἴτιος γίνεται· ἢ κατὰ τὸ Μενάνδρειον, "Ὃν οἱ θεοὶ "φιλοῦσιν, ἀποθνήσκει νέος." *Schol.* Secundum posteriorem interpretationem *Plato* in *Axiocho*; Οἱ θεοὶ (inquit) τῶν ἀνθρωπίνων ἐπιτήμενοι, οὓς ἂν περὶ πλείστῳ ποιῶνται, θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν. Ἀγαμέμνων γὰρ καὶ Τρῳάνοι οἱ δαιμόνιοι τὸ Πυθοῖ τοῦ θεοῦ τιμῶντες, εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι, κοιμηθέντες ἐκεῖ ἀνέστησαν.—Τὸν δ' Ἀμφιάρεω,—"Τὸν περὶ πᾶσι φίλει Ζεὺς τ' αἰγίοχος "καὶ Ἀπόλλων, Παντοίῃ φιλότητ'· οὐδ' ἵκετο "γήραος οὐδὸν." Et *Plutarchus*: Οὐκ ὁ μακρότατος βίος ἄριστος, ἀλλ' ὁ σπουδαιότατος· — τὸ γὰρ καλὸν ἐκ τῶν μακρὸν χρόνον θετέον, ἀλλ' ἐν ἀρετῇ καὶ τῇ καθ' ἡμέρᾳ συμμετρίᾳ· οὗτοι γὰρ εὐδαίμονες καὶ θεοφιλεῖς εἶναι νενόμισται. Διὰ τοῦτο γὰρ τοὺς ὑπερεχωτάτους τῶν ἡρώων καὶ φύντας ἀπὸ θεῶν, πρὸ γήρους ἐκλιπόντας τὸν βίον οἱ ποιηταὶ παρείδοσαν ἡμῖν. Ὥσπερ καὶ ἐνταῦθα, "Ὃν περὶ πᾶσι φίλει Ζεὺς τ' αἰγίοχος καὶ Ἀ-"πόλλων Παντοίῃ φιλότητ'· οὐδ' ἵκετο γή-"ραος οὐδὸν." *De Consolat. ad Apollonium.* Mihi autem videtur istud "οὐδ' ἵκετο γήραος οὐδὸν" minimè ab ipso Poëtâ felicitati tribui; sed ex historiâ scilicèt acceptum simplicitèr memorari. Uti exponit *Eustathius*; Τὸ δὲ "οὐδ' ἵκετο γήραος οὐδὸν" ἁπλῶς εἴπω καὶ ἀφελῶς ἀκεῖν δοκεῖ ὁ Ποιητὴς, —— αὐτὸ τὸ ὂν διηγούμενος.

Ver. 247. —— γυναίων εἵνεκα δώρων.] Τὸν ἔρωτα ὑπὸ τοῦ Ἀμφιαράου ἀκυρέον. *Schol.* Vide suprà ad λ'. 326.

Ver. 251. —— οἷο.] *Al.* εἷο.

Ibid. —— ἀθανάτοισι.] Vide ad *Il. ε.* 398.

Ver. 254. —— Ὑπερησίηνδ'.] Υπερησία, πόλις Ἀργοῦς. *Eustath.*

Ibid. —— πατρὶ.] *Mantio*, *ver.* 249.

Ver. 256. —— ἄρ'.] *Ut suprà dictum est* ——, *ver.* 223.

Digitized by Google

Ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ, 260
Λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
Σῆς τ' αὐτοῦ κεφαλῆς, καὶ ἑταίρων, οἵ τοι ἕπονται,
Εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς.
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 265
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·
Ἐξ Ἰθάκης γένος εἰμί, πατὴρ δέ μοι ἐστὶν Ὀδυσσεύς,
Εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
Τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν,
Ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο. 270
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος, ἄνδρα κατακτὰς
Ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε, ἔται τε,
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιοί·
Τῶν ὑπαλευάμενος θάνατον καὶ κῆρα μέλαιναν, 275
Φεύγω· ἐπεὶ νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλάλησθαι.
Ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
Μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

"O amice, quoniam te sacra-facientem deprehendo hoc in loco, 260
"Oro per sacra et deum, at deindè
"Per tuumque ipsius caput, et socios, qui te comitantur,
"Dic mihi interroganti vera, neque celes.
"Quis? undè es hominum? ubi tibi urbs, et parentes?"
Hunc autem rursùs Telemachus prudens contrà allocutus est; 265
"Equidem tibi hospes, valdè accuratè dicam:
"Ex Ithacâ genere sum, pater autem mihi est Ulysses,
"Si quandò erat: nunc verò jamjam periit tristi morte.
"Propterea nunc sociisque assumptis et nave nigrâ,
"Veni interrogaturus de-patre diù absente." 270
Hunc autem rursùs allocutus est Theoclymenus deo-par;
"Sic tibi et ego ex patriâ, viro interfecto
"Tribule: multi autem fratresque sodalesque *sunt*,
"Argos per equis-pascendis-aptum; multùm autem pollent Achivi:
"Ab his elapsus mortem et fatum atrum, 275
"Fugio; quippe mihi fatale *est* inter homines vagari.
"Sed me navi impone, quia tibi fugâ-captâ supplicavi,
"Nè me interficiant: persequi enim *eos me* puto."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;

Ver. 261. —— αὐτὰρ ἔπειτα.] *Al.* ἠδὲ τοκῆων.
Ver. 266. —— ἀγορεύσω.] *Al.* καταλίξω.
Ver. 268. —— Εἴ ποτ' ἔην.] Vide ad *Il.* γ'. 180
Ibid. —— λυγρῷ ὀλέθρῳ.] *Al.* λυγρὸν ὄλεθρον.
Ver. 272. Οὕτω τοι καὶ ἐγὼν.] Ὡς ὀρθῶς, μόνος φεύγω. *Schol.* Malè. Refertur enim istud Οὕτω ad id quod dixerat *Telemachus*, *ver.* 267. 270. nempè ex Ithacâ patriâ se illuc profectum: Ut hîc dicat *Theoclymenus*, "*Ita se quoque è patriâ illuc venisse.*"
Ibid. Οὕτω τοι.] *Al.* Οὕτω δὴ.
Ver. 274. —— Ἀχαιοί.] *Al.* Ἀχαιῶν.

Digitized by Google

Οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐίσης· 280
Ἀλλ' ἕπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν.
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος,
Καὶ τόδ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
Ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσατο ποντοπόροιο.
Εν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο· πὰρ δέ οἱ αὐτῷ 285
Εἷσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Ὅπλων ἅπτεσθαι· τοὶ δ' ἐσσυμένως ἐπίθοντο.
Ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραντες· κατὰ δὲ προτόνοισιν ἔδησαν· 290
Ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσι.
Τοῖσιν δ' ἵκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
Λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, ὄφρα τάχιστα
Νῆυς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί. 295
Ἡ δὲ Φερὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ·

" Non quidem jam te *conscendere*-volentem depellam à navi æquali: 280
" Sed sequere: at illic amicè-excipieris *de talibus* qualia habemus."
Sic utique locutus, ab-eo accepit æream hastam;
Et hanc super tabulata extendit naves remis-utrinque-agitatæ:
Conscendit autem et ipse navem pontum-transeuntem.
In puppi verò deindè sedit; juxtaque seipsum 285
Sedere-fecit Theoclymenum: illi autem rudentes solverunt.
Telemachus verò socios hortatus jussit
Arma capessere: illi autem festinantèr obediverunt.
Malum autem abiegnum concavum intra receptaculum
Statuerunt erectum; funibusque colligârunt; 290
Traxeruntque vela alba benè-tortis loris.
His autem secundum ventum misit oculis-cæsia Minerva
Vehementem, ingruentem per aërem; ut citissimè
Navis emetiretur currens maris salsam aquam.
Occiditque sol, obumbrabanturque omnes viæ. 295
Illa autem Pheras appellebat, impulsa Jovis vento-secundo;

Ver. 280. —— ἰθέλοντα.] *Barnesius* sensum postulare existimat ut legatur ἀίκοντα. Sed nihil opus.

Ver. 283. —— τόδ'.] *Al.* τόγ'.

Ver. 284. —— ἐβήσατο.] *Al.* ἐβήσετο. Vide ad *Il.* β'. 35. et *i.* 109.

Ver. 292. —— ἰαι.] Vide ad *Il.* ί. 24. et κ'. 762.

Ver. 295. Δύσετο τ' ἠέλιος.] *Strabo, Geographic. lib.* VIII. *pag.* 539. *al.* 350. hunc locum citat, alio adjecto versu, quem inserui *Barnesius*:

Βὰν δὲ πεζὰ Κρανὸν ἐς Καλχίδα κυκλιεύθερον
Δύσετο τ' ἠέλιος, &c.

Qui versus, uti ad *Strabonis* locum annotat *Casaubonus*, in Vulgatis nusquam reperitur; neque ejus omninò meminit *Eustathius*. Eundem autem iterùm citat *Strabo, lib.* X. *pag.* 687. *al.* 447. ubi pro Καλχίδα κυκλιεύθερον, legitur Καλχίδα πετρήεσσαν.

Ver. 296. Ἡ δὲ Φερὰς ἐπέβαλλεν, &c.] Vide *Strabonem*, lib. VIII. *pag.* 539. *al.* 350.

Ibid. Ἡ δὲ Φερὰς ἐπέβαλλεν.] *Al.* Ἡ Φερὰς δ' ἐπέβαλλεν. Cæterùm de voce ἐπέβαλλεν ita *Porphyrius*: Ἐπήβολος (inquit) σημαίνει τὸν ἐπιτυχῆ ἢ ἐγκρατῆ, ἀπὸ τῆς βολῆς ἢ τοῦ βάλλειν, ὃ σημαίνει τὸ συγχάνειν τοῦ σκοποῦ. — Δύσεις ἐντεῦθεν, " Ἡ δὲ Φερὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ." μετῆκται γὰρ ἀπὸ τῶν πόρρω τῶν ἐπιβολὴν ποιουμένων, ὥστε τυχεῖν. Ἡ ναῦς οὖν ἐπιβολὴν ἐποιεῖτο, ὥστε τυχεῖν τῶν

Digitized by Google

Ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῆσιν,
Ὁρμαίνων, ἤ κεν θάνατον φύγοι, ἤ κεν ἁλώῃ.
Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
Εἴ μιν ἔτ' ἐνδυκέως φιλέοι, μεῖναί τε κελεύοι
Αὐτοῦ ἐνὶ σταθμῷ, ἢ ὀτρύνειε πόλινδε·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
Ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
Πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
Ἀλλά μοι εὖ δ' ὑπόθευ, καὶ ἅμ' ἡγεμόν' ἐσθλὸν ὄπασσον,
Ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
Πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.
Καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο,

Et apud Elida divinam, ubi dominantur Epei.
Hinc verò rursùs insulis immisit *eam* acutis,
Cogitans, an mortem fugeret, an caperetur.
Diversâ autem parte in casâ Ulysses et nobilis subulcus
Cœnabant; apud verò ipsos cœnabant viri alii.
At postquam potûs et cibi desiderium exemissent,
Inter hos Ulysses locutus est, subulcum tentans,
An ipsum ampliùs studiosè curaret, manereque juberet
Illic in stabulo, an hortaretur ad urbem *ire*;
" Audi nunc, Eumæe, aliique omnes socii;
" Manè ad urbem cupio diccedere
" Mendicaturus, ut nè te atteram et socios.
" Sed me benè mone, et simul ductorem bonum præbe,
" Qui me illuc ducat: per autem urbem ex-necessitate
" Vagabor, siquis fortè poculum et panem porrexerit.
" Et profectus ad ædes Ulyssis divini,

Φερῶν. *Quæst. Homeric.* 1. Eandemque explicationem affert *Scholiastes* ad β'. 319. suprà.

Ibid. —— ἐπειγομένη Διὸς οὔρῳ.] Apud *Strabonem*, loco suprà citato, ἀγαλλομένη Διὸς οὔρῳ.

Ver. 297. Ἠδὲ παρ' Ἤλιδα δῖαν.] Vide suprà ad ν'. 275.

Ver. 298. —— νήσοισιν ἐπιπροέηκε θοῆσιν.] Ταῖς λιγομέναις Ὀξείαις, μυκαλησσιάσι ἐκτῶ κατὰ κίνησιν ὀξέως, ἐπὶ τὸ κατὰ σχῆμα. *Schol.* Θοὰς δὲ ὁρῶμεν τὰς Ὀξείας τῶν Ἐχινάδων δ' ἐστὶν αὗται, πλησιάζουσαι τῇ ἀρχῇ τῶ Κορινθιακῶ κόλπου, καὶ ταῖς ἐκβολαῖς τῶ Ἀχελώου. *Strabo, lib.* VIII. *pag.* 539. *al.* 351. Similitèr exponit *Dionysius Halicarnassensis*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 7. itemque *Heraclides Ponticus*. Vide etiam *Strabonem lib.* X. *pag.* 702. 703. *al.* 458. et suprà ad ι'. 327.

Ver. 299. —— φύγοι.] *Al.* φύγῃ.

Ver. 300. Τὼ δ' αὖτ' ἐν κλισίῃ.] Redit Poëta undè digressus est suprà ξ'. 533.

Ver. 303. Τοῖς Ὀδυσεὺς.] *Al.* Τοῖς δ' Ὀδυσεὺς.

Ver. 306. —— νῦν, Εὔμαιε.] *Al.* νῦν μ', Εὔμαιε.

Ver. 307. —— ἐπιτείρεθαι.] Vide ad Π, ά. 398.

Ver. 309. —— ἡ ἅμ' ἡγεμόν'.] *Al.* καὶ μ' ἡγεμόν.

Ver. 311. —— κοτύλην.] Ἐπιθέματος, ἤτοι ποτηρίου εἶδος τοιοῦτο, ἢ μέτρον. *Schol.*

Ibid. —— πύρνον.] Πύρνιον ἄρτον. *Schol.*

Digitized by Google

Ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ·
Καί κεν μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην,
Εἴ μοι δεῖπνον δοῖεν, ὀνείατα μυρί' ἔχοντες. 315
Αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν, ὅττι θέλοιεν·
Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καὶ μευ ἄκουον,
Ἑρμείαο ἔκηγι διακτόρῳ, ὅς ῥά τε πάντων
Ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει,
Δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειεν βροτὸς ἄλλος, 320
Πῦρ τ' εὖ νηῆσαι, διά τε ξύλα δανὰ κεάσσαι,
Δαιτρεῦσαί τε, καὶ ὀπτῆσαι, καὶ οἰνοχοῆσαι·
Οἷά τε τοῖς ἀγαθοῖσι παραδρώωσι χέρηες.

" Nuncium dixero prudenti Penelopæ,
" Et procis superbis me immiscuero,
" Si mihi fortè cœnam dederint, cibum copiosum habentes. 315
" Statim benè perfecero inter ipsos, quicquid voluerint:
" Etenim tibi dicam, tu autem attende, et me audi;
" Mercurii voluntate internuncii, (qui utique omnium
" Hominum operibus gratiam et gloriam præbet,)
" Officio-servili non mihi contenderit mortalis alius, 320
" Ad ignemque benè cumulandum, lignaque sicca diffindenda,
" Adque-carnes-dividendas, et ad-assandum, et ad-vinum-fundendum;
" Qualia scilicèt optimis præstant inferiores."

Ver. 314. 315. 316. Καὶ κεν μνηστήρεσσιν—, Εἰ μοι δεῖπνον δοῖεν —. Αἶψα κεν ὅτ.] " Ma" lim," inquit *Henricus Stephanus*, " hunc " locum ita interpungere; Καὶ κεν μνηστή" ρεσσιν ὑπερφιάλοισι μιγείην· Εἰ μοι δεῖπνον " δοῖεν, ὀνείατα μυρὶ ἔχοντες, Αἶψα κεν εὖ " δρώοιμι ὅτ. —— quia non est rationi con" sentaneum, ut ille dicat se tum demum " cœtum procorum aditurum, si illi cœ" nam porrigant; sed necesse est, ut eos ad" eat antequam ab iis quicquam accipiat." Ita ille. At rectè se habet vulgata interpunctio. Sensus enim istius Εἰ μοι δεῖπνον δοῖεν hoc in loco hujusmodi est; " *Ut videam, ut* " *experiar, an mihi cœnam dent:*" Vel, " *Eâ* " *spe, ut mihi cœnam dent.*" Quod et ipse deindè addit vir eruditus: " Sed potest," inquit, " sequendo alteram interpunctio" nem, ita exponi ὁ, ut subauditum habeat " participium ὀψόμενος, vel aliquod hujus" modi." Atque ita alibi sæpè Poëta:

Ἤλυθον, εἴ τινα μοι κληηδόνα πεῖρεαι ἐνίσπω.
Suprà δ'. 317.

Et superiùs paulò *ver.* 310. *hujus libri;*

—— κατὰ δὲ πόλιν αὐτὸς ἀνάγκῃ
Πλάζομαι, αἴ κεν τις κόλλυνα ἢ πύρνον ἀρίζῃ.

Vide et suprà ῎, 229.

Ver. 316. —— ἤτοι Θίλοιεν.] " Hinc qui" dem," inquit *Barnesius*, " apparet, Vete" rum observationem de *Homero*, quòd nus" piam utatur voce Θίλω, falsam esse, nec " satis firmo niti fundamento." Atqui MS. à *Tho. Bentleio* collatus hìc habet ὅστ' ἰθίλοιεν. Quin et ipse *Barnesius* suprà δ'. 336, et infrà ρ'. 19. restituit, δεσμοῖς ἰθίλοις, εἴ δέ κ' ἰθίλῃσιν quum in vulgatis editum erat, δεσμοῖσι Θίλοις· ὅς κε Θίλῃσιν. Vide et ad *Il.* ά. 277.

Ver. 318. Ἑρμείαο ἕκηγι.] Ἐπειδὴ κήρυξ ὁ παρὰ τοῖς ἥρωσι δὲ κήρυκες, οἱ τοῦτα ὑπηρετοῦντες. *Schol.*

Ibid. —— διακτόρῳ.] Vide suprà ad δ'. 338.

Ibid. —— ὅς ῥά τι.] *Qui utique* ——, *Qui scilicèt* ——.

Ver. 320. Δρηστοσύνῃ.] Τῇ ἐν τῇ διακονίᾳ ἐνεργείᾳ. *Schol. Al.* Δρησμοσύνῃ.

Ibid. —— ἐρίσσειεν.] Ità rectè *Barnesius*; atque ita MS. à *Tho. Bentleio* collatus. *Al.* ἐρίσειεν. Quod antepenultimam corripit.

Ver. 321. Πῦρ τ' εὖ νηῆσαι.] Ξύλα ἀφειῦσαι, ἵνεκεν τοῦ πῦρ ποιῆσαι. *Schol. Al.* Πῦρ τε καὶ εὖ νῆσαι. Τινὲς δὲ " πῦρ ὠνῆσαι" γράφουσιν· ἤτοι φυλάξαι, κατευνάσαι, ζωπυρῆσαι ἐν στάθῃ. *Eustath.*

Ibid. —— ξύλα δανὰ.] Παρὰ τὸ δῆν, τὸ ἐπὶ πολὺν χρόνον, γίνεσθαι δανὰ, τὰ διὰ τὸν χρόνον ξηρὰ· ἢ παρὰ τὸ δαίω, τὸ καίω, τὰ ἀφ καῦσιν ἐπιτήδεια, εὐκαυστα, θερμά. *Etymolog. Magn.* ad vocem δανὰ. Cæterùm legitur et ξύλα πολλὰ, notante *Eustathio*.

Ver. 323. —— παραδρώωσι.] *Al.* παρὰ δρώωσι.

Digitized by Google

Τὸν δὲ μέγ' ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα·
Ὦ, μοι ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τῆτο νόημα 325
Ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
Εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
Τῶν ὕβρις τε, βίη τε, σιδήρεον ἐρανὸν ἵκει.
Οὔ τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
Ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι, ἠδὲ χιτῶνας, 330
Αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
Οἵ σφιν ὑποδρώωσιν· ἐϋξέστοι δὲ τράπεζαι
Σίτου καὶ κρειῶν, ἠδ' οἴνου βεβρίθασιν.
Ἀλλὰ μέν· ἐ γάρ τίς τοι ἀκᾶται παρεόντι,
Οὔτ' ἐγὼ, ἔτε τις ἄλλος ἑταίρων, οἵ μοι ἔασιν. 335
Αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱὸς,
Κεῖνός σε χλαῖνάν τε χιτῶνά τε, εἵματα ἕσσει,
Πέμψει δ', ὅππῃ σε κραδίη, θυμός τε κελεύει.
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας, δῖος Ὀδυσσεύς.
Αἴθ' ἔτως, Εὔμαιε, φίλος Διΐ πατρὶ γένοιο, 340
Ὡς ἐμοὶ, ὅττι μ' ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς·

Hunc autem valdè indignatus allocutus es, Eumæe subulce;
" Hei mihi, hospes, cur tibi in mente hoc cogitatum 325
" Fuit? certè omninò cupis illic perire,
" Si reverà procorum vis ingredi cœtum,
" Quorum injuriaque, violentiaque, ad ferreum coelum pervenit.
" Nequaquam tales sunt ministri illorum;
" Sed juvenes, lænas benè-induti, et tunicas, 330
" Semperque nitidi capitibus et pulchris vultibus.
" Qui ipsis subministrant: benè-politæ autem mensæ
" Pane, et carnibus, et vino, oneratæ sunt.
" Sed mane; non enim quisquam te molestatur præsente,
" Neque ego, neque quisquam alius sociorum, qui mihi sunt. 335
" At postquam venerit Ulyssis dilectus filius,
" Ille te lænâque, tunicâque, vestimentis induet;
" Mittetque, quò te cor, animusque jubet."
Huic autem respondit deindè patiens nobilis Ulysses;
" Utinam sic, Eumæe, dilectus Jovi patri fieres, 340
" Ut mihi, quòd me cessare-fecisti ab errore et ærumnâ gravi:

Ver. 328. Τῶν ὕβρις τε, βίη τε, σιδήρεον ἐρανὸν ἵκει.] Dna. *Dacier* ita explicat: " Dont la violence et l'insolence sont si " grandes, qu'elles ne respectent pas les " Dieux, et qu'elles attaquent le Ciel " même." Malè: Hoc enim dicere vult Poëta; nempè, " *Tantam fuisse Procorum* " *superbiam, totque indigna facinora; ut eorum* " *fama ad omnium aures pervenisset.*" *Quorum* (uti reddit *Spondanus*) *tanta sit protervia, et injurias aliis inferendi consuetudo,* " *ut ejus fama etiam ad coelum usque pervenerit.*" Sic *Iliad.* Θ'. 192.

Ἀστέρα Νεφελήγερετα, τῆς νῦν κλέος οὐρανὸν ἵκει.

Ver. 331. Αἰεὶ δὲ λιπαροί.] " Pro δὲ," inquit *Barnesius*, " potius δὴ legendum videtur." Minùs rectè.

Ver. 332. —— τράπεζαι Σίτου καὶ κρειῶν, ἠδ' οἴνου βεβρίθασιν.]

—— dapes, et plenæ pocula mensæ.
Æn. XI. 788.

Ver. 333. —— βεβρίθασιν.] Vide ad *Il.* β'. 314.

Ver. 334. —— ἀκᾶται.] Vide ad *Il.* ε. 24.

Digitized by Google

Πλαγκτοσύνης δ' ὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν·
Ἀλλ' ἕνεκ' ἐλομένης γαστρὸς κακὰ κήδε' ἔχουσιν
Ἀνέρες, ὅν κεν ἵκηται ἄλη, καὶ πῆμα, καὶ ἄλγος.
Νῦν δ' ἐπεὶ ἰσχανάας, μεῖναί τέ με κεῖνον ἄνωγας, 345
Εἶπ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος θείοιο,
Πατρός θ', ὃν κατέλειπεν ἰὼν ἐπὶ γήραος οὐδῷ,
Εἴπε ἔτι ζώουσιν ὑπ' αὐγὰς ἠελίοιο,
Ἦ ἤδη τεθνᾶσι, καὶ εἰν ἀΐδαο δόμοισι.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν· 350
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεὶ,
Θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
Ἐκπάγλως γὰρ παιδὸς ἀδύρεται οἰχομένοιο,
Κερδίης τ' ἀλόχου δαΐφρονος, ἥ ἑ μάλιστα 355
Ἤκαχ' ἀποφθιμένη, καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.

" Errore enim non est pejus aliud hominibus:
" Sed propter perditum ventrem malas curas habent
" Viri, quemcunque invaserit vagatio, casusque et dolor.
" Nunc verò quoniam detines, manereque me illum jubes; 345
" Dic age mihi de matre Ulyssis divini,
" Patreque, quem reliquit profectus, in senectutis limine,
" An alicubi adhuc vivant sub splendore Solis,
" An jamjam mortui sint, et in Plutonis ædibus."
Hunc autem rursùs allocutus est subulcus, princeps virorum; 350
" Equidem tibi, hospes, valdè accuratè narrabo:
" Laërtes quidem adhuc vivit, Jovi autem supplicat semper,
" Ut anima *sibi* à membris pereat suis in ædibus:
" Vehementèr enim de-filio dolet absente,
" Deque uxore quam-virginem-duxerat, prudente; quæ ipsum maximè 355
" Tristitiâ-affecit mortua, et in crudâ senectute posuit.

Ver. 342. Πλαγκτοσύνης δ' ὐκ ἐστὶ κακώτερον.] ——— Μόχθων
Δ' ὐκ ἄλλος ὕστερον,
Ἢ γῆς πατρίας στέρεσθαι.
Euripid. Medea, ver. 651.

Ver. 343. Ἀλλ' ἕνεκ' ἐλομένης γαστρὸς.] Νικῷ δὲ χρεία μ', ἡ παλαίσαρος τε μῶ
Γαστὴρ· ——— *Diphilus, Frogm.* I. *ver.* 2.

Ibid. —— κακὰ κῆδ' ἔχουσιν.] *Al.* κακὰ μᾶδ' ἔχουσιν.

Ver. 344. —— ὅν κεν ἵκηται.] *Al.* ὧν τιν' ἵκηται.

Ibid. —— ἄλη, ἢ πῆμα, ἢ ἄλγος.] Vide suprà ad ἀ. 61.

Ver. 345. —— μεῖναί τε με κεῖνον ἄνωγας.] *Barnesius* vertit, " *Meque manere, talem* " quem vides, *jubes.*" Sed potiùs vertendum crediderim, " *Manereque me illum* (nempè " *Telemachum*) *jubes.*" Vide suprà ad *ver.* 334. 336. 337. item ad *Iliad.* ά. 535. θ'. 561. φ'. 609.

Ver 346. Εἶπ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος.] Περὶ τοῦ πατρὸς βουλόμενος μαθεῖν ὑπεκρίνεται τὸν μὴ εἰδότα τὰ περὶ Ἀντικλείας. *Schol.*

Ver. 350. —— ὄρχαμος ἀνδρῶν.] Vide suprà ad ξ. 3. et 22.

Ver. 353. —— φθίσθαι.] *Al.* φθεῖσθαι.

Ver. 356. —— καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.] Πρὸ ὥρας γηρᾶσαι ἐποίησεν, διὰ τὴν ἐπ' αὐτῇ λύπην. *Schol.* Cæterùm *Eustathius* in commentario citat, καὶ ὠμῷ γήρᾳ δῶκεν.

Digitized by Google

Ἡ δ' ἄχεϊ ἧ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
Λευγαλέῳ θανάτῳ· ὣς μὴ θάνοι, ὅς τις ἔμοιγε
Ἐνθάδε ναιετάων φίλος εἴη, καὶ φίλα ἔρδοι.
Ὄφρα μὲν ἦν δὴ κείνη ἔην, ἀχέεσκέ περ ἔμπης, 360
Τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἔρεσθαι,
Οὕνεκά μ' αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
Θυγατέρ' ἰφθίμῃ, τὴν ὁπλοτάτην τέκε παίδων·
Τῇ ὁμῷ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἧσσον ἐτίμα.
Αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω, 365
Τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν, καὶ μυρί' ἔλοντο.
Αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε, εἵματ' ἐκείνη
Καλὰ μάλ' ἀμφιέσασα, ποσὶν δ' ὑποδήματα δῦσα,
Ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
Νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ 370
Ἔργον ἀέξεσιν μάκαρες θεοὶ, ᾧ ἐπιμίμνω·
Τῶν ἔφαγόν τ' ἔπιόν τε, καὶ αἰδοίοισιν ἔδωκα.

" Illa autem dolore de suo filio periit glorioso,
" Tristi morte: sic ne moriatur, quicunque mihi
" Hîc habitans amicus sit, et amica faciat.
" Quamdiù quidem igitur illa erat, dolens quantumvis licèt, 360
" Tamdiù aliquid mihi dilectum erat sciscitari et interrogare,
" Quoniam me ipsa nutrivit, unà cum Ctimenâ stolatâ,
" Filiâ eximiâ, quam minimam-natu peperit liberorum:
" Cum hâc simul nutriebar; paulò autem me minùs honorabat.
" At postquam *ad* pubertatem optabilem pervenissemus ambo, 365
" Hanc quidem posteà in Samum nuptum-dederunt, et infinita acceperunt:
" At me lænâque tunicâque, vestimentis illa
" Pulchris valdè ubi-induisset, pedibusque calceamenta dedisset,
" Ad-agrum emisit; diligebat autem me corde magìs.
" Nunc verò jam his indigeo; sed mihi ipsi 370
" Opus incremento-augent beati Dii, in quo versor:
" Ex-his comedique, bibique, et venerandis-*hospitibus* dedi.

Ver. 357. 358. Ἡ δ' ἄχεϊ ἧ παιδὸς ἀπέφθιτο ——, Λευγαλέῳ θανάτῳ.] Λύπῃ γὰρ τελευτᾶσα διεφθάρη κατά τινας. Ἔτεροι δὲ, ὡς καὶ προειρήκαμεν, ἀγχόνῃ φασὶν αὐτὴν μεταλλάξαι τὸν βίον. Διὸ καὶ τὸν Εὔμαιον ἀπεύξασθαι τοῦ τοιούτου θάνατον. *Eustath.* Vide suprà ad λ'. 202.

Ibid. —— ἄχεϊ ἧ.] Vide ad *Il. α.* 51.

Ver. 358. —— ὣς μὴ θάνοι.] Ita edidit *Barnesius*, quòd vecula ὅς hoc in loco "non "sit *Optantis*, verùm ad τὸ θάνοι pertineat." Quo modo et accipit *Eustathius* loco suprà citato. *Al.* ὅς μὴ θάνοι.

Ver. 362. Οὕνεκα μ' αὐτὴ θρέψεν.] *Al.* Οὕνεκ' ἄρ' αὐτὴ θρέψεν.

Ibid. —— Κτιμένῃ.] Κυρίως ἡ Ὀδυσσέως ἀδελφή. *Schol.*

Ver. 363. —— παίδων.] Apud *Eustathium* in commentario, παῖδα.

Ver. 365. —— πολυήρατον.] Vide suprà ad λ'. 274.

Ver. 366. —— καὶ μυρί' ἔλοντο.] Ἔδοσαν ἀγλαΐαν. *Eustath.*

Ver. 370. Νῦν δ' ἤδη τούτων ἐπιδεύομαι.] Ὧν ἡ Ἀντίκλεια χαρίζεται, τούτων ἐνδεὴς ἀμφί. *Schol.* Porrò MSS. duo à *Tho. Bentleio* collati hîc habent τούτων ἔτι δεύομαι.

Ver. 372. Τῶν ἔφαγον.] *Al.* Τῶνδ' ἔφαγον.

Ibid. —— καὶ αἰδοίοισιν ἔδωκα.] Ἀντὶ τοῦ ἀνδρείοις αἰδοῦς ἀξίοις· ξένοις δηλαδὴ, καὶ ἱκέταις. *Eustath.* Sic suprà ἡ. 165. et 181.

—— ὅς δ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ἐκηδεῦ. Et ι'. 271.

—— ὅς ξείνοισιν ἅμ' αἰδοίοισιν ἐκηδεῦ.

Cæterùm nonnulli (notantibus *Barnesio* et *Eustathio*) vocem αἰδοίοισιν hîc ad senten-

Digitized by Google

Ἐκ δ' ἄρα δεσποίνης ἀ μείλιχον ἐστὶν ἀκοῦσαι
Οὔτ' ἔπος, οὔτε τι ἔργον· ἐπεὶ κακὸν ἔμπεσεν οἴκῳ,
Ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες κατέουσιν 375
Ἀντία δεσποίνης φάσθαι, καὶ ἕκαστα πυθέσθαι·
Καὶ φαγέμεν, πίεμέν τε· ἔπειτα δὲ καί τι φέρεσθαι
Ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ πόποι, ὡς ἄρα τοῦθ' ὗν, Εὔμαιε συβῶτα, 380
Πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
Ἦ, ἐνὶ ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ·
Ἦ σέ γε μεινωθέντα παρ' οἴεσιν, ἢ παρὰ βεσσὶν, 385
Ἄνδρες δυσμενέες νηυσὶν λάβον, ἠδ' ἐπέρασσαν
Τῇδ' ἀνδρὸς πρὸς δώμαθ', ὁ δ' ἄξιον ὤνον ἔδωκεν.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·

" Ex dominâ autem haud dulce licet audire,
" Neque verbum, neque quod opus; quoniam malum incidit domui,
" Viri superbi: valdè verò famuli indigent 375
" Coram dominâ loqui, et singula interrogare;
" Et comedere, bibereque; deindè autem et aliquid portare
" Ad-agrum, qualia utique animum semper famulis lætificant."
Hunc autem respondens allocutus est prudens Ulysses;
" Papæ! ut parvulus existens, Eumæe subulce, 380
" Multùm jactatus-es-seorsùm à tuâ patriâ et parentibus.
" Sed age mihi hoc dic et accuratè narra,
" An vastata sit urbs virorum viis-spatiosa,
" In quâ habitabat pater et veneranda mater;
" An te solum relictum apud oves, vel apud boves, 385
" Viri hostiles navibus ceperint, et vendiderint
" Hujusce viri ad ædes; hic autem dignum pretium dederit."
Hunc autem rursùs allocutus est subulcus, princeps virorum;

---

tiam minùs honestam detorserunt. In eandemque sententiam concessisse videtur *Conradus Ritterhusius, de interpretatione quorundam locorum Oppiani; ad Cyneg. ver.* 36. Quod *Eumaeo* (qualem eum depingit Poëta) omninò indignum; cùmque de se ipse loquatur, planè absurdum.

Ver. 373. — ἀ μείλιχον ἐστὶν ἀκοῦσαι Οὔτ' ἔπος, οὔτε τι ἔργον.] Dua *Dacier* ita exponit; *Ce n'est pas une douceur pour moi!* *Non dulce est.* " Car (inquit) il ne faut pas joindre " μείλιχον avec les mots ἔπος et ἔργον du " vers suivant." Quam expliçandi rationem in versione secutus est *Barnesius*. *Eustathius* autem aliter; Ἐν δὲ τῷ " οὔτ' ἔπος " ἀκοῦσαι, οὔτε τι ἔργον," προσυπακουστέον τὸν ἔργῳ τὸ δοῦναι, ἢ τὸ ἐνεγκεῖν ἢ τὸ χίσαι, ὡς ὅτι ἡδὺ ἀκοῦσαι μείλιχον, ἢ τι ἄλλο ἐξ ὧν ἡ μάτην γένοιτο μεθαχεῖν. Quam sententiam et cum sequentibus, et cum ipsius vocis μείλιχον significatione aptiùs congruere videtur.

Ver. 376. —— φάσθαι.] *Barnesius* edidit φᾶσθαι· sed minùs rectè. Vide ad *Il.* ξ. 471.

Ver. 380. — ἄρα.] Non hìc vocat istud ἄρα, sed vim habet in connectendâ sententiâ cum eo quod præcessit *ver.* 362. Οὕνεκα μ' αὐτὴ θρέψιν ὅτ'.

Ver. 386. —— ἐπέρασσαν.] Ità rectè edidit *Barnesius* ex *Il.* φ. 78. 102. ubi in Vulgatis ita legitur. Cumque *Barnesio* facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* hoc in loco ἐπέρασαν. Quod penultimam corripit, quippè ex πιπράσκω, non ex πιράω, deductum. Vide ad *Il.* α. 67.

—— πέρασαν δέ μι δεῦρ' ἀγαγόντες.
Infrà *ver.* 427.

Ἄλφι, ἅτη περάσητε ——. *ver.* 452.

Digitized by Google

Ξεῖν', ἐπεὶ ἆρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Σιγῇ νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον 390
Ἥμενος· αἴδε δὲ νύκτες ἀθέσφατοι· ἐστὶ μὲν εὕδειν,
Ἐστὶ δὲ τερπομένοισιν ἀκηέμεν· ἠδὲ τί σε χρὴ,
Πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
Τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
Εὐδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφι· 395
Δειπνήσας, ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
Νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε,
Κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι,
Μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,

" Hospes, quoniam jam hæc me percontaris et interrogas,
" Silentio nunc attende et delectare, bibeque vinum 390
" Sedens; hæ autem noctes immensæ; licet quidem dormire,
" Licet etiam sese-oblectantibus audire; neque omninò te oportet,
" Ante horam, cubitum-ire: nocumentum *est* et multus somnus.
" Cæterorum autem quemcunque cor et animus jubet,
" Decubet egressus: simul autem atque aurora illuxerit, 395
" Pastus, simul sues heriles sequatur.
" Nos autem in casâ bibentesque comedentesque,
" Doloribus alter-alterius delectemur tristibus,
" Recordantes; etenim etiam doloribus delectatur vir,

Ver. 391. —— αἴδε δὲ νύκτες ἀθέσφατοι. Τυτίεται πάνυ μακραὶ.] *Eustath.* Ita suprà λ'. 372.

Νὺξ δ' ἤδη μάλα μακρὴ, ἀθέσφατος ——.

Ibid. —— εὕδειν.] MS. unus à *Tho. Bentleio* collatus, ἄδειν.

Ver. 393. —— καταλέχθαι.] Vide ad *Il.* β'. 515.

Ibid. —— ἀνίη καὶ πολὺς ὕπνος.] Τὸ πίφαν παθεῖν τοῦ πρέποντος, τοῖς τιθηνόσι μᾶλλον ἢ τοῖς ζῶσιν ἀρμόδιον, Æschines apud Stobæum, Serm. 69. de Somno. "Ὑπνος γὰρ δὴ πολὺς ὅτι τοῖς σώμασιν ὅτι ταῖς ψυχαῖς ἡμῶν, ὐδ' αὖ ταῖς πράξεσι ταῖς περὶ ταῦτα πάντα, ἁρμόττων ἐστὶ κατὰ φύσιν· καθεύδων γὰρ ὐδεὶς ὐδενὸς ἄξιος, ὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος. Ἀλλ' ὅστις τοῦ ζῆν ἡμῶν καὶ τοῦ φρονεῖν μάλιστα ἐστὶ κηδεμὼν, ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγίειαν αὐτῷ μόνον φυλάττων χρήσιμον. Plato, de Legibus, lib. VII.

Ibid. —— ἀνίη.] Vide ad *Il.* ν'. 103. et ᾧ. 24.

Ver. 394. —— ὅτινα κραδίη.] *Al.* ὅν τι κραδίη.

Ver. 396. Δειπνήσας·] Vide suprà ad δ'. 535.

Ibid. —— ἀνακτορίῃσιν.] Ταῖς δεσποτικαῖς, ἢ βασιλικαῖς ὑπηρεσίαις· ὁ δὲ Ἡλιόδωρος, ταῖς ὑπὸ ἀνακτορίας· "Δειπνήσας ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω." *Hesychius* in voce ἀνακτορίῃσιν. Ἀνακτορίας δὲ ὕας Ἀρίσταρχος μὲν τὰς δεσποτικὰς φησὶν· Ἀριστοφάνης δὲ, ὧν ἕκαστος βόσκων ἀνάσσει, ὁ ἐξὶν ἄρχει. *Eustath.*

Ver. 399. —— μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ.] *Al.* μετὰ γάρ τε καὶ ἐν ἄλγεσι.

—— Quæ fuit durum pati,
Meminisse dulce est ——.
Seneca, Hercules Furens, ver. 656.

" Habet enim præteriti doloris securâ re-
" cordatione delectationem." *Cicero ad Familiares, lib.* V. *Epist.* 12. Τὰ μὲν ὧν μνημονευτὰ ἡδέα ἐστὶν, ὅ μόνον ὅσα ἐν τῷ παρόντι, ὅτι παρῆν, ἡδέα ἦν, ἀλλ' ἔνια καὶ ἐκ ἡδέα, ἂν ἢ ὕστερον καλὸν καὶ ἀγαθὸν τὸ μετὰ τοῦτο. Ὅθεν καὶ τοῦτ' εἴρηται· " Ἀλλ' ἡδὺ τοι σωθέντα μεμνῆσθαι πόνων" καὶ, " —— μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ." Τοιόνδε δ' αἴτιον, ὅτι ἡδὺ καὶ τὸ μὴ ἔχειν τὸ κακόν. *Aristot. Rhetoric. lib.* I. *cap.* 11. " Quid si etiam jucunda
" memoria est præteritorum malorum?—
" Vulgò enim dicitur, *Jucundi acti labores.*
" Nec malè Euripides —— *Suavis laborum*
" *est præteritorum memoria.*" *Cicero, De finibus, lib.* II. § 32. Similitèr et *Macrobius;* " Pericula quoque præterita, vel ærumnas penitùs absolutas qui evasit, ut
" referat gratissimè provocatur."— Id adeò Euripides expressit;

" Ὡς ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων·

" adjecit enim σωθέντα, ut ostenderet, post
" finem malorum gratiam relationis inci-

Digitized by Google

Ὅστις δὴ μάλα πολλὰ πάθῃ, καὶ πόλλ' ἐπαληθῇ, 400
Τῆτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μηταλλᾷς.
Νῆσός τις Συρίη κικλήσκεται, (εἴπε ἀκούεις,)
Ὀρτυγίης κάθυπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
Οὔτι περιπληθὴς λίην τόσον· ἀλλ' ἀγαθὴ μὲν,
Εὔβοτος, εὔμηλος, οἰνοπληθὴς, πολύπυρος· 405
Πείνη δ' ἔποτε δῆμον ἐσέρχεται, ἠδέ τις ἄλλη

" Quicunque scilicèt valdè multa passus fuerit, et multùm erraverit: 400
" Hoc autem tibi dicam, quod me percontaris et interrogas.
" Insula quædam Syria vocatur, (sicubi audis,)
" Ortygiam supra; ubi conversiones Solis,
" Non ita valdè magna; sed bona quidem,
" Fertilis-boûm, fertilis-ovium, vino-abundans, tritici-ferax: 405
" Fames verò nunquam populum invadit, neque ullus alius

" pere. Et poëta vester [*Virgil. Æn.* I. " 203.] adjiciendo, *olim*, quid nisi post e- " mensa infortunia futuro tempore juvare " dicit memoriam sedati laboris?

" *Forsan et haec olim meminisse juvabit.*"
Saturnal. lib. VII. *cap.* 2.

Vide et *Gatakeri Annotationes in Antoninum, lib.* VIII. § 36.

Ver. 400. Ὅστις δὴ μάλα πολλὰ πάθῃ, καὶ πόλλ' ἐπαληθῇ.] *Aristoteles*, loco jam suprà adducto, versum hunc citat isto modo;

Μνήμενος ὅστις πολλὰ πάθῃ, καὶ πολλὰ ἰόργῃ.

Ver. 402. Νῆσος τις Συρίη κικλήσκεται.] Μία τῶν Κυκλάδων νήσων καλεῖται. *Schol.* Σύρος δ' ἐστὶ μακύνουσα τὴν πρώτην συλλαβὴν, ἐξ ἧς Φερεκύδης ὁ Βάβιος ἦν· νεώτερος δ' ἐστὶ ὁ Ἀθηναῖος ἐκείνου. Ταύτης δοκεῖ μνημονεύειν ὁ Ποιητὴς, Συρίην καλῶν· " Νῆσος τις Συρίη κικλήσκεται, εἴπε ἀκούεις, Ὀρτυγίης καθύπερθεν."
Strabo, Geograph. lib. X. *pag.* 746. *al.* 487. Porrò corripitur (quotante *Casaubono* ad hunc locum *Strabonis*) *prima* vocis Σύριος in *Anthologiâ, lib.* V. *Epigr.* 62.

Καὶ Σύριος σιλάγιζε σοφροσύνη Φερεκύδης.

Cæterùm apud nonnullos hæc insula vocatur Σύρα. Vide *Menagium, Annotat. in Diogenem Laërtium. lib.* I. *haud longè à fine.*

Ver. 403. —— ὅθι τροπαὶ ἠελίοιο.] Fuerunt qui *Homerum* hîc *Geographiae* omninò ignarum arguerint, quòd hanc insulam sub *Tropico* locârit. " Ce porcher [*Eumée*] dans un " recit qu'il fait, parle d'une isle nommée " Syrie, qu'il dit être sous le Tropique; " cependant cette isle est dans la mer Me- " diterranée, et par consequent éloignée du " Tropique de plus de trois cent lieuës.— " Je ne doute point —— qu'Homére n'ait " ignoré la veritable situation de l'isle dont " il parle." *Perrault, Parallele des Anciens et des Modernes, tom.* II. *pag.* 62. 65. Scilicèt per τροπαὶ ἠελίοιο *Tropicum solstitialem* intellexit Vir eruditus. *Eustathius* autem " τροπαὶ ἠελίοιο" *Occasum* denotare arbitratur; Τὸ δὲ " ὅθι τροπαὶ ἠελίοιο," (inquit) ἀντὶ τῦ, κειμένη πρὸς τροπὰς ἡλίε, ἤτοι πρὸς τὰ δυτικὰ μέρη τῆς Ὀρτυγίας. *Scholiastes* aliter exponit: Ἔνθα φησὶν εἶναι τὸ ἡλίε στρέφαιον, δι' ὃ σημαίνονται τὰς ἡλίε τροπάς. Quam in sententiam *Huëtium* concessisse testatur *Menagius* in Annotationibus ad *Laërtium*; " Ἡλιοτρόπιον (inquit) fuit parapegma, quo " solstitia et æquinoctia et siderum orienti- " um occidentiumque sgnificationes per a- " liquot annorum ambitum designabantur. " —Cæterùm P. Huëtius, vir ingenio præ- " stans et doctrinâ, suspicabatur ἡλιοτρόπιον " illud in insulâ Syro constructum, non " Pherecyde solùm, sed et ipso Homero " fuisse antiquius; idque ex his versibus " *Odyss.* ὁ. colligebat;

" Νῆσος τις Συρίη κικλήσκεται, εἴπε ἀκούεις,
" Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο. —

" Sanè inepta est *Eustathii* interpretatio, " qui situm Syriæ his verbis designari con- " tendit: nam τροπαὶ ἠελίοιο non Occasum " potiùs quàm Ortum, multò etiam minùs " quàm Austrum vel Boream designant. " Jam verò Strabo —— Homerum Syri " insulæ sub Syriæ nomine mentionem fe- " cisse ait. Non itaque Heliotropii pri- " mus in Syro conditor, sed restaurator " fortassè Pherecydes fuerit." *Annotat. ad lib.* I. *in Pherecyde.*

Ver. 406. Πείνη δ' ἔποτε δῆμον ἐσέρχεται, ἠδὲ τις ἄλλη Νῆσος &c.] Sic apud *Hesiodum*;

Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Νόσφιν ἄτερ τε πάκων, καὶ ἄτερ γαλεποῖο πόνοιο,
Νόσων τ' ἀργαλέων, αἵτ' ἄνδρας ἀγήρας ἔδωκαν.
Ἔργ. καὶ Ἡμερ. I. 90.

Et paulò inferiùs;

Οἱ μὲν ἐπὶ Κρόνῳ ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν,
Ὡς τε θεοὶ δ' ἔζεσκον, ἀκηδέα θυμὸν ἔχοντες,
Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδὲ τι δειλὸν
Γῆρας ἐπῆν· ——
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ——
ver. 111. 116.

Digitized by Google

Νῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
Ἀλλ' ὅτε γηράσκωσι πόλιν κατὰ φῦλ' ἀνθρώπων,
Ἑλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν,
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν. 410
Ἔνθα δύο πόλιες, δίχα δὲ σφισι πάντα δέδασται·
Τῇσιν δ' ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευε
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
Ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἦλυθον ἄνδρες
Τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηῒ μελαίνῃ. 415
Ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκῳ,
Καλή τε μεγάλη τε, καὶ ἀγλαὰ ἔργ' εἰδυῖα·
Τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπεροπευον·
Πλυνέσῃ τις πρῶτα μίγη, κοίλῃ παρὰ νηῒ,
Εὐνῇ καὶ φιλότητι· τά τε φρένας ἠπεροπεύει 420

" Morbus odiosus incidit miseris mortalibus:
" Sed quandò senescant in urbe gentes hominum,
" Veniens argenteum-arcum-gestans Apollo cum Dianâ,
" Suis lenibus telis aggrediens interficere-solet. 410
" Illic duæ urbes; bifariàm autem ipsis omnia divisa sunt:
" His verò ambabus pater meus imperabat
" Ctesius Ormenides, assimilis immortalibus.
" Illuc autem Phœnices re-nauticâ-inclyti venerunt viri
" Veteratores, innumeras ducentes merces ludicras nave nigrâ. 415
" Erat autem patris mei mulier Phœnissa in domo
" Pulchraque magnaque, et splendidorum operum perita:
" Hanc autem Phœnices callidi decipiebant:
" *Cum eâ* lavante quidam primùm mixtus est, cavam apud navim,
" Concubitu et amore: quæ scilicèt mentes decipiunt 420

Ver. 407. —— ἐπὶ στυγερὴ.] *Al.* ἐπιστυγερὴ.
Ibid. —— δειλοῖσι βροτοῖσιν.] Sic apud *Virgilium;*

—————— mortalibus ægris.
Georg. I. 237. *Æn.* II. 268. X. 274. XII. 850.

—————— miseris mortalibus ——.
Georgic. III. 66. *Æn.* XI. 182.

Ver. 409. Ἑλθὼν ἀργυρότοξος Ἀπόλλων.] " Homerus occidi facit ab Apolline et Dianâ qui morbo moriuntur, præsertim vehementi et acuto, ut ab Heraclide Ponticо scriptum est: Hinc illud ejus;

" Ἑλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν,
" Οἷς ἀγανοῖς βελέεσσι ἐποιχόμενος κατέπεφνεν.

" Idem æmulatus studiosè Valerius Flaccus, libro III. Argon. *ver.* 311.

" —————— Triviæque potentis
" Occidit arcanâ genitrix absumpta sagittâ.

" A Diis enim illis immitti mortem existimabant, præsertim velocem; et mortis " eos auctores putabant." *Adrian. Turneb. Adversar. lib.* IX. *cap.* 8. *ipso fine.* Vide ad *Il.* α΄. 59. et ω΄. 605. Porrò confirmatur hæc observatio infrà *ver.* 477. *hujus libri;* ubi mulierem quam à Dianâ interfectam memorat Poëta, subitâ morte obiisse liquet ex sequentibus, Ἄντλῳ δ' ἐνδύπησε &c.

Ver. 416. Ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκῳ.] *Eustathius* Mulierem hanc *Eumaei* matrem fuisse intelligit. Λέγει δὲ ὅτι Φοίνικες ἐκεῖ ἐλθόντες ἠπατέσαυσαν τὴν τούτου μητέρα Φοίνισσα δὲ ἦν ἐκείνη " Καλή τε μεγάλη τε, καὶ ἀγλαὰ ἔργ' εἰδυῖα." Et in commentario ad *ver.* 419. Λέγει δ' ἐνταῦθα περὶ τῆς μητρὸς Εὔμαιος ὅτι " Πλυνέσῃ τις πρῶτα μίγη, &c." Eodem modo accepisse videtur et *Scholiastes;* qui citatis his verbis, " πατρὸς ἐμοῖο γυνὴ," Ταῦτα (inquit) ἴσως οἱ Φοίνικες λαίρτῃ διηγήσαντο, πολλῷ ἄξιον αὐτὸν ἀποφαίνοντες. Sed mirè admodùm errârunt, Viri eruditi; Cùm, ut recte notavit *Barnesius, Eumaei* matris, diversæ plane ab hâc muliere, ipse meminerit Poëta infrà *ver.* 460

Θηλυτέρῃσι γυναιξὶ, καὶ εἴ κ' εὐεργὸς ἔῃσιν.
Εἰρώτα δὴ ἔπειτα, τίς εἴη, καὶ πόθεν ἔλθοι·
Ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
Ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι·
Κέρη δ' εἰμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο· 425
Ἀλλά μ' ἀνήρπαξαν Τάφιοι, ληΐστορες ἄνδρες,
Ἀγρόθεν ἐρχομένην· πέρασαν δέ με δεῦρ' ἀγαγόντες
Τῷ δ' ἀνδρὸς πρὸς δώμαθ'· ὁ δ' ἄξιον ὦνον ἔδωκεν.
Τὴν δ' αὖτε προσέειπεν ἀνὴρ, ὃς ἐμίσγετο λάθρῃ·
Ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἡμῖν οἴκαδ' ἕποιο 430
Ὄφρα ἴδῃς πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ,
Αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ, καὶ ἀφνειοὶ καλέονται.
Τὸν δ' αὖτε προσέειπε γυνὴ, καὶ ἀμείβετο μύθῳ·
Εἴη κεν καὶ τῶτ', εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
Ὅρκῳ πιστωθῆναι, ἀπήμονά μ' οἴκαδ' ἀπάξειν. 35
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευεν.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
Τοῖς δ' αὖτις μετέειπε γυνὴ, καὶ ἀμείβετο μύθῳ·
Σιγῇ νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν

" Imbecillis mulieribus; etiam si *qua* frugi fuerit.
" Interrogabat autem posteà, quænam esset, et undè venisset:
" Hæc autem citò admodùm patris indicavit altam domum;
" Ex Sidone quidem abundante-æris glorior esse;
" Filia verò sum Arybantis ego abundè divitis: 425
" Sed me abripuerunt Taphii latrones viri
" Ex agro venientem; vendiderunteque me huc deductam
" Hujusce viri ad ædes: hic autem dignum pretium dedit.
" Hanc autem rursùs allocutus est vir, qui *cum eâ* mixtus erat clàm;
" Nunquid jam retrò rursùs unà nos domum sequereris, 430
" Ut videas patris et matris altam domum,
" Ipsosque? certè enim etiamnum sunt, et divites vocantur.
" Hunc verò rursùs allocuta est mulier, et respondit sermone;
" Esset et hoc, si mihi velletis, nautæ,
" Jurejurando fidem dare; incolumem me domum abducturos. 435
" Sic dixit: illi autem omnes jurabant, sicut jussit.
" At postquam jurâssentque, perfecissentque jusjurandum,
" Inter eos utique rursùs locuta est mulier, et respondit sermone;
" Tacitè-*agatis* nunc; ne quis me alloquatur verbis

Ver. 421. —— ἢ εἴ κ' εὐεργὸς ἔῃσιν.] *Al.* ἢ ἡ κ' εὐεργὸς ἔῃσιν. Ex λ'. (ut videtur) 443. suprà.

Ver. 422. Εἰρώτα.] *Al.* Ἤρώτα.

Ibid. —— δὴ πτίλα.] Vide ad *Il. ι.* 290.

Ver. 423. —— ἐπέφραδεν.] Vide ad *Il. ξ'.* 500.

Ver. 424. —— Σιδῶνος πολυχάλκου.] Στιφρὰς ἐν αὐτῇ γὰρ χαλκὸς ὑ γίνεται· ἢ πλουσίας, ὡς πορφύρας ἐν αὐτῇ γινομένης. *Schol.*

Ver. 427. 452. —— πέρασαν — περάσῃ.] Vide suprà ad *ver.* 386.

Ver. 431. —— ἴδῃς.] *Al.* ἴδῃ.

Ver. 433. —— προσείειπε.] *Al.* μετέειπε. Ex versu (ut videtur) infrà 438.

Ver. 436. —— ἀπώμνυον.] MS. à *Tho. Bentleio* collatus, ἐπώμνυον· Quæ fortè et verior lectio. Vide suprà ad *β'.* 377.

Ver. 437. —— *β'.*] *Ut dictum est* ——.

Ver. 439. Σιγῇ.] *Al.* Σιγὴ.

Digitized by Google

Ὑμετέρων ἑτάρων, συμβλήμενος ἢ ἐν ἀγυιῇ, 440
Ἤ πε ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα γέροντι
Ἐλθὼν ἐξείπῃ· ὁ δ' ὀϊσσάμενος καταδήσῃ
Δεσμῷ ἐν ἀργαλέῳ, ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον.
Ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὁδαίων.
Ἀλλ' ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται, 445
Ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δῶμαδ' ἱκέσθω·
Οἴσω γὰρ καὶ χρυσὸν, ὅτις χ' ὑποχείριος ἔλθῃ·
Καὶ δέ κεν ἄλλ' ἀπίθεσθον ἐγὼν ἐθέλεσά γε δοίην·
Παῖδα γὰρ ἀνδρὸς ἐῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
Κερδαλέον δὴ τοῖον, ἁμαιτροχόωντα θύραζε, 450
Τόν κεν ἄγοιμ' ἐπὶ νῆας· ὁ δ' ὑμῖν μυρίον ὦνον
Ἄλφοι, ὅπῃ περάσητε πρὸς ἀλλοθρόους ἀνθρώπους.
Ἦ μὲν ἄρ' ὡς εἰπεῖσ', ἀπέβη πρὸς δώματα καλά.
Οἱ δ' ἐνιαυτὸν ἅπαντα παρ' ἡμῖν αὖθι μένοντες
Ἐν νηῒ γλαφυρῇ βίοτον πολὺν ἐμπολόωντο· 455
Ἀλλ' ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι πέεσθαι,

" Vestrorum sociorum, obviam-factus vel in viâ, 440
" Vel alicubi ad fontem; nè quis ad domum seni
" Profectus dicat; is autem suspicatus liget *me*
" Vinculo in gravi, vobis verò moliatur mortem.
" Sed retinete in mente verbum; et properate emptionem viaticorum.
" At quandò jam navis plena victu fuerit, 445
" Nuncius mihi deindè celeritèr ad ædes veniat:
" Afferam enim et aurum, quodcunque sub-manus venerit:
" Quin et aliud naulum ego volens sanè dedero:
" Filium enim viri boni in ædibus nutrio,
" Astutum jam talem, simul-cursitantem foràs; 450
" Hunc duxero in navim: hic verò vobis infinitum pretium
" Comparaverit, ubicunque vendendum-transtuleritis ad alienos homines.
" Hæc quidem sic fata, abiit ad ædes pulchras;
" Illi autem per-annum totum apud nos ibidem manentes
" In navi cavâ facultates multas emebant: 455
" Sed quandò jam cava navis onerata erat ipsis ad-redeundum,

Ver. 441. —— ποτὶ δῶμα.] *Al.* πρὸς δῶμα.

Ver. 443. —— ἐπιφράσσετ'.] *Al.* ἐπιφράσσατ'.

Ver. 444. —— ἐπείγετε δ' ὦνον ὁδαίων.] Σπουδάζετε δὲ περὶ τὸν ἀγορασμὸν τῶν φορτίων. *Schol.*

Ver. 446. —— ἐς δώμαδ'.] *Al.* πρὸς δώμαδ'.

Ver. 447. —— ἔλθῃ.] *Al.* εἴη.

Ver. 448. —— ἐπίθεσθον.] Μισθὸν, ὃ ἐστὶ ναῦλον, τῆς ἐπιβάσεως τῆς νεώς. *Schol.*

Ver. 450. — ἁμαιτροχόωντα θύραζε.] Ἤδη δυνάμενον πρόχειν ἔχων· ἢ δυνατὸν ὄντα ἐπαιτολυθῆν. Γράφεται δὲ, ἅμα τροχόωντα. *Schol.* Similitèr et *Porphyrius*; " Ἁμαιτροχόωντα " θύραζε," τουτέστιν, ἤδη μὴ ἔξω συντρέχων δυνάμενον, καὶ βάδην σὺν ἐμοὶ πορευόμενον, ὡς ἐπικολπίδιον. Ταυτὸν δὲ τῷ " ἁμαιτροχόωντα " θύραζε" τὸ " Ἢ δὲ με χειρὸς ἑλοῦσα δόμων " ἔξηγε θύραζε." [infrà *ver.* 464.] *Porphyr. Quæst. Homeric.* 4. Porrò legitur hic et ὁμοιοτροχόωντα, notante *Eustathio.*

Ver. 452. —— πρὸς ἀλλοθρόους ἀνθρώπους.] *Eustathius* in commentario citat, παρ' ἀλλοθρόους ἀνθρώπους.

Ver. 455. —— ἐμπολόωντο.] *Al.* ἐμπολῶντο.

Digitized by Google

Καὶ τότ' ἄρ' ἄγγελον ἦπαν, ὃς ἀγγείλειε γυναικί·
Ἦλυθ' ἀνὴρ πολύϊδρις ἐμῷ πρὸς δώματα πατρός,
Χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο·
Τὸν μὲν ἄρ' ἐν μεγάρῳ δμωαὶ καὶ πότνια μήτηρ 460
Χείρεσιν ἀμφαφόωντο, καὶ ὀφθαλμοῖσιν ὁρῶντο,
Ὤνον ὑπισχόμεναι· ὅ δὲ τῇ κατένευσε σιωπῇ.
Ἤτοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει·
Ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε·
Εὗρε δ' ἐνὶ προδόμῳ ἠμὲν δέπας ἠδὲ τραπέζας 465
Ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ' ἀμφεπένοντο.
Οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν·
Ἡ δ' αἶψα τρί' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπῳ
Ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνῃσι·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί. 470
Ἡμεῖς δ' ἐς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες,
Ἔνθ' ἄρα Φοινίκων ἦν ἀνδρῶν ὠκύαλος νηῦς.
Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,

" Tunc utique nuncium miserunt, qui nunciaret mulieri:
" Venit vir solers mei ad ædes patris,
" Aureum monile habens; electris autem intersertum erat:
" Hoc quidem in domo famulæ et veneranda mater 460
" Manibus tractabant, et oculis spectabant,
" Pretium pollicitæ: ille autem huic innuit tacitè.
" Atque ille quidem postquam innuerat, cavam ad navem ivit:
" Hæc autem me manu prehensum ædibus eduxit foràs;
" Invenit verò in vestibulo et poculum et mensas 465
" Virorum convivarum, qui circa meum patrem versabantur.
" Illi quidem in concionem processerunt, populique cœtum:
" Hæc autem statim tria pocula abscondita sub sinu
" Efferebat; at ego sequebar stultitiâ:
" Occidebatque sol, obumbrabanturque omnes viæ. 470
" Nos verò in portum inclytum venimus celeritèr profecti,
" Ubi scilicèt Phœnicum erat virorum velox-in-mari navis.
" Hi quidem deindè nave-conscensâ navigabant humidas vias,

Ver. 457. —— ἄρ'.] *Uti ipsis præceperat Mulier,* —— suprà *ver.* 446.

Ver. 459. —— ὅρμον.] Περίβραχήλιον κόσμον. *Schol.*

Ibid. —— ἠλέκτροισιν.] *Al.* ἠλέκτρορσιν.

Ibid. —— ἔερτο.] *Al.* ἔερπτο. Τινὲς συνεπίπλεκτο, ἢ συνεπέπλεισο. *Eustath.*

Ver. 461. Χείρεσιν ἀμφαφόωντο.] *Al,* Χερσὶ τ' seu Χερσὶν τ' ἀμφαφόωντο. Cæterùm *Eustathius* in commentario citat, Χερσὶν ἀμφαφίωνο.

Ver. 462. —— ὑπισχόμεναι.] *Al.* ὑποσχόμεναι.

Ver. 465. —— ἠμὲν δέπας ἠδὲ τραπέζας.] Ita Vulgati. Legitur autem, notante *Barnesio*, et δέπα· Quod rectius videtur. Ita enim Poëta infrà τ'. 61.

Αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἤρεον, ἠδὲ τραπέζας,
Καὶ δέπα ——————,

Et ὑ. 153.

Καὶ δέπα ἀμφιπότελλα ——————.

Cæterùm Codex unus à *bo. Bentleio* collatus hîc habet δέπατ' ἠδὲ τραπέζας.

Ver. 467. —— δήμοιο τε φῆμιν.] Ἐκκλησίαν, συνέδριον. *Schol.* Similitèr *Eustathius*; Λέγει δὲ ᾗ δῆμε φῆμιν διὰ τῦ ἰῶτα, τὴν δημοτικὴν συνέλευσιν ἐπὶ δημηγορίᾳ. Quo tamen sensu hæc vox nusquam alibi apud *Homerum* occurrit.

Ver. 472. —— Φοινίκων ἦν ἀνδρῶν.] *Al.* Φοινίκων ἀνδρῶν ἦν.

Digitized by Google

Νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς ἔρον ἴαλλεν.
Ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ· 475
Ἀλλ' ὅτ' ἄρ' ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
Τὴν μὲν ἔπειτα γυναῖκα βάλ' Ἄρτεμις ἰοχέαιρα·
Ἄντλῳ δ' ἐνδέπησε πεσοῦσ', ὡς εἰναλίη κήξ·
Καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι
Ἔκβαλον· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ. 480
Τὼς δ' Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ·
Ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
Οὕτω τήνδε τε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν.
Τὸν δ' αὖ διογενὴς Ὀδυσεὺς ἠμείβετο μύθῳ·
Εὔμαι', ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυμὸν ὄρινας, 485
Ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἄλγεα θυμῷ.
Ἀλλ' ἤτοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκε
Ζεύς, ἐπεὶ ἀνδρὸς δώματ' ἀφίκεο πολλὰ μογήσας
Ἠπίῳ, ὅς δή τοι παρέχει βρῶσίν τε πόσιν τε
Ἐνδυκέως· ζώεις δ' ἀγαθὸν βίον· αὐτὰρ ἔγωγε 490
Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος ἐνθάδ' ἱκάνω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·

" Nobis navi impositis: Jupiter autem ventum-secundum immittebat.
" Sex diebus quidem simul navigabamus nocteque et die; 475
" Sed quandò septimum diem Jupiter induxit Saturnius,
" Deindè mulierem quidem feriit Diana sagittis-gaudens:
" In-sentinam verò *ea* insonuit lapsa, sicut marina fulica:
" Et hanc quidem phocis et piscibus escam futuram
" Ejecerunt: at ego relictus eram, dolens corde. 480
" Hos autem Ithacæ appulit ferens ventusque et aqua;
" Ubi me Laërtes emit possessionibus suis.
" Sic hanc quoque terram ego vidi oculis."
Huic autem rursùs nobilis Ulysses respondit sermone;
" Eumæe, certè valdè jam mihi in mente animum commovisti, 485
" Hæc singula dicens, quot scilicèt passus sis dolores animo.
" Sed sanè tibi quidem etiam ad malum bonum apposuit
" Jupiter, quippè in viri ædes pervenisti multa perpessus
" Mitis, qui jam tibi præbet cibumque potumque
" Accuratè; degis autem bonam vitam: at ego 490
" Multas hominum per urbes vagans huc venio."
Sic hi quidem talia inter se loquebantur:

Ver. 474. Νὼ ἀναβησάμενοι.] Ita restituit *Barnesius* ex *Hesychio*, qui vocem ἀναβησάμενοι exponit ἀναβιβάσαντες ἐπὶ τὴν ναῦν· iisdem ferè verbis ac *Scholiastes* in hunc locum. *Al.* ἀναβάσαμενοι.

Ver. 476. Ἀλλ' ὅτ' ἄρ' ἕβδομον.] MSS. duo à *Tho. Bentleio* collati habent, Ἀλλ' ὅτε δὴ ἕβδομον. Quæ si vera sit lectio, pronuntiandum erit. Ἀλλ' ὅτε δὴ Ἕβδομον.

Ver. 477. 478. —— βάλ' Ἄρτεμις —— Ἄντλῳ δ' ἐνδέπησε.] Vide suprà ad *ver.* 409.

Ver. 478. —— ἐνδέπησε.] Vide ad *Il. δ.* 455.

Ibid. —— ὡς εἰναλίη κήξ.] Ὄρνιον θαλάσσιον, παρακλήσιον χελιδόνι. Ἔνιοι δὲ λάρον αὐτὸν λέγουσιν· οἱ δὲ αἰθυιαν. *Schol.*

Ver. 483. Ὣς τὴν τήνδε τε γαῖαν ἐγὼν ἴδον. Ἐλκὼς αὐτὸν ἀπηκοίναι παρὰ τῷ Λαέρτῃ, ᾧ ἐπωγήσαντο οἱ Φοίνικες. *Schol.*

Ver. 487. —— παρὰ κ' κακῷ ἐσθλὸν θῆκε Ζεύς.] Vide suprà ad *δ.* 237.

Digitized by Google

Καδδραθέτην δ' ἐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα·
Αἶψα γὰρ ἠὼς ἦλθεν ἐΰθρονος. Οἱ δ' ἐπὶ χέρσου
Τηλεμάχου ἕταροι λύον ἱστία· κὰδ δ' ἕλον ἱστὸν 495
Καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς·
Ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
Ἐκ δὲ καὶ αὐτοὶ βαῖον ἐπὶ ῥηγμῖνι θαλάσσης,
Δεῖπνόν τ' ἐντύνοντο, κερῶντό τε αἴθοπα οἶνον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητυος ἐξ ἔρον ἕντο, 500
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
Ὑμεῖς μὲν νῦν ἄστυδ' ἐλαύνετε νῆα μέλαιναν·
Αὐτὰρ ἐγὼν ἀγρόνδ' ἐπελεύσυμαι, ἠδὲ βοτῆρας.
Ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι·
Ἠῶθεν δέ κεν ὔμμιν ὁδοιπόριον παραθείμην, 505
Δαῖτ' ἀγαθὴν κρειῶν τε καὶ οἴνου ἡδυπότοιο.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Πῇ γὰρ ἐγώ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ' ἵκωμαι
Ἀνδρῶν, οἳ κραναὴν Ἰθάκην κατακοιρανέουσιν;

Dormierunt verò non multum in tempus, sed paululùm;
Statim enim aurora venit pulchro-solio. At ad terram
Telemachi socii solvebant vela; demiseruntque malum 495
Confestim; ipsamque *navem* in stationem subduxerunt remis:
Anchoras autem ejecerunt, ac retinacula alligaverunt:
Ipsique porrò egrediebantur in littus maris,
Cœnamque parabant, miscebantque generosum vinum.
At postquam potûs et cibi desiderium exemissent, 500
His utique Telemachus prudens exordiebatur sermonem;
" Vos quidem nunc ad-urbem agite navem nigram;
" At ego agrum adibo, et pastores:
" Vespertinus verò in urbem, visis meis operibus, revertar:
" Manè autem vobis viaticum apposuero, 505
" Convivium bonum carniumque et vini dulcis."
Hunc autem rursùs allocutus est Theoclymenus deo-par;
" Quonàm enim ego, dilecte fili, ibo? cujusnam ædes accedam
" Virorum, qui in asperâ Ithacâ dominantur?

Ver. 493. Καδδραθέτην.] Ita edidit *Barnesius*; eâdem scilicèt ratione ac dicitur κάββαλε καδδύσαι, &c. Vide ad *Il.* α'. 106. *Al.* Κὰδ δραθέτην.

Ver. 494. —— ἐπὶ χέρσου.] *Al.* ἐπὶ χέρσῳ.

Ver. 496. —— προέρυσσαν ἐρετμοῖς.] Ita rectè edidit *Barnesius*; atque ita in omnibus scribitur *Iliad.* ι. 435. ubi idem hic versus occurrit. *Vulgg.* hoc in loco προέρυσσαν. Quod penultimam corripit. *Al.* προέρεσσαν. Quo modo et legendum conjicit *Barnesius*. Sed nihil opus: Nam voces ἔρυσσαν, προέρυσσαν eodem sensu alibi usurpat Poëta. Vide suprà ad ι. 73. et ad *Il.* ι. 435. et 485.

Ver. 497. Ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν.]

Anchora de prorâ jacitur, stant littore puppes. *Æn.* III. 277.

Ver. 499. —— ἐντύνοντο.] Vide suprà ad ζ'. 31. et ad *Il.* ι. 203.

Ver. 503. —— ἀγρόνδ' ἐπελεύσομαι.] *Al.* ἀγρόνδ' ἐσελεύσομαι. *Al.* ἀγροὺς ἐπιέσομαι.

Ver. 505. —— ὁδοιπόριον.] Τὸν διὰ τὸν πλοῦν δεῖπνον ἢ ἀμοιβήν. *Schol.*

Ver. 506. —— οἴνου ἡδυπότοιο.] Vide suprà ad β'. 340.

Ver. 508. Πῇ γὰρ ἴωμι.] Refertur istud γὰρ ad id quod eleganter reticetur: " *Nescio quid* " *mihi faciendum sit; Quonàm ENIM &c.*"

Digitized by Google

Ἦ ἰθὺς σῆς μητρὸς ἴω καὶ σοῖο δόμοιο; 510
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄλλως μέν σ' οὐν ἔγωγε καὶ ἡμέτερονδε κελοίμην
Ἔρχεσθ'· ἐ γάρ τοι ξενίων ποθή· ἀλλά σοι αὐτῷ
Χεῖρον· ἐπεί τοι ἐγὼν μὲν ἀπέσσομαι, ἐδέ σε μήτηρ
Ὄψεται· ἐ μὲν γάρ τι θαμὰ μνηστῆρα' ἐνὶ οἴκῳ 515
Φαίνεται, ἀλλ' ἀπὸ τῶν ὑπερωΐῳ ἱστὸν ὑφαίνει.
Ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι, ὅν κεν ἴκηαι,
Εὐρύμαχον, Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱόν·
Τὸν νῦν ἶσα θεῷ Ἰθακήσιοι εἰσορόωσι·
Καὶ γὰρ πολλὸν ἄριστος ἀνὴρ, μέμονέν τε μάλιστα 520
Μητέρ ἐμὴν γαμέειν, καὶ Ὀδυσσῆος γέρας ἕξειν.
Ἀλλὰ τά γε Ζεὺς οἶδεν Ὀλύμπιος, αἰθέρι ναίων,
Εἰ καί σφιν πρὸ γάμοιο τελευτήσει κακὸν ἦμαρ.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπταντο δεξιὸς ὄρνις,
Κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος· ἐν δὲ πόδεσσι 525
Τίλλε πέλειαν ἔχων, κατὰ δὲ πτερὰ χεῦεν ἔραζε,
Μεσσηγὺς νηός τε καὶ αὐτοῦ Τηλεμάχοιο.

"An rectà tuam matrem adibo et tuam domum?" 510
Hunc autem Telemachus prudens contrà allocutus est;
"Alioquin quidem te ego et nostram-ad-*domum* juberem
"Ire, haud enim tibi xeniorum desiderium *esset;* sed tibi ipsi *nunc*
"Pejus *erit;* quoniam tibi ego quidem abero, neque te mater
"Videbit; nequaquam enim frequenter procis in domo 515
"Apparet; sed seorsùm-ab his in superiore-ædium-parte telam texit.
"At tibi alium virum indicabo, quem adeas,
"Eurymachum, Polybi prudentis inclytum filium,
"Quem nunc instar dei Ithacenses suspiciunt:
"Etenim longè optimus vir *est*, cupitque maximè 520
"Matrem meam ducere-uxorem, et Ulyssis munus habere.
"Sed hæc sanè Jupiter novit Olympius, in æthere habitans,
"An et ipsis ante nuptias perficiat malum diem."
Sic utique ei locuto supervolavit dextera avis,
Accipiter, Apollinis velox nuncius; in pedibus autem 525
Vellebat columbam tenens, pennas autem defundebat ad terram,
In medio inter navemque et ipsum Telemachum.

Ver. 513. —— ἐ γὰρ τοι.] *Al.* ἐ γὰρ μοι. *Al.* ἐ γὰρ τις. *Al.* ἐ γάρ τι· uti infrà *ver.* 515.

Ibid. —— ξενίων.] Τῶν παρὰ ξένων ὑποδοχὴν ἐπιτηδείων. *Schol.* Sic infrà *ver.* 545.

—— —— ξενίων δὲ οἱ ἐ ποθὴ ἔσται.

Ver. 517. —— ἴκηαι.] *Al.* ἵκοιο.

Ver. 520. —— μέμονεν τε μάλιστα.] Vide suprà ad *ver.* 16.

Ver. 521. —— γαμέειν.] Vide suprà ad λ'. 272.

Ver. 523. Εἰ καὶ σφιν.] Apud *Eustathium* in commentario Εἰ κε σφιν. Atque ita habet MS. à *Tho. Bentleio* collatus. Quæ et proba lectio.

Ver. 525. Κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος.] Αἰχύπτιοι τὸν ἱέρακα Ἀπόλλωνι τιμῶν ἱείκασι, καὶ τὸν μὲν θεὸν Ὥρον καλοῦσι τῇ φωνῇ τῇ σφετέρᾳ· τοὺς δὲ ὄρνιθας λέγουσι θαυμαστοὺς, [*Al.* θαυστοὺς], καὶ προσήκειν τῷ θεῷ τῷ προειρημένῳ φασὶν. Ὁρῶσι γὰρ ἱέρακες ὀρνίθων μόνον ἀεὶ ἐν ταῖς ἀκτῖσι τοῦ ἡλίου ῥᾳδίως καὶ ἀδιαπαύστως βλέποντες, καὶ δυσωπούμενοι ἥκιστα· πορείαν τε τὴν ἀνωτάτω ἴασι, καὶ αὐτοὺς ἡ θεία φλὸξ λυπεῖ ἥδιστα. *Æliani de Animal. lib.* X. *cap.* 14.

Digitized by Google

Τὸν δὲ Θεοκλύμενος ἑτάρων ἀπονόσφι καλέσσας,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τηλέμαχ', οὔ τοι ἄνευ θεοῦ ἔπετο δεξιὸς ὄρνις· 530
Ἔγνων γάρ μιν ἐσάντα ἰδὼν, οἰωνὸν ἐόντα.
Ὑμετέρου δ' οὐκ ἐστὶ γένευς βασιλεύτερον ἄλλο
Ἐν δήμῳ Ἰθάκης, ἀλλ' ὑμεῖς καρτεροὶ αἰεί.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη· 535
Τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
Ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ἦ, καὶ Πείραιον προσεφώνεε πιστὸν ἑταῖρον·
Πείραιε Κλυτίδη, σὺ δέ μοι τά περ ἄλλα μάλιστα
Πείθῃ ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἰς ἅμ' ἕποντο· 540
Καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσιν
Ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰσόκεν ἔλθω.
Τὸν δ' αὖ Πείραιος δουρικλυτὸς ἀντίον ηὔδα·
Τηλέμαχ', εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Τόνδε δ' ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται. 545
Ὡς εἰπὼν, ἐπὶ νηὸς ἔβη, ἐκέλευσε δ' ἑταίρους
Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.

Illum autem Theoclymenus à-sociis seorsùm ubi-vocâsset,
Inhæsitque ei manui, verbumque dixit, et compellabat;
" Telemache, nequaquam sine deo volavit dextera ales; 530
" Cognovi enim ipsam contrà intuitus auguralem esse.
" Vestro autem non est genere regalius aliud
" In populo Ithacæ; sed vos potentes semper."
Hunc autem statim Telemachus prudens contrà allocutus est;
" Utinam enim hoc, hospes, verbum perfectum sit; 535
" Ita citò cognosceres amicitiamque multaque dona
" Ex me; adeò ut aliquis te occurens beatum-diceret."
Dixit, et Piræum allocutus est fidum socium;
" Piræe Clytide, tu etenim mihi aliis etiam *in rebus* maximè
" Obsequeris meorum sociorum, qui me in Pylum comitati sunt: 540
" Etiam nunc mihi hunc hospitem ducens in ædibus tuis
" Accuratè tracta et honora, donec venero."
Hunc autem rursùs Piræus hastâ-inclytus contrà allocutus est;
" Telemache, etiamsi enim tu multo tempore hîc maneas,
" Hunc tamen ego curabo; xeniorum autem ei desiderium non erit." 545
Sic locutus, navem conscendit, jussitque socios
Ipsosque conscendere, et retinacula solvere.

Ver. 530. —— ἀ τοι ἄνευ θεοῦ] —— non hæc sine numine Divûm Eveniunt ——. *Æn.* II. 777.

Ibid. —— ἔπετο.] *Al.* ἤλυθε.

Ver. 531. —— οἰωνὸν ἐόντα.] Τυτίζει σημαντικὸν καὶ μαντευτικὸν. *Eustath.*

Ver. 532. —— γένευς.] *Al.* γένος.

Ver. 533. —— Ἐν δήμῳ Ἰθάκης.] Vide suprà ad *ά.* 103.

Ver. 542. —— τιέμεν.] Vide ad *Π. Υ.* 257. et *ν.* 103.

Ver. 544. —— εἰ γὰρ] " *Nè de meo obsequio dubites, si ENIM &c.*

Ver. 545. Τόνδε δ' ἐγὼ.] *Al.* Τὸν δ' ἔτ' ἐγὼ.

Digitized by Google

Οἱ δ' αἶψ' ἔσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον.
Τηλέμαχος δ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ, 550
Νηὸς ἀπ' ἰκριόφιν· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Οἱ μὲν ἀνώσαντες πλέον ἐς πόλιν, ὡς ἐκέλευσεν
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Τὸν δ' ὦκα προβιβῶντα πόδες φέρον, ὄφρ' ἵκετ' αὐλὴν,
Ἔνθα οἱ ἦσαν ὕες μάλα μυρίαι, ἦσι συβώτης 555
Ἐσθλὸς ἐὼν ἐνίαυεν, ἀνάκτεσιν ἤπια εἰδώς.

Hi autem statim conscendebant, et in transtris sedebant,
Telemachus verò sub pedibus ligavit pulchros calceos,
Sumpsitque validam hastam præfixam acuto ære, 550
Navis à tabulatis: illi autem retinacula solverunt.
Hi quidem sursùm-acti navigabant in urbem, sicut jusserat
Telemachus, dilectus filius Ulyssis divini.
Hunc autem celeritèr progredientem pedes ferebant, donec venit in chortem:
Ubi ei erant sues valdè multæ, apud quas subulcus 555
Bonus ut-erat, dormiebat, dominis benè cupiens.

Ver. 548. —— ἐπὶ κληῖσι κάθιζον.] Linquere tum portus jubeo, et considere transtris. *Æn.* III. 289.

Ver. 550. —— ἀκαχμένον ὀξέϊ χαλκῷ.] —— ferro præfixum robur acuto. *Æn.* X. 479.

Ver. 552. —— ὡς ἐκέλευσεν Τηλέμαχος.] Nempè suprà *ver.* 502.

Ver. 554. —— πόδες φέρον.] Quò te, Mœri, pedes? —— *Virgil, Eclog.* IX. 1.

Ver. 556. —— ἐνίαυεν.] *Al.* ἐκίαυεν.

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Π'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Π'.

ΈΛΘΟΌΝΤΟΣ ἐς τὺς ἀγρὺς Τηλεμάχυ, πίμπτεται Εὔμαιος ἐς τὴν πόλιν, ὀφείλων ἐπαγγῆλαι τῦ διεπότυ τὴν παρυσίαν. Γίνεται δὶ ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς τὸν υἱὸν ἀναγνωρισμὸς, κατὰ βούλησιν Ἀθηνᾶς, καὶ τῶν ἐπὶ τὴν ἐνίδραν Τηλεμάχου τεταγμένων ἐπὶ τὴν πόλιν ὑποςροφή.

Ἐπιγραφαί.

Ἀναγνωρισμὸς Ὀδυσσέως ὑπὸ Τηλεμάχυ.

Ἄλλως,

Πῖ δ' ἄρα Τηλέμαχος ἀναγνωρίζει πατέρα ὃν.

Τῶ δ' αὖτ' ἐν κλισίῃς Ὀδυσεὺς καὶ θεῖος ὑφορβὸς
Ἐντύνοντ' ἄριστον ἅμ' ἠοῖ, κειαμένω πῦρ,

LIB. XVI.

Diversâ autem ex parte in casâ Ulysses et nobilis subulcus
Parabant jentaculum simul cum aurorâ, accenso igne,

Ver. 1. Τὼ δ' αὖτ' ἐν κλισίῃς &c.] Observat hîc *Dionysius Halicarnassensis* quàm singulari cum venustate res etiam tenuissimas et vulgatissimas depingat Poëta. Ἐςὶ δὴ παρ' Ὁμήρῳ μὶν ὁ παρὰ τῷ Συβώσῃ πατεγόμινος Ὀδυσσεὺς, περὶ τὴν ἐωθινὴν ἄραν ἀκρατίζεσθαι μέλλων, ὡς τοῖς Παλαιοῖς ἔθος ἦν· ἔπειτα ὁ Τηλέμαχος αὐτοῖς ἐπιφαινόμενος ἐκ τῆς ἐς Πιλοτίνησον ἀποδημίας. Πραγμάτια λιτὰ καὶ βιωτικὰ ἡρμηνευμένα ὑπέρειν. Πῦ δὲ ἐςὶν ἡ τῆς ἑρμηνείας ἀρετὴ, τὰ ποιήματα δηλώσει παρατιθέντα αὐτά· "Τὼ δ' αὖτ' ἐν κλισίῃς Ὀδυσεὺς καὶ θεῖος ὑφορβὸς Ἐντύνοντις ἄριςον ἅμ' "ἠοῖ, &c. Ταῦθ' ὅτι μὶν ἐπαγεται ἐ κηλεῖ τὰς ἀκοὰς, ποιημάτων τι καὶ τῶν πάνυ ἡδίςων ὑδίνος ἥττω μοῖραν ἔχει, πάντις ἂν οἶδ' ὅτι μαρτυρήσειαν. Περὶ συνθέσεως, § 3. Ita *Virgilius* (notante *Sylburgio* ad hunc *Dionysii* locum) agricolarum opera *per se et tenuia et penè immunda* pari cum elegantiâ et jucunditate depingit;

Sed tamen alternis facilis labor &c.
Georgic. I. 79.

Vide ad *Il.* ζ. 466.

Ibid. —— θεῖος ὑφορβὸς.] Apud *Dionysium*, loco jam citato, et apud *Athenaeum*, *lib.* I *cap.* 9. δῖος ὑφορβὸς, uti infrà *ver.* 20. Vide suprà ad ξ. 3.

Ver. 2. Ἐντύνοντ' ἄριςον ἅμ' ἠοῖ.] Ἄριςον, τὴν ἐωθινὴν τροφὴν, ἣν τινὲς ἀκρατισμὸν λέγουσιν. *Schol.* MSS. apud *Barnesium*. Ὅτι τροφαῖς χρῶντο ἥρωες παρ' Ὁμήρῳ, πρῶτον μὶν τῷ καλεμένῳ ἀκρατίσματι, ὃ λέγει ἄριςον, ἓ ἅπαξ μέμνηται ἐν Ὀδυσσείᾳ, "Ὀδυσεὺς ἐ δῖος ὑφορ-

Digitized by Google

Ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
Οὐδ' ὕλαον προσιόντα· νόησε δὲ δῖος Ὀδυσσεὺς
Σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖιν· 5
Αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος,
Ἢ καὶ γνώριμος ἄλλος· ἐπεὶ κύνες ἐχ' ὑλάουσιν,
Ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω. 10
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
Ἔστη ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσε συβώτης·
Ἐκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο,

Emiseruntque pastores cum congregatis suibus,
Telemachum verò circùm-adulabantur canes latratores,
Neque illatrabant advenienti: animadvertit autem nobilis Ulysses 5
Adulantes canes; circùmque sonus venit pedum:
Statim autem Eumæum verbis alatis allocutus est;
" Eumæe, certè omninò aliquis tibi veniet huc socius,
" Vel et notus alius; quoniam canes non latrant,
" Sed circùm-adulantur; pedum autem subtùs sonum audio." 10
Nondum totus dictus erat sermo, quum ei dilectus filius
Stetit in vestibulis: perculsus antem prosiliit subulcus;
Atque ex ejus manibus ceciderunt vasa, quibus utebatur,

" ὡς Ἐντύνοντ' ἄριστον, κεκαμένῳ κύρ." —— Λέγει δὲ τὸ κρεῖνον ἴμβρυμα, ἢ ἡμᾶς ἀκρωτηριασμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς. *Athenæus, lib.* I. *cap.* 9. Vide et *Plutarchum, Symposiac. lib.* VIII. *Probl.* 6. Porrò *Barnesius* Vulgatique hoc in loco habent, " Ἐντύνοντο ἄριστον ἅμ' ᾠοῖ" *Eustathius* autem in commentario, et *Athenæus*, loco jam adducto, legunt " Ἐντύνοντ' " ἄριστον" Quam lectionem Textui inserui, quia ἄριστον (hoc in sensu) primam producit. Vide ad *Iliad.* γ. 42. Cæterùm *Dionysius Halicarnassensis*, loco suprà citato, legit Ἐντύνοντες ἄριστον. Quod neque ad sententiam rectè se habet. De prosodiâ vocis Ἐντύνοντο, vide ad *Il.* ι. 203.

Ibid. —— κεκαμένῳ.] Apud *Eustathium* in commentario, κηκμένοι. Quod et ferri posset. Vide ad *Il.* α. 566.

Ver. 3. Ἔκπεμψαν τε.] *Al.* Ἐκτίμψαντι.

Ver. 4. —— περίσσαινον.] Ita edidit *Barnesius;* Eâdem scilicèt ratione ac dicitur ἐπισσείησιν, *Iliad.* δ. 167. et ὑποδδείσας, infrà *ver.* 425. *hujus libri:* Atque ita etiam in vulgatis scripta occurit ipsa vox περισσαίνοντες suprà κ'. 215. Cum *Barnesio* porrò facit et MS. unus à *Tho. Bentleio* collatus. *Vulgg.* hoc in loco, περίσσαινον.

Ibid. —— ὑλακόμωροι. Οὐδ' ὕλαον.] Ὅρα δὲ ὡς τὸ μὲν " ὑλακόμωροι" ἔκτεινε τὴν ἄρχουσαν, τὸ δὲ " ὕλαον," ᾗ τὸ " ὐχ ὑλάουσι" (infrà *ver.* 9.) συνέλλει αὐτῶν. *Eustath.* Cujus rei eadem videtur esse ratio ac in vocibus ἀδάνατος, Πηλαμίδης, et similibus. Vide ad *Il.* α. 398. item suprà ad ξ'. 29.

Ver. 6. —— περί τε κτύπος ἦλθε ποδοῖιν.] *Dionys. Halicarn.* loco suprà ad *ver.* 1. citato legit ὑπὸ δὲ κτύπος. Quam lectionem cum sequentibus ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω, *ver.* 10, meliùs congruere existimat *Sylburgius.* Præstare tamen videtur hoc in loco vulgata lectio.

Ver. 7. —— ἔπεα πτερόεντα προσηύδα.] Apud *Dionys. Halicarn. ibid.* προσεφώνει ἐγγὺς ἱόντα.

Ver. 10. —— περισσαίνουσι.] Vide suprà ad *ver.* 4.

Ver. 11. Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε.]

Vix ea fatus erat, cùm ——.
Æn. I. 586. II. 323. III. 90.

Cæterùm *Barnesius* inter Varias Lectiones retulit εἴρηται· quo modo minimè constaret Temporum ratio. Simile enim esset, ac siquis Anglicè diceret HE HAS SCARCE DONE SPEAKING; pro eo quod est, HE HAD SCARCE DONE SPEAKING. Vide ad *Il.* α. 37. et δ'. 492.

Ver. 13. —— ἄρα.] *Ut fieri solet re inopinatâ perculsis* ——.

Digitized by Google

Κρηνὰς αἴθοπα οἶνον· ὁ δ' ἀντίος ἤλυθ' ἄναικτος·
Κύσσε δέ μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλὰ, 15
Χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
Ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάζει,
Ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ,
Μῆνον, τηλύγετον, τῷ ἐπ' ἄλγεα πολλὰ μογήσῃ·
Ὡς τότε Τηλέμαχον θεοειδέα δῖος ὑφορβὸς 20
Πάντα κύσεν περιφὺς, ὡς ἐκ θανάτοιο φυγόντα·
Καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος· ἤ σ' ἔτ' ἔγωγε
Ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε·

Miscens generosum vinum: ipse verò obvius ivit heroi;
Osculatusque est ipsi caputque et ambo lumina pulchra, 15
Manusque ambas: uber autem ei excidit lachryma.
Sicut verò pater suum filium benè volens amplectitur,
Reversum ex longinquâ terrâ decimo anno,
Unicum, in-senectute-genitum, ob quem doloces multos passus sit:
Sic tunc Telemachum deo-parem nobilis subulcus 20
Totum osculatus est circumplexus, tanquam ex morte elapsum:
Et lugens verbis alatis allocutus est;
" Venisti, Telemache, dulce lumen; non te ampliùs ego
" Me visurum putabam, postquam ivisti navi ad Pylum:

Ver. 14. —— ἀντίος ἤλυθ' ἄνακ[τος.] Apud *Dionys. Harlisarn.* ἀντίος ἤλθεν ἄναικτος. *Al.* ἀντίον ἤλυθ' ἄναικτος. *Al.* ἀντίος ἵδρυμ' ἄνακτος. Quam postremam lectionem et præfert *Barnesius*, quòd " *servi fidissimi alacri-* " *tatem melius notet.*"

Ver. 15. Κύσσε δὲ μιν κεφαλὴν τε καὶ ἄμφω φάεα καλὰ.] Sic apud *Catullum;*

Jucundum os oculosque suaviabor.
Epigr. IX. *ver.* 9.

Porrò *Eustathius* in commentario hîc legit κύσε· et MS. à *Tho. Bentleio* collatus habet κύσε· Sed, ut opinor, minùs rectè. Vide infrà ad ρ'. 39.

Ver. 16. —— θαλερὸν δὲ οἱ ἔκπεσε δάκρυ. *Al.* θαλερὸν κατὰ δάκρυον εἴδων. Ut suprà λ'. 399.

Ver. 17. —— φιλὰ φρονέων.] Ita ex *Schol.* MSS. et ex Editionibus compluribus edidit *Barnesius;* quocum faciunt *Eustathius* et MS. à *Tho. Bentleio* collatus. Atque ita in omnibus legitur, *Iliad.* ϑ'. 219. ι'. 116. *Odyss.* ζ'. 313. ϕ'. 15. 42. 75. *Henricus Stephanus* autem aliique hîc habent φιλοφρονέων· quæ vox alibi apud Poëtam non occurrit.

Ibid. —— ἀγαπάζει.] *Al.* ἀγαπάζῃ.

Ver. 18. Ἐλθόντ'.] *Al.* Ἐλθὼν.

Ibid. —— ἐξ ἀπίης γαίης.] *Etymologicon Magnum* exponit; Ἀπὸ τῆς Πελοποννήσου· τὸ γὰρ παλαιὸν ἐκαλεῖτο Αἰγιάλεια ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰούχου τοῦ ἐν Ἄργει ποταμοῦ, καὶ Μαλείης τῆς Ὠκεανοῦ ὕστερον δὲ πάλιν Ἀστία ἐκλήθη ἀπὸ Ἀστίδος τῆς Φορωνέως παιδὸς. *Hesychius* autem vocem ἀπίης interpretatur, τῆς μακρὰν ἀπεχούσης. Quod et huic loco (notante *Duporto* in *Gnomologiâ*) aptiùs convenit.

Ver. 19. Μῆνον, τηλύγετον.] Καὶ Ὅμηρος ἀγαπητὸν υἱὸν ὀνομάζει " Μῆνον, τηλύγετον," τυτίστι μὴ ἔχοντα ἕτερον γονεῦσι, μήτι ἔχουσι γεγεννημένον. *Plutarch* περὶ πολυφιλίας.

Ibid. —— τῷ ἐπ' ἄλγεα πολλὰ μογήσῃ.] *Eustathius* interpretatur, παῖδα παιδευομένον· Τοῦτος γὰρ (inquit) παῖς ἐφ' ᾧ πολλὰ μογήσει πατήρ. Sed simpliciùs, ut opinor, et ad vocis ἄλγεα significationem rectiùs exponas, *filium de quo pater perpetuâ solicitudine maximisque animi angoribus affectus fuerat.*

Ibid. —— μογήσῃ.] *Al.* μογήσει.

Ver. 21. —— ὡς ἐκ θανάτοιο φυγόντα.] *Spondanus* istud ἐκ θανάτοιο, de Procorum insidiis, quas jam tum evaserat *Telemachus*, dictum intelligit. Verùm, ut opinor, non de hoc præcipuè jam loquitur Poëta, sed in universum de inopinato Telemachi in Ithaçam reditu, quem desperabat *Eumaeus.* Atque ita ipse *Eumaeus, ver.* 23.

—— ἐ σ' ἔτ' ἔγωγε
Ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε.

Ver. 23. —— ἐ σ' ἔτ' ἔγωγε.] Ita *Barnesius.* *Vulgg.* ἐ σε τ' ἔγωγε. *Eustathius* in commentario, ἐ σε ἔγωγε.

Digitized by Google

Ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ 25
Τέρψομαι εἰσορόων νέον ἄλλοθεν ἔνδον ἐόντα.
Οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι, οὐδὲ νομῆας,
Ἀλλ' ἐπιδημεύεις· ὣς γὰρ νύ τοι εὔαδε θυμῷ,
Ἀνδρῶν μνηστήρων προσορᾶν αἴδηλον ὅμιλον.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 30
Ἔσσεται ἔτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
Ὄφρα σέ τ' ὀφθαλμοῖσιν ἴδω, καὶ μῦθον ἀκέσω,
Εἴ μοι ἔτ' ἐν μεγάροις μήτηρ μένει, ἠέ τις ἤδη
Ἀνδρῶν ἄλλος ἔγημεν· Ὀδυσσῆος δέ κε εὐνὴ

" Sed age, nunc ingredere, dilecte fili, ut te animo 25
" Delecter inspiciens recèns aliundè-intùs existentem.
" Nequaquam enim frequentèr agrum adis, neque pastores;
" Sed in-urbe-manes: sic enim tibi placet animo,
" Virorum procorum aspicere perniciosum cœtum."
Hunc autem rursùs Telemachus prudens contra allocutus est; 30
" Erit sic, pater: tuî enim causâ huc venio,
" Ut teque videam oculis, et sermonem audiam,
" An mihi adhuc in ædibus mater maneat: an aliquis jam
" Virorum alius *eam* duxerit-uxorem; Ulyssis autem alicubi cubile

Ver. 25. —— ὄφρα σε θυμῷ Τέρψομαι εἰσορόων.] " *Ut te ipse animo oblectem, te in-* " *tuens.*" Hæc videlicèt primaria et maximè propria Vocis Mediæ significatio. Vide suprà ad ἰ. 491. et ἰ. 296.

Ver. 28. —— ἐπιδημεύεις] Ἐν τῇ πόλει διατελεῖς, ἢ διατρίβεις. *Schol.*

Ver. 29. — προσορᾶν.] MS. à *Tho. Bentleio* collatus, ἰσορᾶν. Quæ et verior fortassè lectio. Nam infrà ψ. 303. ubi idem ferè versus occurrit, in omnibus legitur ἰσορῶσ'.

Ἀνδρῶν μνηστήρων ἰσορῶσ' αἴδηλον ὅμιλον.

Ibid. —— αἴδηλον ὅμιλον.] Τὸν ἀδηλοποιὸν καὶ πάντα φθείροντα· ἢ τὸν τῷ φθαρῆναι καὶ ἀπολέσθαι αἴτιον. *Schol.* Similitér *Porphyrius* de *Iliad.* λ'. 155. [" Ὡς δ' ὅτι πῦρ αἴδηλον ἐν ἀξύλῳ ἰμπέσῃ ὕλῃ."] Αἴδηλον δὲ πῦρ (inquit) οὐ ἐπὶ τὸ μεγαλοδήλων, ἀλλὰ τὸ ἀδηλοποιὸν, ἐξ οὗ σημαίνει τὸ ἀφανιστικὸν. *Quæst. Homeric.* 26. Simpliciùs tamen et rectiùs (ut opinor) vocem αἴδηλον interpretêris *improbum, iniquum, perniciosum:* Ita enim à Poëtâ usurpari videtur *Iliad.* ἰ. 880.

—— ἐπεὶ αὐτὸς ἰγείνατο παῖδ' αἴδηλον.

Et *ver.* 897. *ejusdem libri;*

Εἰ δέ τιν' ἐξ ἄλλου γε θεῶν γίνοιτο ὁ αἴδηλος.

Ver. 31. Ἔσσεται ἔτως, ἄττα.] *Barnesius* vocem ἄττα, ac si *Hebraica* esset, " *Tu*" vertendam contendit. At rectiùs *Scholiastes;* Ἐπίφθεγμα τιμητικὸν νεωτέρου πρὸς παλαιότερον. Et *Hesychius;* Ἄττα, προσφώνησις φιλοφρονητικὴ νέου πρὸς πρεσβύτερον καὶ τροφέα, ὡς πάππα πρὸς τὸν πατέρα. Sic *Iliad.* ἰ. 603. et ρ'. 561.

Φοῖνιξ, ἄττα, γεραιὲ ——.

Cæterùm quod addit *Scholiastes*, εἴρηται παρὰ τὸ ἄττα κατὰ Μακεδόνας, τροπῇ γινομένῃ τοῦ " π" εἰς " τ", ἄττα· id verò non ita firmo niti videtur fundamento.

Ver. 34. —— ἔγημεν.] Vide suprà ad λ'. 272.

Ibid. —— Ὀδυσσῆος δὲ κε εὐνὴ Κεῖται ἰωνοείδεα πάν' ἀράχνια κεῖται ἔχουσα.] Στερομένη τῶν ἐγκοιμωμένων, γέμει ἀραχνίων· ἤγουν ἠμέληται διὰ τὸ μὴ εἶναι τὸν Ὀδυσσέα· ἐκόσμουν γὰρ οἱ ἀράχναι ἐσυργῶν ἐν τόποις ἀμελουμένοις. *Eustath.* Sic *Hesiodus;*

Ἐκ δ' ἀγγείων ἐλάσειας ἀράχνια ——.
Ἔργ. καὶ Ἡμερ. II. 93.

Et *Theocritus;*

—— ἀράχνια δ' ὡς ὅπλ' ἀράχναι
Αἰεὶ τὰ διατήσαιντο ——. *Idyll.* XVI. 96.

Et *Nonnus Dionysius;*

—— ἔπεισε δὲ τηλόθι χάρμης
—— ἐξαίτηρος ἀραχνιόωσα βοείη.
Lib. XXXVIII. *ver.* 13.

Et *Propertius;*

Putris et in vacuo texetur aranea lecto.
Lib. III. *Eleg.* vi. *ver.* 33.

Et *Catullus;*

—— nam tui Catulli
Plenus sacculus est aranearum.
Ad Fabullum, Carm. XIII. *vers.* 7.

Digitized by Google

Κήτεϊ ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα. 35
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Καὶ λίην κείνῃ γε μένει τετληότι θυμῷ
Σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Ὣς ἄρα φωνήσας, οἱ ἐδέξατο χάλκεον ἔγχος· 40
Αὐτὰρ ὅγ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον οὐδόν.
Τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς·
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε, φώνησέν τε·
Ἧσ', ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
Σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνὴρ, ὃς καταθήσει. 45
Ὣς φάθ'· ὁ δ' αὖθις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
Χεῦεν ὕπο χλωρὰς ῥῶπας, καὶ κῶας ὕπερθεν·
Ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
Τοῖσιν δὲ κρειῶν πίνακας παρέθηκε συβώτης
Ὀπταλέων, ἃ ῥ' τῇ προτέρῃ ὑπέλειπον ἔδοντες· 50
Σῖτον δ' ἐσσυμένως παρενήνεεν ἐν κανέοισιν,

" Inopiâ stragularum malas araneas jaceat habens." 35
Hunc autem rursùs allocutus est subulcus, princeps virorum;
" Et omninò illa manet patienti animo
" Tuis in ædibus: luctuosæ verò ei semper
" Pereunt noctesque et dies lachrymas-fundenti."
Sic utique locutus, ei accepit æream lanceam: 40
At ille introïbat, et transivit lapideum limen.
Ei autem sedem ingresso pater cessit Ulysses:
Telemachus verò ex-alterâ-parte prohibebat, dixitque;
" Sede, ô hospes; nos autem et alibi inveniemus sedem
" Tugurio in nostro: adest nempè vir, qui deponet." 45
Sic dixit: ille autem retrò-gressus proindè sedebat: huic autem subulcus
Substravit viridia virgulta, et pellem insuper;
Ubi sedebat deindè Ulyssis dilectus filius.
Illis autem carnium lances apposuit subulcus
Assarum, quas scilicèt priori-*die* reliquerant comedentes; 50
Panem autem festinantèr accumulabat in canistris;

Ver. 35. Κήτει ἐνευναίων.] Τῶν εὐνησομένων, ἢ ἐν τοῖς κοιμησομένοις· ἢ τῶν περιβολαίων. *Schol.* Pro posteriori interpretatione nonnihil facit quod occurrit suprà ζ. 50. 51.

Ἑστίασιν δ' ἐπὶ δέμας ἰοειδέος ἀγείω αἰγὸς
Αὐτῇ ἐνεύναιον ——————.

Cæterùm fuerunt, notante *Eustathio*, qui hic legerint Κήτει ἐνευναίῳ.

Ver. 37. —— τετληότι.] Vide ad *Il.* β'. 818.

Ver. 39. Φθίνουσιν νύκτες &c.] Vide ad *Il.* β'. 43. Porrò Editiones nonnullæ, quibuscum facit in commentario *Eustathius*, hîc habent Φθινύθουσιν νύκτες &c. Id quod vix nullâ potest licentiâ excusari.

Ver. 44. Ἧσ', ὦ ξεῖν'.] *Al.* Ἧσο, ξεῖν'.

Ver. 45. —— πάρα δ' ἀνὴρ.] *Eumaeus* videlicèt; *ver.* 46.

Ver. 46. —— αὖθις.] *Al.* αὖτις.

Ibid. —— ἄρ'.] *Ut jusserat Telemachus* ——.

Ver. 49. Τοῖσιν δὲ κρειῶν πίνακας.] *Al.* Τοῖσιν δ' αὖ κρειῶν πίνακας. *Al.* Τοῖσιν δ' αὖ πίνακας κρειῶν.

Ver. 50. —— ὑπέλειπον.] *Al.* κατέλειπον.

Ver. 51. Σῖτον δ' ἐσσυμένως παρενήνεεν ἐν κανέοισιν.]

—————— Cereremque canistris
Expediunt ——————.
Æn. I. 701

Digitized by Google

Ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
Αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, 55
Δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
Ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; πῶς δέ ἑ ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί ἑ πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 60
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω·
Ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων·
Φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
Πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τάγε δαίμων.
Νῦν δ' αὖ Θεσπρωτῶν ἀνδρῶν ἐκ νηὸς ἀποδρὰς 65
Ἦλυθ' ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ οἱ ἐγγυαλίξω·
Ἔρξον, ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Εὔμαι', ἦ μάλα τῆτο ἔπος θυμαλγὲς ἔειπες·
Πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ; 70

Deindeque in poculo miscebat dulce vinum:
Ipse verò è-regione sedit Ulyssis divini.
Hi autem ad cibos paratos appositos manus porrigebant.
At postquam potûs et cibi desiderium exemissent, 55
Tunc demùm Telemachus allocutus est nobilem subulcum:
" Pater, undè tibi hospes hic venit? quomodo autem ipsum nautæ
" Duxerunt in Ithacam? quinam se esse gloriabantur?
" Nequaquam enim ipsum peditem puto huc venisse.
Hunc autem respondens allocutus es, Eumæe subulce; 60
" Equidem tibi, fili, vera omnia dicam:
" Ex Cretâ quidem genus gloriatur latâ:
" Dicit autem *se* multas hominum urbes peragrâsse
" Errantem; sic enim ei destinavit hæc deus.
" Nunc autem demùm Thesprotorum virorum ex nave elapsus 65
" Venit meum ad stabulum: ego verò tibi in manus-*eum* tradam:
" Fac, quomodò vis; supplicem autem tibi *se* profitetur esse."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" Eumæe, certè valdè hoc verbum triste dixisti:
" Quomodo enim jam hospitem ego suscipiam domi? 70

Ver. 57. Ἄττα.] Vide suprà ad *ver.* 31.

Ver. 58. —— εὐχετόωντο.] *Al.* εὐχετόωνται. Quod cum præcedente Ἤγαγον minùs aptè convenit.

Ver. 59. Οὐ μὲν γάρ τι ἑ πεζὸν.] Similitèrque infrà *ver.* 224. Vide suprà ad *ἀ.* 173.

Ver. 62. Ἐκ μὲν Κρητάων.] Vide suprà ad *ξ.* 199.

Ver. 64. —— ὣς γὰρ οἱ ἐπέκλωσεν τάγε δαίμων.]

—————— sic fata Deûm rex
Sortitur ——————. *Æn.* III. 375.

—— nam sæva Jovis sic numina poscunt.
Kl. 801.

Ver. 65. —— ἐκ νηός.[*Al.* παρὰ νηός.

Ver. 66. —— πρὸς σταθμὸν.] *Al.* παρὰ σταθμὸν.

Ver. 67. —— ἰθίλως.] *Al.* ἰθίλος.

Ver. 69. —— ἔειπες.] *Al.* ἔειπας. Ut alibi sæpè.

Digitized by Google

Αὐτὸς μὲν νέος εἰμὶ, καὶ οὔπω χερσὶ πέποιθα
Ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
Μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
Ἢ αὐτῆ παρ' ἐμοί τε μένῃ, καὶ δῶμα πομίζῃ,
Εὐνήν τ' αἰδομένη κόσιος, δήμοιό τε φῆμιν, 75
Ἢ ἤδη ἅμ' ἕπηται Ἀχαιῶν, ὅς τις ἄριστος
Μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ, καὶ πλεῖστα πόρησιν.
Ἀλλ' ἤτοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
Ἔσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλὰ·
Δώσω δὲ ξίφος ἄμφηκες, καὶ ποσσὶ πέδιλα, 80
Πέμψω δ', ὅππῃ μιν κραδίη θυμός τε κελεύει.
Εἰ δ' ἐθέλεις σὺ, κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
Εἵματα δ' ἐνθάδ' ἐγὼ πέμψω, καὶ σῖτον ἅπαντα,
Ἕδμεναι, ὡς ἂν μή σε κατατρύχῃ καὶ ἑταίρους.

"Ipse quidem juvenis sum, et nondum manibus confidi
"Virum propulsare, quandò quis prior lacessiverit.
"Matri autem meæ bifariàm animus in mente cogitat,
"An illic apud me maneat, et domum curet,
"Torumque reverens mariti, populique famam; 75
"An jam unà sequatur Achivorum *eum*, quicunque optimus
"Ambit *eam* in ædibus vir, et plurima dederit.
"Sed sanè hospitem, quoniam tuam advenit domum,
"Induam ipsum lænâque tunicâque, vestimentis pulchris;
"Dabo etiam ensem ancipitem, et pedibus calceamenta; 80
"Mittamque, quò ipsum cor animusque jubet.
"Sin velis tu, curato *eum* in stabulis detentum:
"Vestimenta autem huc ego mittam, et cibum omnigenum,
"Ad-edendum, ut nè te atterat et socios.

Ver. 73. Μητρὶ δ' ἐμῇ δίχα θυμὸς &c.] Repugnare hæc existimat *Spondanus* iis quæ suprà memorantur *Odyss.* ὁ. 16. Ἤδη γὰρ βέ τοιόνδε τε κεκίγνητοι τε κέλονται Εὐρυμάχῳ γήμασθαι &c. "Hæc verba Telemachi (in-"quit) aut oblivionem illius aut ἀπιστίαν "indicant. Oblivionem quidem, quòd non "recordetur eorum quæ à Minervâ apud "Menelaum audivit de rato jam consilio "Penelopæ alicui ex procis nubendi: 'A-"πιστίαν verò, quia id in dubium revocat, "neque de ejus veritate quippiam statuit: "Ait enim dubitare adhuc Penelopen quid "factura sit. Ego sanè, ut ingenuè di-"cam, hanc ἀνοησίαν in hâc parte excu-"sare hactenùs non possum." Ita vir eruditus: Sed reverà nulla omninò hîc ἀνοησία. Non enim nuptias suas cum *Eurymacho* ipsa statuisse ibi dicitur *Penelope*; sed à Consanguineis tantùm ad nuptias conficiendas urgeri: Id quod huic loco minimè repugnat.

Ver. 74. —— πομίζῃ.] *Al.* πομίζοι.

Ver. 80. —— ξίφος ἄμφηκες.] Sic apud *Virgilium*:

Sed *ferro ancipiti* ——. *Æn.* VII. 525.

Ver. 82. —— κόμισσον.] Ita edidit *Barnesius*; atque ita habet MS. unus à *Tho. Bentleio* collatus. Rectè, ut opinor. *Al.* κόμιζον et κόμισον.

Ver. 83. —— ἢ σῖτον ἅπαντα.] Ἐν δὲ τῷ, "ἢ σιτον ἅπαντα," δυσχερὲς ἀρσενικῷ γένει νοῆσαι τὴν λέξιν σιτος μὲν γὰρ, ὁ ἀκατέργαστος· ἐπὶ δὲ βρώματος, εὐδιτέρως τὸ σιτον λέγεται. Ἐστὶν οὖν ἴσως διεφωνία, ἢ τὸ εἰπεῖν, εἴδματα ἅπαντα πέμψω, καὶ τὸ σιτον· ἢ καὶ τὸ σίτεμι εἰς τὸ σιτον, εἶτα ἐκφαγεῖν τὸ "ἅπαντα" εὐδιτέρως, ὡς ἐπὶ ὄψων. *Eustath.* Atqui vocem σῖτον, etiam posteriori in sensu, genere *masculino* effert Poëta infrà σ'. 61.

Αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἤγον ——.

Et χ'. 21.

Σῖτος τε κρέα τ' ὀπτὰ φορύνεσκε ——.

Ver. 84. —— κατατρύχῃ.] *Al.* κα[α]τρύχοι.

Κεῖσε δ' ἂν οὔ μιν ἔγωγε μετὰ μνηστῆρας ἐῴμι 85
Ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι,
Μή μίν κερτομέωσιν, ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
Πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
Ἄνδρα καὶ ἴφθιμον· ἐπεὶ πολὺ φέρτεροι εἰσί.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς· 90
Ὦ φίλ', ἐπεὶ δήν μοι καὶ ἀμείψασθαι θέμις ἐστίν,
Ἦ μάλα μευ καταδάπτετ' ἀκούοντος φίλον ἦτορ,
Οἷα φατὲ μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
Ἐν μεγάροις, ἀέκητι σέθεν τοιούτου ἐόντος.
Εἰπέ μοι, ἠὲ ἑκὼν ὑποδάμνασαι, ἤ σέ γε λαοὶ 95
Ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ·
Ἦ τι κασιγνήτοις ἐπιμέμφεαι· οἷσί περ ἀνὴρ
Μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.

" Illuc verò haud ipsum ego ad procos sivero 85
" Ire; valdè enim petulantem insolentiam habent:
" Nè ipsum convitiis-proscindant; mihi autem dolor erit gravis.
" Efficere autem difficile quid inter plures existentem,
" Virum etiam fortem: quoniam multò potentiores sunt."
Illum autem rursùs allocutus est patiens nobilis Ulysses: 90
" O amice, quoniam sanè mihi etiam respondere fas est,
" Certè valdè meum corroditur audientis dilectum cor,
" Qualia dicitis procos injusta moliri
" In ædibus, invito te, talis cùm-sis.
" Dic mihi, an sponte succumbas; an te populus 95
" Oderit in civitate, obsequentes dei voci:
" An de-fratribus queraris; quibus scilicèt vir
" Pugnantibus confidit, etiam si magna contentio orta-sit.

Ver. 85. —— ἰῶμι.] *Al.* ἰάσω.

Ver. 88. Πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα Ἄνδρα ἠ ἴφθιμον.]

—— μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.
Euripid. Heraclid. ver. 275.

Οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος.
Sophocl. Oedip. Tyrann. ver. 855.

—— χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλοὺς.
Infrà, *Odyss. υ.* 313.

Ver. 91. —— ἐπὲι θὴν.] *Al.* ἐπὲι δὴ.

Ver. 92. —— καταδάπτετ' ἀκούοντος φίλον ἦτορ.] Nempè καταδάπτεται· ut rectè *Scholiastes* et *Eustathius*. *Barnesius* legi posse conjicit " καταδάπτετ' pro καταδάπτεται, ut " ἦτορ sit *Accusativus*." Sed nihil opus.

Ver. 96. —— ἐπιπτόμενοι θεῷ ὀμφῇ.] Τοῖσι χρεσμῷ· πολλάκις γὰρ, φασὶ, μεθίεσαν τὸν βασιλέα, μαντείας ἐπιγιγνομένης. *Eustath.* ad *Odyss.* ψ. 215. *Spondanus* aliam hîc affert explicationem; scilicèt ut intelligatur " de rumore mortui Ulyssis; quo audito " subditi hæredem illius Telemachum " tanti non fecerint, ut ei auxiliarentur." Sed ut opinor, minùs rectè.

Ver. 97. Ἦ τι κασιγνήτοις ἐπιμέμφεαι.] Ἤγων χρήζεις ἀδελφῶν, ὡς μὴ ὄντων σοι δηλαδὴ· ἵνα λίγη ὅτι, Ἦ ὑπ ἐσὶ σοι ἀδελφοὶ; Καὶ ἄλλως δὲ δύναται ἠ ἐπὶ ἀδελφῶν ὄντων ἐρωτηθῆναι τὸ, " Ἦ κασιγνήτοις ἐπιμέμφεαι;" ἵνα λίγῃ ὅτι, Ἦ ἀδελφὺς ἔχων, ἐπιμέμφῃ αὐτοῖς, ὡς μὴ ἐπικουρῶσί σοι; *Eustath.* Priorem explicandi rationem sequitur *Scholiastes*; posteriorem præfert *Eustathius*; quæ et potior videtur. Eandem enim phrasin repetit *Telemachus* infrà *ver.* 115. ubi ex sequentibus, " Ὧδε γὰρ ἡμιτέρην γενεὴν μάνισσι θ'. liquet priori istâ ratione accipi nullo modo posse. Πῶς γὰρ (inquit *Eustathius* ad illum locum) ἂν τοῦτο ["Οὔτι κασιγνήτοις ἐπιμέμφομαι"] εἴπει ὁ χρήζων μάλιστα κασιγνήτων διὰ τὸ μεμνῶσθαι; Quin et, ut rectè observat idem *Eustathius*, secundum istam explicationem dicendum erat non, κασιγνήτοις, sed κασιγνήτων ἐπιμέμφεαι. Vide ad *Il. α.* 65. 93. *et* β'. 225.

Ver. 98. —— ὄρηται.] *Al.* ὀρώρῃ.

Digitized by Google

Αἴ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷδ' ἐνὶ θυμῷ,
Ἢ πάϊς ἐξ Ὀδυσῆος ἀμύμονος, ἠὲ καὶ αὐτὸς 100
Ἔλθοι ἀλητεύων· (ἔτι γὰρ καὶ ἐλπίδος αἶσα·)
Αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
Εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
Ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Εἰ δ' αὖ με πληθύϊ δαμασαίατο μῆνον ἐόντα, 105
Βελοίμην κ' ἐν ἐμοῖσι κατακτάμενος μεγάροισι
Τεθνάμεν, ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
Ξείνους τε στυφελιζομένους, δμωάς τε γυναῖκας
Ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά·
Καὶ οἶνον διαφυσσόμενον, καὶ σῖτον ἔδοντας 110
Μάψ, αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ἔργῳ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω·

" Utinam enim ego sic juvenis essem hoc cum animo,
" Vel filius ex Ulysse eximio, vel etiam ipse 100
" Venerit errans; (adhuc enim et spei copia *est*:)
" Illicò deindè mihi caput abscinderet alienus vir,
" Si non ego illis malum omnibus fierem,
" Profectus in domum Laërtiadæ Ulyssis.
" Sin contrà me multitudine domarent solum existentem, 105
" Mallem in meis interfectus ædibus
" Mori, quàm hæc semper indigna opera videre,
" Hospitesque male tractatos, famulasque mulieres
" *Illos* violantes indignè in ædibus pulchris;
" Et vinum exhaustum, et cibum comedentes 110
" Temerè, incassùm, in-infinitum, incompleto in opere."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" Equidem tibi, hospes, valdè accuratè dicam;

Ver. 99. —— οὕτω νέος εἴην τῷδ' ἐνὶ θυμῷ.] Ἤγουν πάζοιμι κατὰ σὶ, ἔχων ὃν ἔχω θυμὸν. *Eustath.* *Al.* τῷ δ' ἐπὶ θυμῷ.

Ver. 100. —— ἠὲ καὶ αὐτὸς.] *Eustathius* versum huic proximè sequentem à Veterum nonnullis pro spurio notatum refert; Eundemque ipse rectiùs abesse existimat; scilicèt ut vox αὐτὸς, eodem modo ac πάϊς, ad præcedentem εἴην referatur. Ὅρα δὲ (inquit) ὡς ἐν ἐυχῆς τύπῳ ἀπὼν εἴθε εἴην Ὀδυσσεὺς, ὡς ἂν ποιήσαιμι τὰ ᾧ τὰ, λαλεῖ ἐν σχήματι ἀλλοτρίῳ ἀμφαντικῶς ἄπιε ἐν τοῖς ἑξῆς ποιήσει αὐτός. —— Καὶ ὅμως ἠχρείωσαν τὸ σχῆμα τοῦτο τινὲς, παρεμβαλόντες μετὰ τὸ "ἠὲ καὶ αὐτὸς," τὸ "Ἔλθοι ἀλητεύων, ἔτι γὰρ ᾧ ἐλπίδος αἶσα." Τοῦ γὰρ τοιούτου σχεδὸν παρεντεθέντος ἐγκόπτεται ὁ εἱρμὸς τῆς εὐφυοῦς ἐμφάσεως. Διὸ καλῶς οἱ Παλαιοὶ ἐπισήσαντες ἐνόθευσαν τὸν στίχον ἐξελόντες. Ac omisso quidem isto versu aptiùs cohærebunt sequentia Αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τμῆς. Porrò cùm similis versiculus occurrat infrà σ'. 84.

Ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ ἐλπίδος αἶσα· ubi ad sententiam planè necessarius est; verisimile videtur cum indè à minùs peritis huc levi cum immutatione translatum.

Ver. 102. —— ἀπ' ἐμεῖο κάρη τάμοι.] Non, κάρη τάμοι ἀπ' ἐμεῖο· sed κάρη ἐμεῖο ἀποτάμοι.

Ver. 105. —— πληθύϊ δαμασαίατο.] Pronuntiabatur πληθῦ, sive πληθυῦ duabus syllabis.

Ver. 106. —— κ' ἐν.] *Al.* κεν· minùs rectè.

Ver. 110. Καὶ οἶνον διαφυσσόμενον.] Vide suprà ad δ'. 359. Porrò cùm voces ἀφυσσόμενος et ἀφυσσάμενος semper alibi apud Poëtam sensu *activo* usurpantur; (Vide ad *Il.* κ'. 579. π'. 230. ψ'. 220.) legendum hìc credidérim διαφυσσομένους· quod, et cum præcedente Ῥυστάζοντες, et cum sequente ἔδοντας, multò aptiùs congruet. Sed expectandi codices.

Digitized by Google

Οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
Οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ 115
Μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται·
Ὧδε γὰρ ἡμετέρην γενεὴν μάνωσε Κρονίων·
Μῶνον Λαέρτην Ἀρκεείσιος υἱὸν ἔτικτε,
Μῶνον δ' αὖ Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
Μῶνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν, οὐδ' ἀπόνητο· 120
Τῷ νῦν δυσμενέες μάλα μυρίοι εἰσ' ἐνὶ οἴκῳ.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑληέντι Ζακύνθῳ,
Ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσιν,
Τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον. 125

" Neque omninò mihi omnis populus invisus irascitur,
" Neque de-fratribus queror; quibus scilicèt vir 115
" Pugnantibus confidit, etiam si magna contentio orta-sit:
" Ita enim nostrum genus solitarium:-fecit Jupiter;
" Solum Laërtem Arcesius filium genuit;
" Solum autem rursùs Ulyssem pater genuit: at Ulysses
" Solum me in ædibus genitum liquit, neque fruitus est: 120
" Ideò nunc inimici valdè multi sunt in domo.
" Quotquot enim insulis dominantur optimi,
" Dulichioque, Samæque, et nemorosæ Zacyntho:
" Et quot in asperâ Ithacâ dominantur,
" Tot matrem meam ambiunt, atteruntque domum. 125

Ver. 114. —— ἀπεχθόμενος χαλεπαίνει.] *Barnesius* vocem ἀπεχθόμενος hîc reddit, "*odio habens:*" Alii vertunt "*iratus,*" et "*infensus:*" cui interpretationi favet quidem quod occurrit suprà *ver.* 95. 96. ubi *Ulysses Telemachum* interrogat, "—— ἦ σέ γ' "λαοὶ Ἐχθαίρουσ' ἀνὰ δῆμον ——;" Verùm cùm voces ἀπεχθόμενος, ἀπεχθέσθαι, &c. nusquam apud Poëtam isto sensu usurpantur, sed semper passivè "*odio habitus, odio* "*haberi,*" significant; etiam hîc ἀπεχθόμενος "*invisus:*" reddidi. Vide *Iliad.* φ'. 83. *Odyss.* κ'. 74. 75. σ'. 164.

Ver. 115. Οὔτε κασιγνήτοις ἐπιμέμφομαι.] Vide suprà ad *ver.* 97.

Ver. 116. —— ὄρηται.] *Al.* ὀρώρη. Ut suprà *ver.* 98.

Ver. 117. —— ἡμετέρην γενεὴν μάνωσε Κρονίων.] Χρηστὸ δὲ ᾗ δίκαιοι παῖδες ἢ μόνον διὰ τὴν γονεῖς ἀγαπήσουσι μᾶλλον ἀλλήλους, ἀλλὰ ᾗ τὰς γονεῖς δ' ἀλλήλους· ἅτινα ἀεὶ ᾗ φρονοῦντες ᾗ λίγοντες, ὅτι τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάριν ὀφείλοντες, μάλιστα διὰ τὰς ἀδελφὰς ὀφείλουσιν· ὡς τοῦτο δὴ κτήματων ἁπάντων τιμιώτατον καὶ ἥδιστον ἔχοντες παρ' αὐτῶν. Εὖ γε τοι ᾗ Ὅμηρος πεποίηκε Τηλέμαχον ἐν συμφορᾷ τὸ ἀνάδελφον τιθέμενον, "Ὧδε γὰρ ἡμετέρην γενεὴν "μάνωσε Κρονίων." *Plutarch. de Fraterno amore.*

Ver. 119. — αὖ Ὀδυσῆα.] *Al.* αὖτ' Ὀδυσῆα.

Ver. 120. —— οὐδ' ἀπόνητο.] Τουτέστιν οὐδὲν ἐξ ἐμοῦ ὠφελήθη. *Eustath.*

Ver. 121. Τῷ νῦν δυσμενέες μάλα μυρίοι.] Ita restituit *Barnesius* ex *Eustathii* Editione *Basileensi*, et ex ipsius commentario, ubi hoc modo explicatur; Διὰ, φησὶ, διὰ τὴν τοιαύτην μόνωσιν, δυσμενέες μάλα μυρίοι ἐσὶν ἐν οἴκῳ. Cum *Barnesio* porrò facit MS. à *Tho. Bentleio* collatus. *Vulgg.* Τῶν νῦν δυσμενέες &c.

Ibid. et *ver.* 127. —— μάλα μυρίοι εἰσ' ἐνὶ οἴκῳ —— τοὶ δὲ φθινύθουσιν &c.]

Ὡς δ' ὅτ' ἀφραινοῖο μετ' ἠιθέοιο μέλαιφρον
Οὔτι σαοφροσύνησι μεμηλόσιν ἥλικες ἄλλοι
Κλῆσιν τ' αὐτόμολοι τε σαωήμασι ἠγερέθοντο,
Κτῆσιν ἐὰ κείροντες ἀσημάντοιο δόμοιο.
Oppian. Halieutic. lib. III. *ver.* 358.

Ver. 122. Ὅσσοι γὰρ νήσοισιν &c.] Imitatus est hunc locum *Ovidius* in Epistolâ *Penelopes* ad *Ulyssem:*

Dulichii, Samiique, et quos tulit alta Zacynthos,
Turba ruunt in me luxuriosa, proci;
Inque tuâ regnant, nullis prohibentibus, aulâ. *Heroid.* I. 87.

Ver. 124. —— κατακοιρανέουσιν.] *Al.* κατὰ κοιρανέουσιν.

Digitized by Google

Ἦ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
Οἶκον ἐμόν· τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
Ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ 130
Εἴφ', ὅτι οἱ σῶς εἰμὶ, καὶ ἐκ Πύλου εἰλήλουθα.
Αὐτὰρ ἐγὼν αὐτῇ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
Οἴη ἀπαγγείλας· τῶν δ' ἄλλων μή τις Ἀχαιῶν
Πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 135
Γιγνώσκω, φρονέω, τά γε δὴ νοέοντι κελεύεις.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἰ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
Δυσμόρῳ· ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων,
Ἔργα τ' ἐποπτεύεσκε, μετὰ δμώων τ' ἐνὶ οἴκῳ 140
Πῖνε καὶ ἤσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
Αὐτὰρ νῦν, ἐξ οὗ σύ γε ᾤχεο νηῒ Πύλονδε,
Οὔπω μιν φασὶν φαγέμεν καὶ πιέμεν αὔτως,

" Illa autem neque abnegat odiosas nuptias, neque finem
" Facere potest; hi autem consumunt comedentes
" Domum meam: citò utique me perdent et ipsum.
" Sed sanè hæc quidem deorum in genibus posita sunt.
" Pater, tu verò vade ocyùs, prudenti Penelopæ 130
" Dic, quòd ei salvus sum, et ex Pylo veni.
" At ego hîc manebo; tu autem huc redi,
" Soli ubi nunciâris; aliorum verò nullus Achivorum
" Audiat: multi enim mihi mala moliuntur."
Huic autem respondens, allocutus es, Eumæe subulce; 135
" Cognosco, sapio; hæc sanè intelligenti imperas.
" Sed age mihi hoc dic et accuratè narra;
" An et Laërti eâdem viâ nuncius eam
" Infelici; qui eousquè quidem ob Ulyssem valdè dolens,
" Operaque inspectabat, et cum famulis in domo 140
" Bibebat et comedebat, quandò animus in pectoribus juberet;
" At nunc, ex quo tu utique ivisti navi ad Pylum,
" Nondum ipsum dicunt comedisse et bibisse solito-modo,

Ver. 129. Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.]

Ἀλλ' ἐς θεὸς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.
Euripid. Phaniss. ver. 712.

Exitus in Diis est ———.
Ovid. Heroïd. Epist. XX. *ver.* 44.

Ver. 130. Ἄττα, σὺ δ' ἔρχεο θᾶσσον.] Ὅτι τὴν Τηλέμαχος τὸν Εὔμαιον ἀγγελοῦντα τῇ Πηνελόπῃ ὅτι σῶς ἐστι καὶ ἐκ Πύλου ἦλθεν.— Ὁμηρικῶς δὲ καὶ τοῦτο δεινότητος οἰκονομίας· ἵνα, λάβωσι καὶ τοῦ Εὐμαίου, σχοίη χώραν πιθανῶς ἡ τοῦ πατρὸς ἀναγνωρισμὸς ἐν ἀδείᾳ γενέσθαι. *Eustath.* Vide infrà ad *ver.* 168. Cæterùm de voce Ἄττα, vide suprà ad *ver.* 31.

Ver. 131. Εἴφ', ὅτι οἱ σῶς εἰμὶ·] *Al.* Εἶπε, ὅτι σῶς εἰμὶ.

Ver. 138. Εἰ καὶ.] *Al.* Ἦ ἄρα.

Ver. 141. —— ὅτι θυμὸς.] *Al.* ὅτι θυμὸς.

Ver. 142. —— σύ γε ᾤχεο.] *Al.* σύ γ' ἀπῴχεο.

Ver. 143. —— φαγέμεν καὶ πιέμεν.] Ita Vulgati. *Barnesius* autem, nullis allatis codicibus, de *suo* edidit φαγέμεν καὶ πινέμεν. " Πινέμεν," inquit, " hîc omninò legendum, " ut suprà *ver.* 141. Πῖνε καὶ ἤσθε. *Prior*

Digitized by Google

Οὐδ' ἐπὶ ἔργα ἰδεῖν· ἀλλὰ στοναχῇ τε γόῳ τε
Ἥσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφιν χρώς. 145
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενόν περ.
Εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
Πρῶτόν κεν τῷ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
Ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγρὸς 150
Πλάζεσθαι μετ' ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν,
Ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
Κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.
Ἦ ῥα, καὶ ὤρσε συφορβόν· ὁ δ' εἵλετο χερσὶ πέδιλα·
Δησάμενος δ' ὑπὸ ποσσὶ πόλινδ' ἴεν· οὐδ' ἄρ' Ἀθήνην 155
Λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός·
Ἀλλ' ἤγε σχεδὸν ἦλθε· δέμας δ' ἤικτο γυναικὶ
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ.
Στῆ δὲ κατ' ἀντίθυρον πλισίης Ὀδυσῆϊ φανεῖσα·

" Neque opera inspexisse; sed suspirioque luctuque
" Sedet lamentans; tabescit autem circum ossa corpus." 145
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" Tristius *est*: sed omninò ipsum sinemus, dolentem licèt.
" Si enim ullo-pacto essent proprii-arbitrii omnia mortalibus,
" Primùm patris eligeremus reditûs diem.
" Sed tu, ubi-nunciaveris, revertere; neque per agros 150
" Vagare ad illum: at matri dic,
" Ut famulam œconomam *ire*-jubeat quàm citissimè
" Clàm; illa etenim nunciaverit seni."
Dixit utique, et excitavit subulcum: ille autem cepit manibus calceos;
Ligatisque *iis* sub pedibus ad urbem ibat: neque sanè Minervam 155
Latebat à stabulo profectus Eumæus subulcus:
Sed ea propè venit: corpore verò assimilata est mulieri
Pulchræque, magnæque, et splendida opera doctæ.
Stetit autem è-regione-ostii casæ Ulyssi apparens:

" enim τῷ πίμεν corripitur, ut ὁ. *ver.* 377. " Καὶ φαγέμεν πίμεν τι· ἔπειτα δὲ καὶ τι " φέρεσθαι. Πίνω verò *priorem* semper pro- " ducit." Ita ille: Sed tamen mutato nihil opus. Nam et πίμεν (id quod nec virum ipsum eruditum ex toto fugit) *priorem* naturâ longam habet; etsi *eandem* nonnunquam propter sequentem vocalem corripiat. Πίομαι δὲ (inquit *Athenæus*) —— λεκτέον, ἐκ]λέγονται δὲ τὸ " ι." Οὕτω γὰρ ἔχει καὶ τὸ Ὁμηρικὸν [*Iliad.* ν'. 493.] " Πίομαι ἐκ βοτάνης." *Lib.* X. *cap.* 13. Similitèr *Iliad.* α'. 825.

—— ἐθέλουσι δὲ πίμεν ἄμφω.

Vide et suprà ad κ'. 160. et infrà ad σ'. 3. item ad *Il.* ὁ. 24.

Ver. 147. —— ἐάσομεν.] *Barnesius* edidit legendumque contendit ἐάσσομεν. " Cum " simplici enim σ' (inquit) corripi debet, " ut *Odyss.* φ'. *ver.* 233. Οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην." Sed vide ad *Il.* δ'. 42.

Ibid. — ἀχνύμενον περ.] *Al.* ἀχνύμενοι περ.

Ver. 151. —— μητέρα.] *Al.* μητέρος.

Ver. 155. Δησάμενος.] Vide suprà ad ι'. 296.

Ver. 156. Λῆθεν.] Vide suprà ad λ'. 101.

Ver. 157. —— ἤγε σχεδὸν ἦλθε.] Vide infrà ad *ver.* 166. 168.

Ver. 159. —— κατ' ἀντίθυρον.] Ἀντικρὺ τῆς θύρας. *Schol.*

Ibid. —— Ὀδυσῆϊ φανεῖσα· Οὐδ' ἄρα Τηλέμαχος ἴδεν.] Sic *Iliad.* ά. 197.

Στῆ δ' ἔντοσθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα,
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ἐρᾶτο.

Digitized by Google

Οὐδ' ἄρα Τηλέμαχος ἴδεν ἀντίον, οὐδ' ἐνόησεν· 160
(Οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς·)
Ἀλλ' Ὀδυσεύς τε, κύνες τε ἴδον, καί ῥ' ἐχ ὐλάοντο,
Κνυζηθμῷ δ' ἐτέρωσε διὰ σταθμοῖο φόβηθεν.
Ἡ δ' ἄρ' ἐπ' ὀφρύσι νεῦσε· νόησε δὲ δῖος Ὀδυσσεύς·
Ἐκ δ' ἦλθεν μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς, 165
Στῆ δὲ πάροιθ' αὐτῆς· τὸν δὲ προσέειπεν Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἤδη νῦν σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
Ὡς ἂν μνηστῆρσιν θάνατον καὶ κῆρ' ἀραρόντε
Ἔρχησθον προτὶ ἄστυ περικλυτόν· ἠδ' ἐγὼ αὐτὴ 170
Δηρὸν ἀπὸ σφῶϊν ἔσομαι, μεμαυῖα μάχεσθαι.
Ἦ, καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·
Φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς, ἠδὲ χιτῶνα,
Θῆκ' ἀμφὶ στήθεσσι· δέμας δ' ὤφελλε καὶ ἤβην.
Ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν· 175
Κυάνεαι δ' ἐγένοντο ἐθειράδες ἀμφὶ γένειον.

Neque Telemachus vidit coràm, neque advertit: 160
(Nequaquam enim omnibus dii apparent manifesti:)
Sed Ulyssesque, canesque viderunt, et proindè non latrârunt,
Cum-gannitu autem, aliorsùm per stabulum trepidaverunt.
Illa autem superciliis innuit; animadvertit verò nobilis Ulysses;
Exivit autem domo extra magnum murum chortis, 165
Stetitque ante ipsam: illum verò allocuta est Minerva;
" Generose Laërtiade, solers Ulysses,
" Jam nunc tuo filio verbum dic, neque cela;
" Ut procis mortem et fatum moliti
" Eatis ad urbem inclytam; neque ego ipsa 170
" Diù à vobis abero, prompta ad pugnandum."
Dixit, et aureâ virgâ tetigit *eum* Minerva:
Vestem quidem ei primùm benè-lotam et tunicam,
Posuit circum pectora; corpusque auxit et vigorem.
Rursùs autem nigro-colore factus-est, genæ verò distentæ-sunt; 175
Cæruleique facti-sunt pili circa mentum.

Ver. 163. Κνυζηθμῷ.] Ἤτοι ποππυσμῷ, ἢ μετὰ κλαυθμοῦ ποιῷ ἦχῳ τῶν κυνῶν. *Schol.* Vide *Duportum, Prælect. in Theophrasti Characteres, cap.* 4.

Ver. 165. —— παρὲκ.] *Al.* παρὰ.

Ibid. —— τειχίον.] *Al.* θριγκίον.

Ver. 166. 168. —— τὸν δὲ προσέειπεν Ἀθήνη —— Ἤδη νῦν σῷ παιδὶ ἔπος φάο.] Τέτοις δὲ παιρὸν χρὴ ἐπιτῆσαι τὸν δίωνα· ὧν πάντων τεμίας ὁ ἅμφεων τῦ Ὀδυσσέως λόγος ἢ ἡ σύνεσις Ἀθηνᾶ, ἣν πλάττει Ὅμηρος ὑποτιθεμένην τὰ πεπρεπία τῷ Ὀδυσσεῖ. *Eustath.* Sic infrà *ver.* 282.

Ὁπότε κεν πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη,
Νύσσω μὲν τοι ἐγὼ ὅς κ.

Vide ad *Il. α.* 194.

Ver. 172. —— ἐπιμάσσατ'.] *Barnesius* edidit ἐπιμάσσετ'. Rationibus (ut opinor) haud satis idoneis. Vide ad *Il. ρ.* 594.

Ver. 175. Ἂψ δὲ μελαγχροιὴς γένετο.] Sic apud *Ovidium*;

—————— barba comæque
Canitie positâ nigrum rapuere colorem;
Pulsa fugit macies; abeunt pallorque situsque.

Metam. lib. VII. *ver.* 288.

Ver. 176. Κυάνεαι δ' ἐγένοντο ἐθειράδες.] Ita Vulgati. *Barnesius* autem ex *Isaaco Casaubono*, et ex *Eustathio* edidit ἐγένοντο γενειάδες. Quo modo et in nonnullis codicibus scriptum reperit *Tho. Bentleius*.

Ibid. —— ἀμφὶ γένειον.] *Al.* ἀμφὶ γένεια.

Digitized by Google

Ἦ μὲν ἄρ' ὣς ἔρξασα, πάλιν κίεν· αὐτὰρ Ὀδυσσεὺς
Ἤιεν ἐς κλισίην· θάμβησε δέ μιν φίλος υἱός·
Ταρβήσας δ' ἑτέρωσε βάλ' ὄμματα, μὴ θεὸς εἴη,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· 180
Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον, ἠὲ πάροιθεν,
Ἄλλα δὲ εἵματ' ἔχεις, καί τοι χρὼς ἐκ ἔθ' ὁμοῖος.
Ἦ μάλα τις θεὸς ἐσσὶ, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
Ἀλλ' ἴληθ, ἵνα τοι κεχαρισμένα δώσομεν ἱρὰ,
Ἠδὲ χρύσεα δῶρα τετυγμένα· φείδεο δ' ἡμέων. 185
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Οὔ τίς τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις;
Ἀλλὰ πατὴρ τεὸς εἰμὶ, τοῦ εἵνεκα σὺ στεναχίζων
Πάσχεις ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.
Ὣς ἄρα φωνήσας υἱὸν κύσε, κὰδ δὲ παρειῶν 190
Δάκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.
Τηλέμαχος δ', (ὃ γάρ πω ἐπείθετο ὃν πατέρ' εἶναι,)

Illa quidem, ita cùm-fecisset, abiit: at Ulysses
Ivit in casam: stupuit verò ipsum dilectus filius;
Territusque aliorsùm vertit oculos, nè deus esset,
Et ipsum affatus verba alata dixit; 180
" Alius mihi, hospes, appares recèns, quàm antè,
" Alia autem vestimenta habes; et tibi corpus haud ampliùs simile:
" Certè omninò aliquis deorum es, qui cœlum latum habitant:
" Sed propitius esto; ut tibi grata demus sacra,
" Et aurea dona arte-elaborata: parce verò nobis." 185
Huic autem respondit posteà patiens nobilis Ulysses;
" Neutiquam aliquis deus sum; cur me diis assimilas?
" Sed pater tuus sum, cujus gratiâ tu suspirans
" Pateris dolores multos, injurias sustinens virorum."
Sic utique locutus, filium osculatus est; perque genas 190
Lachrymam mittebat humi: antè autem continuerat-se indesinentèr semper.
Telemachus verò, (nondum enim persuadebatur suum patrem esse,)

Ver. 181. Ἀλλοῖος μοι, ξεῖνε, φάνης.] Versum hunc ad Adulatoris levitatem transfert *Plutarchus*; Τὰς δὲ τῶν Κόλακος ὥσπερ πολύποδος τροπὰς ῥᾷστα φωράσειεν ἄν τις. —— Ὅψεται γὰρ αὐτὸν ἠδεμῶς βίβαιον, οὐδ' ἴδιον, οὐδ' οἰκεῖον πάθοι φιλοῦντα καὶ μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον, ἀλλὰ δίκην καλοῦ χρώματος, παθῶν ὀδυνῶν καὶ βιῶν καὶ κινημάτων εἰκόνας ἀναδιχόμενον ——. Εὐθὺς ἂν λίξειν χρὴ πρὸς τὸν τοιοῦτον, "Ἀλλοῖος μοι, ξεῖν', ἰφάνης νέον ἠὲ πάροιθεν." *De Adulatoris et Amici discrimine.*

Ver. 184. Ἀλλ' ἴληθ, ἵνα τοι κεχαρισμένα δώσομεν ἱρὰ.]

Sis felix, nostrumque leves quæcunque laborem: ——
Multa tibi ante aras nostrâ cadet hostia dextrâ. *Æn.* I. 330. 334.

Ovid. Fast. lib. III. *ver.* 185.

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ρ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ρ'.

Ἐ'ΙΣ τὴν πόλιν ἰλθὼν Τηλέμαχος διηγεῖται τῇ μητρὶ Πηνελόπῃ τῆς ἀποδημίας τὰ πεφάλαια· ὕστερον δὲ Ὀδυσσεὺς ἀχθεὶς ὑπὸ τῦ Εὐμαίυ εἰς Ἰθάκην ἀπὸ τῶν ἀγρῶν, εἰς τὸ συμπόσιον τῶν μνηστήρων εἰσέρχεται. Ὁ δὲ Ποιητὴς ἀπαγγέλλει, πῶς ὁ κύων ἀφεγνωρίζει τὸν δεσπότην· καὶ ὡς Εὔμαιος μὲν εἰς τοὺς ἀγροὺς ὑπεστρέφει, Ὀδυσσεὺς δὲ ἐν αὐτοῖς μένει.

Ἐπιγραφαί.

Ἐπάνοδος Τηλεμάχυ εἰς Ἰθάκην.

Ἄλλως,

Ῥῶ βάλες, αἰτόλε τε, μνηστήρ τε· κύων ὃν ἀνέγνω.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,
Δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶ ἐδήσατο καλὰ πέδιλα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμῃφιν ἀρήρει,
Ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην· 5
Ἄττ', ἦτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ
Ὄψεται· (οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
Κλαυθμῦ τε στυγεροῖο, γόοιό τε δακρυόεντος,

LIB. XVII.

QUandò autem mane-genita apparuit rosea-digitis Aurora;
Sanè tunc deindè sub pedibus ligavit pulchros calceos
Telemachus, dilectus filius Ulyssis divini:
Sumpsit autem validam hastam, quæ ei manibus apta-erat,
Ad urbem iturus, et suum allocutus est subulcum; 5
" Pater, sanè quidem ego vado in urbem, ut me mater
" Videat, (non enim ipsam antè cessaturam puto
" A fletuque odioso, luctuque lachrymoso,

Ver. 6. Ἄττ'.] Vide suprà ad π'. 81.

Digitized by Google

Πρίν γ' αὐτόν μ' ἐσίδηται·) ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω,
Τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι 10
Δαῖτα πτωχεύῃ· δώσει δέ οἱ, ὅς κ' ἐθέλῃσι,
Πύρνον καὶ κοτύλην· ἐμὲ δ' ἔπως ἐστὶν ἅπαντας
Ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.
Ὁ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῷ
Ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι. 15
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ φίλος, ἠδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
Πτωχῷ βέλτιόν ἐστι κατὰ πτόλιν, ἢ κατ' ἀγρούς,
Δαῖτα πτωχεύειν· δώσει δέ μοι, ὅς κ' ἐθέλῃσιν·
Οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί, 20
Ὥστ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι.
Ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, ὃν σὺ κελεύεις,
Αὐτίκ', ἐπεί κε πυρὸς θερέω, ἁλέη τε γένηται·
Αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά· μή με δαμάσσῃ

" Quàm scilicèt ipsum me inspexerit;) sed tibi sic præcipio,
" Hospitem infelicem duc in urbem, ut illic 10
" Victum mendicet: dabit autem ei, quicunque voluerit,
" Panem et poculum: me autem haudquaquàm licet omnes
" Homines sustinere, habentem utique dolores animo.
" Hospes autem si valdè irascatur, gravius ipsi
" Erit: certè enim mihi gratum vera loqui." 15
Hunc autem respondens allocutus est solers Ulysses;
" O amice, neque sanè ipse detineri cupio:
" Mendico melius est in urbe, quàm in agris,
" Cibum mendicare; dabit autem mihi, quicunque voluerit.
" Non enim qui apud stabula maneam, ampliùs eâ-ætate sum, 20
" Ut imperanti hero in omnibus paream.
" Sed vade; me autem ducet vir hic, quem tu jubes,
" Statim, postquam igne caluero, teporque factus fuerit;
" Valdè enim hæc vestimenta habeo mala; *cavendum*, nè me conficiat

---

Ver. 14. —— *μηνίει.*] Vox *μηνίω* *mediam* naturâ longam habet, etsi hoc in loco propter sequentem vocalem corripiat. Nam in Futuro et Aoristo, ubi duæ Vocales non concurrunt, semper *Homero* producitur istud *ῑ*. Vide ad *Il. α.* 488. *ι.* 178. et *ο.* 24.

Ver. 15. —— *ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι.*] Τὸ δὲ, " *φίλ' ἀληθέα μυθήσασθαι.* " Ὅθεν, " ἦ Ἀστικῶς ἀντὶ τοῦ, *φίλον ἐστὶ τἀληθῆ εἰπεῖν*" ἤ, *φίλα τὰ ἀληθῆ ὥστε εἰπεῖν αὐτὰ.* *Eustath.* Ita *Iliad. δ'.* 345.

"Ἔνθα φίλ' ὀπταλέα κρέα τ' ἔδμεναι, ἠδὲ κυπέλλα
Οἴνου πινέμεναι μειλιηδέος ——————.

Ver. 18. —— *βέλτιον.*] Apud *Eustathium* in commentario *βέλτερον.* Quo modo et in pluribus Codicibus scriptum reperit *Th. Bentleius.* Atque ita potiùs legendum crediderim, quòd vox *βέλτιον* alibi apud *Homerum* non occurrit.

Ver. 19. —— *ὅς κ' ἐθέλῃσιν.*] Ita restituit *Barnesius* ex *ver.* 11. suprà, et *ver.* 559. infrà, ubi in Vulgatis hoc modo legitur: Atque ita porrò hîc legit in commentario *Eustathius.* *Al.* *ὅς κε θέλῃσιν.* Vide suprà ad *ο.* 316. et ad *Il. α.* 277.

Ver. 20. —— *τηλίκος εἰμί.*] Ἤγουν ἐν ἐμοὶ τοιούτῃ ἡλικίᾳ ὥστε εἰς πᾶν ἔργον τιθέσθαι τῷ κελεύοντί μοι κατ' ἀγρούς. *Eustath.*

Ver. 22. —— *ὃν.*] *Al.* *τὸν.*

Ver. 23. —— *ἁλέη.*] Ἡ θερμασία τοῦ ἡλίου. *Schol.*

Digitized by Google

Στίβη ὑπηοίη· ἔκαθεν δέ τοι ἔστυ φάτ' εἶναι. 25
Ὣς φάτο· Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
Κραιπνὰ ποσὶ προβιβάς· κακὰ δὲ μνηστῆρσι φύτευεν.
Αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμας εὖ ναιετάοντας,
Ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν,
Αὐτὸς δ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον ἐδόν. 30
Τὸν δὲ πολὺ πρώτη εἶδε τροφὸς Εὐρύκλεια,
Κώεα καστορνῦσα θρόνοις ἐνὶ δαιδαλέοισι·
Δακρύσασα δ' ἔπειτ' ἰθὺς κίεν· ἀμφὶ δ' ἄρ' ἄλλαι
Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
Καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὄμμας. 35
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσῇ Ἀφροδίτῃ·

"Frigus matutinum; procul autem urbem dicitis esse." 25
Sic dixit: Telemachus verò per stabulum ivit,
Velocitèr pedibus progrediens; mala autem procis serebat.
Sed postquam pervenisset *ad* ædes habitantibus commodas,
Hastam quidem posuit ferens ad columnam longam,
Ipse autem intrò ibat, et transivit lapideum limen. 30
Hunc verò longè prima vidit nutrix Euryclea,
Pelles sternens sedibus in variegatis:
Lachrymans autem deindè rectà *ad eum* ivit; circumque aliæ
Ancillæ Ulyssis multa-passi congregabantur,
Et osculabantur amplectentes caputque et humeros. 35
Egrediebatur autem è thalamo prudens Penelope,
Dianæ similis, et aureæ Veneri:

Ver. 25. Στίβη ὑπηοίη.] Ὁ πωγιτὸς ὁ ὀρθρινός. *Schol.* *Al.* Στίβη ὑπ' ἠοίῃ, et ὑπ' ἠοίῃ. *Ibid.* —— δέ τοι.] *Al.* δί τι.

Ver. 26. —— διὰ σταθμοῖο.] *Al.* δι' ἐκ μεγάρου. Ex versu, ut videtur 61.

Ver. 27. Κραιπνὰ ποσὶ προβιβάς.] Celeritatem et agilitatem progredientis optimè depingunt et quasi ob oculos ponunt versus hujus numeri. Vide ad *Il.* γ'. 363.

Ver. 29. —— ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν.] *Al.* στῆσε πρὸς κίονα μακρὸν ἐρείσας. Quo modo et legisse videtur *Eustathius*. Vide suprà ad Σ'. 66. et 473.

Ver. 30. —— εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον ἐδὸν.] Ἐπήλλακται ἡ τάξις· τὸ γὰρ ἐξῆς, "Αὐτὸς δ' ὑπέρβη λάϊνον ἐδὸν, καὶ εἴσω ἴεν." *Schol.* Sed nihil opus.

Ver. 32. —— καστορνῦσα.] Vide ad *Il.* γ'. 260. et *i.* 70.

Ver. 33. —— ἔπειτ' ἰθὺς κίεν.] Vulgati habent ἔπειτα ἰθὺς κίεν *Barnesius* autem edidit ἔπειτ' ἰθὺς. Rectè. Nam (ut et ipse annotat) vox ἰθὺς, quæ in *Iliade* et *Odysseâ* plus quadragies occurrit, istis omnibus in locis *priorem* producit, excepto *Odyss.* ψ'. 207. ubi olim quidem legebatur ἔπειτα ἰθὺς δράμεν *Barnesius* autem ex Editione *Florentinâ* rectè restituit ἔπειτ' ἰθὺς δράμεν. Porrò MS. à *Tho. Bentleio* collatus, et hîc et infrà ψ'. 207. cum *Barnesio* legit ἔπειτ' ἰθὺς.

Ver. 36. Ἡ δ' ἴεν ἐκ θαλάμοιο.] Vide infrà ad σ'. 53. *Al.* Ἡ δ' ἴεν ἐκ θαλάμοιο.

Ver. 37. Ἀρτέμιδι ἰκέλη.] Ita in omnibus legitur et hîc et infrà σ'. 54. ubi idem versus occurrit. Haud tamen satis rectè producitur ultima vocis Ἀρτέμιδι, sequente neque Consonante neque Vocali aspiratâ; nisi fortè vox ἰκέλη pronuntiabatur ϝικέλη. Quod et eo nonnihil verisimilius videtur, quia et alibi ante hanc vocem, vocalem brevem produxit Poëta;

Ἡ δ' ἀνδρὶ ἰκέλη Τρώων κατεδύσατο δῖμον.
Iliad. δ'. 86.

Vide suprà ad π'. 206. item ad *Il.* α'. 342. σ'. 172.

Ibid. —— ἠδὲ χρυσῇ Ἀφροδίτῃ.] *Barnesius* hîc pro ἠδὲ legendum conjicit ἠὼ. Atque ita in commentario citat *Eustathius* et hîc et infrà σ'. 54. quocum facit etiam utrobique MS. à *Tho. Bentleio* collatus. Quæ et potior videtur lectio. "Potuit etiam," addit *Barnesius*, "Duabus hisce Deabus simul *Penelo-* "*pam* comparare Poëta ob diversas proceris

Ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα·
Κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ,
Καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα· 40
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος· οὔ σ' ἔτ' ἔγωγε
Ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
Λάθρη, ἐμεῦ ἀέκητι, φίλε μετὰ πατρὸς ἀκκήν.
Ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 45
Μῆτερ ἐμὴ, μή μοι γόον ὄρνυθι, μηδέ μοι ἦτορ
Ἐν στήθεσσιν ὄρινε, φυγόντι περ αἰπὺν ὄλεθρον·
Ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Εὔχεο πᾶσι θεοῖσι, τελήσσας ἑκατόμβας 50

Circum verò filium dilectum jecit brachia lachrymans;
Osculataque est ipsi caputque et ambo lumina pulchra,
Et lugens verbis alatis allocuta est; 40
" Venisti, Telemache, dulce lumen: non te ampliùs ego
" Visuram *me* putabam, postquam iveras nave in-Pylum
" Clàm, me invitâ, dilecti ad patris auditionem,
" Sed age mihi narra, quemadmodum tibi contigit videre."
Illam autem rursùs Telemachus prudens contrà allocutus est; 45
" Mater mea, nè mihi luctum excita, neque mihi cor
" In pectoribus commove, elapso licèt grave exitium:
" Sed lota, puris corpori vestimentis sumptis,
" In cœnaculum ubi-ascenderis cum famulis mulieribus,
" Vove omnibus Diis perfectas hecatombas 50

" rationes; ob *Castitatem* nempè *Dianæ*, " *Veneri* ob *Formam*: Similitèrque *Eustathius*: Τῦτο μὲν, ὡς καλὴ· ἐκεῖνο δὲ, ὡς σωφρῶν καὶ σώφρων. Verùm cùm *Corporis* speciem solam hoc in loco respicit Poëta; propter *Staturam* potiùs videtur *Penelope Dianæ* comparari: vide suprà ad ζ'. 107. et infrà ad ὑ. 71. Atque ita de eâdem *Penelope* dicitur infrà σ'. 247, 248.

——— ἐπὰ σταίσσει γυναικῶν
Εἶδός τι μέγεθός τε ———.

Ver. 39. Κύσσε δέ μιν κεφαλήν.] Vide suprà ad π'. 15. Porrò Vulgati hîc habent Κύσσε: *Barnesius* autem edidit Κύσσε ex *Iliad.* Ψ'. 371. *Odyss.* σ'. 15. φ'. 225. ubi in omnibus cum duplici " σ" scribitur hæc vox. Rectè, ut opinor; quia Κύσε *priorem* corripit. Vide *Iliad.* ζ'. 474. ώ. 478. et *Odyss.* ί. 463. ν'. 354. ξ'. 279. π'. 21. 190. ψ'. 87. Cæterùm MS. unus à *Tho. Bentleio* collatus et hîc Κύσσε legit.

Ibid. —— κεφαλήν τε καὶ ἄμφω.] Ita restituit *Barnesius* ex π'. 15. suprà, ubi idem versus occurrit, et in omnibus hoc modo legitur. Ita porrò hîc in commentario legit *Eustathius*; atque ita iterùm in omnibus legitur infrà σ'. 417. *Vulgg.* hoc in loco κεφαλήν καὶ ἄμφω.

Ver 41. —— οὐ σ' ἔτ' ἔγωγε.] Ita *Barnesius*. *Al.* οὐ σε σ' ἔγωγε.

Ver. 42. —— ἐπεὶ ᾤχεο νηῒ Πύλονδε Λάθρη, ἐμεῦ ἀέκητι.] Similitèr *Penelope de Telemacho* apud *Ovidium*:

Ille per insidias penè est mihi nuper ademtus,
Dum parat invitis omnibus ire Pylon.
Heroïd. Epist. I. *ver.* 99.

Ver. 44. —— ὅπως ἤντησας ὀπωπῆς.] Ὅτι στερίφρασις τῦ " Τί εἶδες," τὸ " ὅπως ἤντησας " ὀπωπῆς." *Eustath.* Vide *Odyss.* γ'. 97. et δ'. 327. ubi eadem phrasis occurrit.

Ver. 49. Εἰς ὑπερῷ' ἀναβᾶσα.] Deest hîc versus in MS. à *Tho. Bentleio* collato; eundemque in commentario omittit *Eustathius*. Quin et ubi versum huic proximè præcedentem itemque sequentes duos repetit Poëta infrà *ver.* 58. 60. omittitur in Vulgatis hic versus. Quanquam et ibi restituendum contendit *Barnesius*.

Digitized by Google

Ῥέξειν, αἴκε πόθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ·
Αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω
Ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
Τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισι·
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα 55
Ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰσόκεν ἔλθω.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῖ εἵματ' ἑλοῦσα,
Εὔχετο πᾶσι θεοῖσι, τελήσσας ἑκατόμβας
Ῥέξειν, αἴκε πόθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ. 60
Τηλέμαχος δ' ἄρ' ἔπειτα δι' ἐκ μεγάροιο βεβήκει,
Ἔγχος ἔχων· ἅμα τῷ γε κύνες πόδας ἀργοὶ ἕποντο.
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη·
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο, 65
Ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.

" *Te* sacrificaturam; sicubi Jupiter, ut-vindicentur *hæc* facta, perfecerit.
" At ego ad-forum ibo, ut vocem
" Hospitem, qui me illinc unà secutus est huc venientem.
" Illum quidem ego præmisi cum eximiis sociis;
" Piræum autem ipsum jussi ad domum ducentem 55
" Accuratè tractare et honorare, donec venissem."
Sic utique locutus est: huic verò pennarum-expers fuit verbum.
Ipsa verò lota, puris corpori vestimentis sumptis,
Vovebat omnibus Diis perfectas hecatombas
Se sacrificaturam, sicubi Jupiter, ut-vindicarentur *ea* facta, perficeret. 60
Telemachus autem deindè ex domo ivit,
Hastam habens: unâque eum canes pedibus veloces sequebantur.
Divinam autem ei gratiam offudit Minerva;
Eumque omnes populi supervenientem admirabantur.
Circum verò ipsum proci eximii congregabantur, 65
Bona prædicantes; mala autem mentibus profundè-cogitabant.

Ver. 51. et 60. —— ἄντιτα.] Vide ad *Il.* ι'. 414. et ξ'. 484.

Ver. 55. —— ἠνώγεα.] *Al.* ἤνωγον.

Ver. 57. —— τῇ δ' ἄπτερος ἔπλετο μῦθος.] Κεῖται δὲ τὸ " ἄπτερος ἔπλετο μῦθος," ὡς ἴσον τῇ ταχίστῃ προσήκατο φασὶ τὸν λόγον. Ἄπτερος δὲ ὁ φαρέμενος καὶ μὴ πτερόεις κατὰ τὸ κοινὸν τοῦ λόγου ἐπίθετον· ἤγουν ὁ μὴ ἀποστὰς ἀλλ' ἐμμείνας τῇ γυναικὶ. *Eustath.*

Ver. 58. Ἡ δ' ὑδρηναμένη.] Post hunc versum *Barnesius*, nullis allatis codicibus, inserit;

Εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξίν·

Ex versu scilicèt 49. quem hîc omninò repetendum contendit: " Eadem est ratio " enim," inquit, " ut omnes simul iterùm " hîc occurrant, non ut hic unus excidat." Vide autem suprà ad *ver.* 49.

Ver. 61. —— ἄρ'.] *Proindè* ——. Connectit nimirùm sententiam cum eo quod præcessit *ver.* 52. Αὐτὰρ ἐγὼν ἀγορήνδε, &c.

Ver. 62. —— ἅμα τῷ γε κύνες.]

Necnon et gemini custodes limine ab alto
Procedunt, gressumque canes comitantur herilem. *Æn.* VIII. 461.

Ver. 64. Τὸν δ' ἄρα πάντες λαοὶ.]

Illam omnis tectis agrisque effusa juventus,
Turbaque miratur matrum, et prospectat euntem. *Æn.* VII. 812.

Ver. 66. Ἔσθλ' ἀγορευόντες, κακὰ δὲ φρεσὶ.]

Οἵτ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι. Infrà σ'. 167.

Digitized by Google

Αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
Ἀλλ', ἵνα Μέντωρ ἦστο, καὶ Ἄντιφος, ἠδ' Ἁλιθέρσης,
Οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
Ἔνθα καθέζετ' ἰών· οἱ δ' ἐξερέεινον ἕκαστα.
Τοῖς δ' ἐπὶ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν,
Ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.
Τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπεν·
Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὰν ποτὶ δῶμα γυναῖκας,
Ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκε.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Πείραι, οὐ γάρ τ' ἴδμεν, ὅπως ἔσται τάδε ἔργα·
Εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
Λάθρη κτείναντες, πατρώϊα πάντα δάσωνται,
Αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε·
Εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω,
Δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.
Ὥς εἰπὼν, ξεῖνον τηλαπτείριον ἦγεν ἐς οἶκον.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,

At is horum quidem deindè declinabat magnum cœtum;
Ast, ubi Mentor sedebat, et Antiphus, et Halitherses,
Qui utique ei à principio paterni erant socii;
Illic sedebat profectus; illi autem interrogabant singula.
Ad-hos verò Piræus hastâ-inclytus propè venit,
Hospitem ducens ad-concionem per urbem: neque verò adhuc diù
Telemachus ab hospite procul se-avertit, sed astitit.
Hunc et Piræus prior sermone allocutus est;
"Telemache, statim jube-*ire* meam ad domum mulieres,
"Ut tibi dona remittam, quæ tibi Menelaus dedit."
Illum autem rursùs Telemachus prudens contrà allocutus est;
"Piræe, non enim scimus, quomodo erunt hæc opera.
"Si me proci eximii in ædibus
"Clàm interfecto, paterna omnia diviserint,
"Ipsum habentem te malo *iis* frui, quam aliquem horum:
"Sin ego his cædem et mortem struxero,
"Tunc domùm mihi gaudenti fer ad ædes gaudens."
Sic locutus, hospitem arumnosum duxit in domum.
At postquam pervenissent *ad* ædes habitantibus-commodas,

——— *πικραὶ φέρνε, ἀδὺ λάλημα.*
Mosch. Idyll. I. *ver.* 8.
In melle sunt linguæ sitæ vestræ, atque orationes, [acerbo aceto.
Lacteque; corda felle sunt sita, atque
Plaut. Truculent. Scen. II. *ver.* 76.

Ver. 67. —— ἵστατο ἀλεύατο.] *Al.* ἵστηθ' ἐκλείετο.

Ver. 71. Τοῖς δ' ἐπὶ.] *Al.* Τοῖσι δὲ.

Ver. 78. ἐ γὰρ.] Refertur istud γὰρ ad id quod elegantèr reticetur. "*Nè nimis fo-*"*xina; non* ΕΝΝΙΜ ΟΪΔΕ."

Ver. 80. —— δάσωνται.] *Al.* δάσονται.

Ver. 84. —— τηλαπτείριον.] Vide suprà ad ζ'. 193.

Digitized by Google

Χλαῖναν μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
Ἑς δ' ἀσαμίνθους βάντες ἐϋξέστας λέσαντο.
Τὰς δ' ἐπεὶ ὖν δρωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, ἠδὲ χιτῶνας·
Ἐκ ρ' ἀσαμίνθων βάντες ἐπὶ κλισμοῖσι κάθιζον.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα,
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· πὰρ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν·
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο,
Κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα σπεραφῶσα.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Τηλέμαχ', ἦτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
Λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
Αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς

Lænam quidem deposuerunt in soliisque sedilibusque;
Inque balnea ingressi benè-polita lavati sunt.
Hos autem postquam famulæ laverant et unxerant oleo,
Circum deindè lænas villosas jecerunt tunicas;
E balneo utique egressi in sedibus sedebant.
Aquam autem ancilla gutturnio infundebat ferens,
Pulchro, aureo, super argenteo lebete,
Ad-lavandum: juxtaque politam extendit mensam:
Panem verò verecunda proma apposuit ferens,
Ferculis multis impositis, largiens de præsentibus.
Mater autem ex-adverso sedebat ad postes domûs,
In sede reclinata, tenuia pensa versans.
Hi autem ad cibos paratos appositos manus porrigebant.
At postquam potûs et cibi desiderium exemissent,
Illis utique sermonem exordiebatur prudens Penelope;
" Telemache, sane ego in cœnaculum ubi-conscendero,
" Decumbam in lectum, qui mihi luctuosus factus est,
" Semper lachrymis meis fœdatus; ex quo Ulysses

Ver. 86. Χλαῖναν.] MS. à *Tho. Bentleio* collatus habet Χλαίνας. Quæ et verior videtur lectio. Ita enim in omnibus legitur infrà *ver.* 179. et *ὁ.* 255. ubi iterùm occurrit idem versus.

Ver. 88. Τὰς δ' ἐπὶ ὖν.] Ita ex Editionibus nonnullis rectè restituit *Barnesius*. Vide suprà ad *γ.* 49. *δ'.* 454. et ad *Il. ά.* 587. *Henricus Stephanus* aliique malè hîc ediderunt, Τὰς δ' ἐπὶ ὖν.

Ver. 89. 91. Ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον, —— Χέρνιβα δ' ἀμφίπολος.]

Dant famuli manibus lymphas, ——
—— tonsisque ferunt mantilia villis.
Æn. I. 701.

Ver. 93. —— πὰρ δὲ.] *Al.* παρὰ δὲ.

Ver. 97. 139. —— κεκλιμένη —— παρακλιθέν.] Vide ad *Il. ά.* 309. 314. et *ζ'.* 484.

Ver. 100. Τοῖσι δὲ μύθων ἦρχε.] *Barnesius* edidit Τοῖσιδε· et in annotationibus; " Ita," inquit, " omninò scribendum, vel τοῖσδεσι, " pro τοῖσι δὲ, quod hîc quidem stare ne- " quit; τὸ, δὲ enim παρέλκει, et est *Enclisis*." Minùs rectè. Vide ad *Il. ά.* 57.

Digitized by Google

Ὤχεθ' ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
Πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας εἰς τόδε δῶμα, 105
Νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴπου ἄκουσας.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοὶ γὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω·
Ὤχόμεθ' ἔς τε Πύλον, καὶ Νέστορα, ποιμένα λαῶν·
Δεξάμενος δέ μ' ἐκεῖνος ἐν ὑψηλοῖσι δόμοισιν, 110
Ἐνδυκέως ἐφίλει, ὡσεί τε πατὴρ ἑὸν υἷα
Ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
Ἐνδυκέως ἐκόμιζε, σὺν υἱάσι κυδαλίμοισιν.
Αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκε
Ζωοῦ, οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι· 115
Ἀλλά μ' ἐς Ἀτρείδην δυριπλεκτὸν Μενέλαον
Ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
Ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν.

" Abiit cum Atridis ad Ilium: neque mihi sustinuisti,
" Antequam venirent proci eximii in hanc domum, 105
" Reditum tui patris apertè dicere, sicubi audivisti."
Hanc autem rursùs Telemachus prudens contrà allocutus est;
" Equidem tibi, mater, veritatem narrabo;
" Ivimus inque Pylum, et ad Nestorem, pastorem populorum:
" Exceptum autem me ille in excelsis ædibus 110
" Accuratè tractabat, tanquam pater suum filium,
" Reversum longo-post-tempore recens aliundè; sic me ille
" Accuratè excipiebat, cum filiis gloriosis.
" At de Ulysse malorum-patiente nunquam aiebat,
" Vivo, neque mortuo, terrestrium ex-ullo *se* audivisse: 115
" Sed me ad Atridem hastâ-inclytum Menelaum
" Cum-equis præmisit et curribus benè-compactis.
" Illic vidi Argivam Helenam, cujus gratiâ multa
" Argivi, Trojanique, deorum voluntate laborârunt.

Ver. 108. et 122. —— ἀληθέην.] Vide suprà ad ν. 297.

Ver. 109. Ὤχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα.] Nos Pylon, antiqui Neleïa Nestoris arva,
Misimus: incerta est fama remissa Pylo. *Ovid. Heroïd. Epist.* I. *ver.* 63.

Ver. 110. —— δέ μ' ἐκεῖνος.] *Al.* δέ με κεῖνος· Ut *ver.* 112.

Ver. 116. —— δυριπλεκτὸν.] Ita edidit *Barnesius* ex ὁ. 52. suprà, ubi Vulgati habent δυριπλυτὸς· Cumque *Barnesio* hîc facit et MS. à *Tho. Bentleio* collatus. Rectè, ut videtur. Vide ad *Il.* ι. 55. *Vulgg.* hoc in loco δυριπλυτὸν.

Ver. 118. —— ἧς εἵνεκα πολλὰ Ἀργεῖοι, Τρῶές τε, θεῶν ἰότητι μόγησαν.] Ὅρα δὲ ὅτι καὶ πρὸς τὴν Ἑλένην φιλοφρόνως ἔσχε διὰ τὴν ξενίαν ὁ Τηλέμαχος· —— καὶ οὐδὲ φορτικὸν τὸ περὶ αὐτῆς εἶπεν, ἀλλὰ καὶ μᾶλλον ὑπερασπιλογήσατο ἐν τῷ θεῶν, θεῶν ἰότητι γενέσθαι τὰ κατ' αὐτήν. —— Εἰ γὰρ καὶ ἐκείνη εἵνεκα αὐτῆς πυνθάνοιτο τὰ ἐν Ἰλίῳ πάντα γενέσθαι φησὶν ἀλλ' ὁ Τηλέμαχος ἀσπερ αὐτὸ φυσάμενος θεῶν, ἵφη θεῶν ἰότητι προσῆναι αὐτά. *Eustath.* Porrò MS. à *Tho. Bentleio* collatus, pro μόγησαν hic legit δάμησαν· secundum *Eustathii* sententiam, minùs rectè: Etenim τὸ δὲ "ἐμόγησαν" (inquit) σιμῶς ἵφη ὁ Τηλέμαχος, διὰ τὴν Ἑλένην. Εἰσῆν γὰρ, ἧς εἵνεκα ὅλοντο, ἢ τί τοιοῦτον, ἐκεῖ διὰ τὸ δυσφημότερον. Atqui ipse in versu præcedenti pro πολλὰ legit πολλοὶ· in quod cum δάμησαν, aptiùs quàm cum μόγησαν, convenit.

Digitized by Google

Εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος 120
Ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
Αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα·
Καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
Ὦ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
Ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες. 125
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
Νεβρὺς κοιμήσασα νεηγενέας γαλαθηνὺς,
Κνημὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα·
Βοσκομένη, ὁ δέ τ' ὦκα ἑὴν εἰσήλυθεν εὐνὴν,
Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν· 130
Ὡς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
Αἴ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,

" Interrogabat verò statim deindè bello-strenuus Menelaus, 120
" Cujusnam rei indigens venissem *in* Lacedæmonem divinam:
" At ego ei omnem veritatem dixi:
" Et tunc demùm me verbis respondens allocutus est;
' Papæ! profectò valdè jam fortis viri in lecto
' Voluerunt cubare, imbelles ipsi cum-sint. 125
' Sicut autem quandò in lustro cerva fortis leonis
' Hinnulos ubi-composuerit recèns-natos, lactentes,
' Juga investigat et valles herbosas
' Pascens; hic verò statim suum ingressus est cubile,
' Ambobusque illis sævam mortem infert: 130
' Ita Ulysses illis sævam mortem inferet.
' Utinam enim, Jupiterque pater, et Minerva, et Apollo,
' Talis existens, qualis olim benè-ædificatâ in Lesbo
' Ex-contentione cum Philomelide luctatus est, ubi-surrexisset

---

Ver. 121. Ὅττευ.] *Al.* Ὅττιο.

Ver. 124. Ὦ πόπου.] Vide suprà δ'. 333. &c. ubi totus hic locus occurrit.

Ver. 127. —— γαλαθηνὺς.] *Al.* γαλαθινὺς, et γαλαστίνης.

Ver. 129. —— ὁ δέ τ' ὦκα.] *Al.* ὁ δ' ἔπειτα· Quo modo legit et MS. a *Tho. Bentleio* collatus. Atque ita in Vulgatis legitur suprà δ'. 338.

Ver. 130. —— ἐφῆκεν.] *Al.* ἐφήσει.

Ver. 134. Ἐξ ἔριδος Φιλομηλείδῃ.] Ὁ Φιλομηλείδης, ὡς Φιλομήλου υἱός· ὁ γὰρ Πάτροκλος ὁ ἑταῖρος δηλοῦσθαι, ὡς Φιλομήλας υἱός· ἔστι τι τὸ κατὰ μητέρων ὁ σχηματίζει ὁ Πίνδαρος· ἐπεὶ τὸ ἐπιφερόμενον ὑπ' οἰκεῖον ἦν ἐπὶ Πατρόκλου· "Καὶ δ' ἴσαλε κρατερῶς, καὶ χαίρεντο δὲ πάντες Ἀχαιοί." Καὶ ἐν Ἰλιάδι δὲ λέγει, [*Iliad.* ρ'. 670.] "Νῦν τις ἐνιπὴς Πατροκλῆος δειλοῖο Μνησάσθω." *Schol.* Similiter *Heraclides Ponticus*; Σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι τὰ δεῖν [illegible] ὑπ' αὐτῶν [illegible] τὶς ὅλως παρ' αὐτῷ. Quem ad locum *Editor* in annotationibus; "Canon," inquit, "diligentèr notandus, qui apud Homerum "ubique, ni longè fallor, versus reperietur." Vide suprà ad δ'. 343. *Barnesius* autem hanc observationem fundamento haud satis firmo niti contendit. "*Homero* enim," inquit, "*Apollo* Λητοΐδης audit; ut *Hesiodo*, "Scut. *Herc. ver.* 229. Δαναΐδης Περσεὺς di-"citur, et Κύκνου Φιλλυρίδης, &c." Sed quamvis hoc fiat apud alios Poëtas, apud *Homerum* tamen totâ in *Iliade* atque *Odysseâ* nusquam reperitur hujusmodi exemplum. Nam vox Λητοΐδης, cujus meminit *Barnesius*, in *Hymno ad Mercurium* tantùm occurrit, qui an reverà sit *Homeri*, dubitari potest. Porrò admodùm videtur absimile Poëtam, qui *Patroclum* in *Iliade* et *Odysseâ* Μενοιτιάδην plus vicies appellârat, duobus in locis Φιλομηλείδην nominâsse.

Digitized by Google

Κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοὶ 135
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
Πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἄν ἔγωγε
Ἄλλα παρὲξ εἴποιμι παραβλιδὸν, οὐδ' ἀπατήσω·
Ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς, 140
Τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ἐπιχεύσω.
Φῆ μιν ὅδ' ἐν νήσῳ ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκη
Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι, 145
Οἳ καί μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Ὣς ἔφατ' Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος.
Ταῦτα τελευτήσας νεόμην· ὄδασαν δέ μοι ἦρον
Ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
Ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε, 150
Τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος δαιμόνιος·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,

"Prostravitque fortitèr, gavisi autem sunt omnes Achivi; 135
"Talis existens cum procis versaretur Ulysses:
"Omnes et brevis-ævi fierent et amararum-nuptiarum.
"Ista autem, quæ me interrogas et precaris, non ego
"Alia præter *verum* dixero declinando, neque decipiam;
"Sed quæ quidem mihi dixit senex marinus verax, 140
"Horum nullum tibi ego celabo verbum, neque occultabo.
"Dixit ipsum is in insulâ *se* vidisse duros dolores habentem,
"Nymphæ in ædibus Calypsûs, quæ ipsum necessitate
"Detinet: ille verò non potest suam in patriam terram venire:
"Non enim ei adsunt naves remigio-instructæ et socii, 145
"Qui et ipsum convehant super lata dorsa maris."
"Sic dixit Atrides hastâ-inclytus Menelaus.
"His peractis redii; dederunt autem mihi ventum secundum
"Immortales, qui me celeritèr dilectam in patriam miserunt."
Sic dixit: ei autem animum in pectoribus commovebat. 150
Inter hos verò et locutus est Theoclymenus deo-par;
"O uxor veneranda Laërtiadæ Ulyssis,

Ver. 139. —— *παρὲξ εἴποιμι παραβλιδὸν.*] Vide suprà ad γ'. 348.

Ver. 141. *Τῶν οὐδὲν.*] Ita edidit *Barnesius* ex *Eustathio*, et ex *Odyss.* γ'. 350. ubi Vulgati ita habent. Atque ita hîc in pluribus Codicibus scriptum reperit *Tho. Bentleius.* Vulgati hoc in loco habent *Ὧν οὐδὲν.*

Ver. 142. et 153. —— *ὦδ'.*] *Al. ὦγ'.*

Ibid. —— *ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα.*] *Henricus Stephanus* ex *Eustathio* inter varias lectiones retulit *θαλερὸν κατὰ δάκρυα χέοντα* ut suprà γ'. 556. ubi occurrit hic locus. Undè legi posse conjicit *Barnesius*, *ἰδέειν κατὰ δάκρυα χέοντα.*

Ver. 146. *Οἵ κεν καὶ μιν πέμψειαν.*] *Al. Οἵ κε μιν.* Quæ et potior videtur lectio. Atque ita omnibus legitur suprà γ'. 560. *δ.* 17. 142. ubi idem versus occurrit.

Ver. 147. —— *δουρικλυτὸς.*] Ita rectè *Barnesius.* Quocum et hîc facit MS. à *Tho. Bentleio* collatus. Vide suprà ad *ver.* 116. *Al. δουρικλυτὸς.*

Ver. 150. —— *ἐν στήθεσσιν ὄρνυ.*] *Al. ἐν στήθεσ' ἐτάρξε.*

Digitized by Google

Ἤτοι ὅδ' ὁ νόσφι σέθεν ἐρεῶ δὲ σύ μοι θεσπέσιον·
Ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ' ἐπικεύσω.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἰστίη τ' Ὀδυσῆος ἀμώμητος, ἣν ἀφικάνω,
Ὡς ἦτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ
Ἥμενος, ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
Ἔστιν, ἀτὰρ μνηστῆρας κακὸν πάντεσσι φυτεύει.
Τοῖον ἐγὼν οἰωνὸν ἐυσσέλμῳ ἐπὶ νηὸς
Ἥμενος ἐφρασάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
Τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
Ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
Δίσκοισιν τέρποντο, καὶ αἰγανέῃσιν ἱέντες
Ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
Ἀλλ' ὅτε δὴ δειπνηστὸς ἔην, καὶ ἐπήλυθε μῆλα
Πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον, οἵ τοπάρος περ,

" Sanè ille non certè novit; meo autem attende sermoni:
" Verè enim tibi vaticinabor, neque occultabo.
" Sciat nunc Jupiter primùm deorum, hospitalisque mensa,
" Larque Ulyssis eximii, ad quem veni,
" Quod sanè Ulysses jam in patriâ terrâ
" Sedens, vel repens, hæc audiens mala opera,
" Est; at procis malum omnibus serit.
" Talem ego avem bonis transtris instructâ in navi
" Sedens observavi, et Telemacho proclamavi."
Hunc autem rursùs allocutus est prudens Penelope;
" Utinam enim hoc, hospes, verbum perfectum esset,
" Ita citò sentires amicitiamque, multaque dona,
" Ex me; ut aliquis te occurrens beatum diceret."
Sic hi quidem talia inter se loquebantur.
Proci autem ante Ulyssis domum
Discis delectabantur, et hastilibus jaculantes
In fabrefacto pavimento, ubi utique anteà insolentiam exercebant,
Sed quandò jam cœnæ tempus erat, et advenerunt pecudes
Undique ex agris, agebant autem eas, qui scilicèt anteà;

Ver. 153. —— ἐμεῖο δὲ σύνθιο μῦθον.] *Al.* ἐμεῖο δὲ σήνθιο μύθων.

Ver. 156. Ἰστίη τ' Ὀδυσῆος.] Ita MS. à *Tho. Bentleio* collatus; et *Eustathius* in commentario: Atque ita in Omnibus scribitur infrà σ'. 304. ubi repetitur hic versus. Ita porrò scribendum contendit *Barnesius* suprà ξ. 159. Ipse tamen hoc in loco cum Vulgatis edidit Ἑστίη.

Ver. 158. —— πευθόμενος.] *Al.* πευσόμενος.

Ver. 160. Τοῖον.] *Al.* Οἶον.

Ibid. —— οἰωνὸν ἐυσσέλμῳ ἐπὶ νηὸς.] Suprà ε. 524. 531.

Ver. 166. —— μακαρίζοι.] *Al.* μακαρίζῃ.

Ver. 169. —— ἴχεσκον.] Vide suprà ad σ'. 241. et ad *Il.* β'. 221.

Ver. 170. —— δειπνηστὸς.] Βαρυτόνως μὲν, ἡ τῷ δείπνῳ ὥρα· ἐξυτόνως δὲ, τὸ δεῖπνον. *Schol. Al.* δείπνηστος, et δειπνηστὸς.

Digitized by Google

Καὶ τότε δή σφιν ἔειπε Μέδων, (ὃς γάρ ῥα μάλιστα
Ἥνδανε κηρύκων, καί σφιν παρεγίνετο δαιτί·)
Κῆροι, ἐπειδὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
Ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα· 175
Οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν, πείθοντό τε μύθῳ.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
Χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
Οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας· 180
Ἱέρευον δὲ σύας σιάλους, καὶ βοῦν ἀγελαίην,
Δαῖτ' ἐντυνόμενοι. Τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
Ὠτρύνοντ' Ὀδυσεύς τ' ἰέναι καὶ δῖος ὑφορβός.
Τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·
Ξεῖν', ἐπεὶ ἄρ δὴ πειτα πόλινδ' ἰέναι μενεαίνεις 185
Σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός, ἦ σ' ἂν ἔγωγε

Tunc demùm ipsis dixit Medon; (hic etenim maximè
Placebat præconum, et ipsis aderat in convivio:)
" Juvenes, postquam jam omnes delectati estis mente certaminibus,
" Ite ad ædes, ut paremus convivium: 175
" Nequaquam enim malum *est* in tempore coenam capere."
Sic dixit: illi autem ubi surrexissent, ibant, parebantque sermoni.
At postquam venissent *in* ædes habitantibus commodas,
Lænas quidem deposuerunt in sedilibusque soliisque;
Hi autem mactabant oves magnas et pingues capras; 180
Mactabant porrò sues pingues, et bovem armentalem,
Convivium parantes. At ex agro ad-urbem
Properabant ire Ulyssesque et nobilis subulcus.
Illis autem sermonem exordiebatur subulcus, princeps virorum;
" Hospes, quoniam jam demùm ad-urbem ire cupis 185
" Hodiè, sicut jussit dominus meus; certè te ego

Ver. 174. —— ἀέθλοις.] *Al.* ἀέθλων.

Ver. 176. Οὐ μὲν γάρ τι χέρειον.] Simili ferè modo usurpatur vox ἄμεινον apud *Hesiodum*;

Μηδ' ἰσ' ἀκινήτοισι καθήζειν, ἐ γὰρ ἄμεινον.
Ἔργ. ἐ Ἡμερ. l. 368.

Ver. 177. —— ἔβαν, πείθοντο τε μύθῳ.] *Al.* ἔβαν οἴκονδε ἕκαστος· *Al.* ἔβαν ποτὶ οἶκον ἕκαστος.

Ver. 181. Ἱέρευον δὲ σύας.] *Barnesius* legi posse conjicit Ἱέρευον quo modo fortè Ἱέρευον pronuntiabatur. Quod enim de hoc versu in annotationibus ad *Odyss.* β'. 289. observat *Barnesius*, nempè *Anapæstum* habere in *Primo* loco; id verò in hujusmodi Carmine (ut opinor) ferri non potest.

Ver. 185. —— δὴ πειτα.] Vide suprà ad ἐ. 290.

Ibid. —— ἰέναι.] *Al.* ἴμεναι.

Ver. 186. —— ἦ σ' ἂν ἔγωγε Αὐτῷ βελοίμην.] " Monet (inquit *Spondanus*) hospitem " Eumæus de profectione ad urbem juxta " Telemachi mandatum, cui se obtempe- " rare malle docet, quàm propriis studere " commodis. —— Ubi observandum est op- " timi et fidelis servi exemplum, qui sua " negotia domini negotiis postponit." Minùs rectè. Non enim de suo ipsius commodo cogitat *Eumæus*, sed de salute hospitis; cui apud se manere multò tutiùs arbitratur, quàm ad urbem proficisci:

Ὦ μοι ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
Ἔπλετο; ἦ σύ γε πάγχυ λελάθεαι αὐτόθ' ὀλέσθαι. Suprà ἐ. 325.

Et *ver.* 334. *ejusdem libri*;

Ἀλλὰ μίν· ἐ γάρ τις τοι ἐνιᾶτας παρείσιν.

Digitized by Google

Αὐτῆ βυλοίμην σταθμῶν ῥυτῆρα γενέσθαι·
Ἀλλὰ τόν αἰδέομαι, καὶ δείδια, μή μοι ὀπίσσω
Νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάπτων εἰσὶν ὁμοκλαί.
Ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα 190
Ἦμαρ· ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Γιγνώσκω, φρονέων· τά γε δὴ νοέοντι κελεύεις·
Ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
Δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστὶν, 195
Σκηρίπτεσθ', ἐπεὶ φάτ' ἀρισφαλὲ' ἔμμεναι οὐδόν.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀειπέα βάλλετο πήρην
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκεν.
Τὼ βήτην· σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες 200
Ῥύατ' ὄπισθε μένοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄναικτα,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
Σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῖ εἵματα ἕστο.

" Hîc mallem stabulorum custodem factum esse:
" Sed illum vereor, et timeo, nè me posteà
" Objurget: severæ etenim dominorum sunt increpationes.
" Sed age nunc eamus; jam enim præteriit maximâ-ex-parte 190
" Dies: at cito ad vesperam frigidius erit."
Hunc autem respondens allocutus est solers Ulysses;
" Cognosces, sapio; hæc jam intelligenti præcipis:
" Sed eamus; tu autem deindè perpetuò præi.
" Da verò mihi, sicubi baculum tibi cæsum est, 195
" Ad-innitendum; quoniam dicitis valdè lubricam esse viam."
Dixit utique; et circum humeros turpem sibi-jaciebat peram
Crebris-locis laceram: inerat verò tortile lorum.
Eumæus autem ei baculum animo-gratum dedit.
Hi iverunt: stabulum verò canes et pastores viri 200
Custodiebant ponè manentes; hic autem in urbem ducebat regem,
Mendico misero similem et seni,
Baculo innitentem: turpia autem circum corpus vestimenta indutus erat.

Ver. 187. ——— γενέσθαι.] *Al.* λιτέσθαι. Quam lectionem huic loco aptiorem existimat *Barnesius*. Atque ita habent MSS. duo à *Tho. Bentleio* collati.

Ver. 188. ——— αἰδέομαι, ᾗ δείδια.] Vide ad *Il. α.* 37. et *γ'.* 736.

Ver. 189. ——— χαλεπαὶ δέ τ' ἀνάπτων ἐσὶν ὁμοκλαί.]

Διὰ τὰ τυραννικὰ λήμματα ———.
Euripid. Medea, ver. 119.

Gravis ira regum est semper ———.
Senec. Medea, ver. 494.

Cæterùm *Scholiastes* ad *Æschyl. Prometh. ver.* 35. hoc in loco pro ὁμοκλαὶ videtur legisse ἀντιλαί.

Ver. 190. ——— δὴ γὰρ μέμβλωκε μάλιστα Ἦμαρ.] Τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν. *Schol.*

Nunc adeò, melior quoniam pars acta diei. *Æn.* IX. 156.

Ver. 196. ——— ἀρισφαλὲ' ἔμμεναι οὐδόν.] Καὶ ἄρα τὸ οὐδὸν, ἀντὶ τοῦ οὐδὸν, ἐπιτιθέασι Αἰολικῶς τοῦ "ν" ἀπωξὸ δὲ, φασὶν, ἐνταῦθα εἶπε τὴν λέξιν ᾗ δίδωσιν ἀφορμὴν ἱστορολογίας τῷ ὠδῷ· ᾗ ἐκεῖνος γὰρ ὠδὸς εἰς οἶκον ἐστὶν. Ἡρακλείδης δ' ἐν οἷς περὶ δυσκλίτων ῥημάτων γράφει, "Ἀρισφαλὲς ἔμμεναι ὀδὰς" φησὶ γράφεσθαι ἐκ ἀλλαὶς ὑπό τινων. *Eustath.*

Ver. 199. ——— ἄρα.] *Prout postuleverat Ulysses*; ——— suprà *ver.* 195.

Digitized by Google

Ἀλλ' ὅτε δὴ στείχοιτες ὁδὸν κατὰ πεπταλόεσσαν
Ἄστεος ἐγγὺς ἵκοιτο, καὶ ἐπὶ κρήνην ἀφίκοιτο 205
Τυκτὴν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
Τὴν ποίησ' Ἴθακος, καὶ Νήριτος, ἠδὲ Πολύκτωρ·
Ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ὄλκος
Πάντοσε κυκλότερες, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
Ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἐφύπερθε τέτυκτο 210
Νυμφάων, ὅθι πάντες ἐπιρρέζεσκον ὁδῖται·
Ἔνθα σφέας ἐπίχανε υἱὸς Δολίοιο Μελανθεὺς,
Αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι·
Δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο κομῆτε.
Τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνομάζων 215
Ἔκπαγλον καὶ ἀεικές· (ὄρινε δὲ κῆρ Ὀδυσῆος·)
Νῦν μὲν δὴ μάλα τάγχυ κακὸς κακὸν ἡγηλάζει·
Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

Sed quandò jam euntes viam per asperam
Urbem prope erant, ~~et ad fontem pervenerant~~ 205
Fabrefactum, pulchrè-fluentem, undè aquabantur cives,
Quem fecit Ithacus, et Neritus, et Polyctor;
Circùm verò alnorum aquis-nutritarum erat nemus
Undique rotundum; frigida autem defluebat aqua
Altè ex petrâ: ara autem suprà facta erat 210
Nympharum, ubi omnes sacra-faciebant viatores:
Illic in ipsos incidit filius Dolii Melantheus,
Capras agens, quæ omnibus antecellebant gregibus,
Cœnam procis; duo autem unâ sequebantur pastores.
Illos autem conspicatus increpuit, verbumque dixit et compellavit 215
Vehementèr et indignè; (commovebat autem cor Ulyssis:)
" Nunc quidem omninò malus malum ducit:
" Adeò semper similem ducit deus ad similem.

Ver. 206. —— καλλίροον.] *Al.* καλλίῤῥοον. Quæ si vera lectio, pronuntiandum καλλίῤῥοον uti et notavit *Barnesius*.

Ver. 207. —— Ἴθακος, καὶ Νήριτος.] Πτερελάου παῖδες, Ἴθακος καὶ Νήριτος, ἀπὸ Δὸς ἔχοντες τὸ γένος, ἅτινα τὴν Κεφαλληνίαν ἀρέσαν δι' αὐτοῖς τοῦτο, καταλιπόντες τὰ ἐφίστερα ἤθη· παραχίνονται, ἐς τὴν Ἰθάκην· καὶ τόπον ἰδόντες εὐ κατοικούμενος ἐς συνοικισμὸν, διὰ τὸ τῶν παρατιθεμένων ὑψηλότερον εἶναι, καὶ κατοικήσαντες δίχα, τὴν Ἰθάκην ἔκτισαν· καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐκαλέσθη Ἰθάκη· τὸ δὲ παρ' ἀκρωτήριον ὄρος ἐκ τοῦ Νηρίου Νήριτον. Ἡ δὲ ἱστορία παρὰ Ἀπολλόδ. *Schol.*

Ver. 208. —— αἰγείρων ὑδατοτρεφέων.]

Populus in fluviis ——.

Virgil. Eclog. VII. 66.

Ibid. —— ἦν.] *Al.* ἦν.

Ver. 210. —— ἐφύπερθε.] *Al.* ἐφ' ὕπερθε.

Ver. 211. —— ἐπιρρέζεσκον.] *Al.* ἐπιῤῥέζεσκον et ἐπὶ ῥέζεσκον. Quæ omnia eodem modo pronuntianda. Vide et *Il.* β'. 221.

Ver. 212. —— σφέας.] *Al.* σφᾶς.

Ver. 218. Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.] Πότερον γὰρ ἐστὶ φιλία ἐν τοῖς ὁμοίοις, ἢ τοῦτο δοκεῖ ἐξ λέξεως; Καὶ γὰρ πολλοὶ, φασὶ, παρὰ πολλοὺς ἔρχονται· ἐξ. " Αἰεὶ τοι τὸν " ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον." *Arist. Ethic. Magn. lib.* II. *cap.* 11. Et *Rhetoric. lib.* I. *cap.* 8. Καὶ ἐπὶ τὰ κατὰ φύσιν ἴδε, τὰ συγγενῆ δὶ καὶ φύσιν ἀλλήλοις ἐστὶ, ἅπαντα τὰ συγγενῆ ἐξ ὅμοια ἀλλήλοις· ὡς ἐστοτοὶ ἀεὶ —— ὅθεν καὶ αἱ παροιμίαι εἴρηνται, ὡς " ἥλιξ ἥλικα " τέρπει" καὶ, " αἰεὶ τὸν ὅμοιον." [*Al.* " ὡς " αἰεὶ τῷ ὁμοίῳ φίλον τὸ ὅμοιον."]. Vide et *Eundem, Ethic. Nicom. lib.* VIII. *cap.* 2. et *Ethic. Eudem. lib.* VII. *cap.* 1. item *Platonem, in Lyside*: ubi notantium, quod jam legimus Ὡς αἰεὶ τὸν ὁμοῖον ὅτι. legens *Plat*

Digitized by Google

Πῇ δὴ τόνδε μολοβρὸν ἄγεις; ἀμέγαρτε συβῶτα,
Πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα; 220
Ὃς πολλῆσι φλιῇσι παραστὰς φλίψεται ὤμους,
Αἰτίζων ἀπόλας, οὐκ ἄορας, οὐδὲ λέβητας·
Τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι,
Σηποπόρον τ' ἔμεναι, θαλλόν τ' ἐρίφοισι φορῆναι,
Καί κεν ὀρὸν πίνων, μεγάλην ἐπιγινέοιο θείτο· 225
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει

" Quonàm jam hunc voracem ducis, immanis subulce,
" Mendicum molestum, conviviorum contaminatorem? 220
" Qui multis postibus astans atteret humeros,
" Petens frusta, non tripodes, neque lebetes:
" Hunc si mihi dares stabulorum custodem fieri,
" Chortisque-curator ut-sit, frondemque hœdis ferat;
" Etiam serum bibens, magnum sibi femur efficeret. 225
" Sed quandoquidem sanè opera mala didicit, non volet

tuem aut memoritèr citasse, Αἰεὶ τοι τὸν ἄμοιον &c. Quo modo et citat *Aristoteles Ethic. Magn. lib.* II. *cap.* 11.

Ibid. —— ὡς τὸν ὄμοιον.] Ἤγου ἐς τὸν ὤμοιον, *Eustath.* Eodem modo usurpari videtur vocula ὡς apud *Euripidem*;

Καὶ δεῦρο γ' ὡς σὲ κερδῶ ἰζόντα μολῶν.
Hecuba, ver. 993.

Et apud *Aristophanem*;

Ἐπιρεπόμενος ἢν ᾠχόμην ὡς τὸν θεὸν.
Plutus, ver. 32.

Apud *Homerum* tamen, ut opinor nusquam alibi reperitur hujusmodi exemplum. Cæterùm *Aristoteles, Ethic. Eudem. lib.* VII. *cap.* 1. citat, ἐς τὸν ὄμοιον.

Ver. 219. —— ἀμέγαρτε συβῶτα.] Ἢ ἐν τῇ βωτῶν ἀφθονίᾳ, ὁ δηλοῖ τὸ καλῶς πράττειν· ἢ ᾗ οὐ ἂν τις φθονήσειε τῷ συβωτεῖν· οἷον, ἄξιε τῷ συφορεῖν. *Schol.* Easdemque ferè interpretationes affert *Eustathius*. Atqui vox ἀμέγαρτος alibi apud Poëtam "*gravis*," aut "*ingratus*," denotare videtur;

—— πόνον δ' ἀμέγαρτον ὤφελλεν.
Iliad. β'. 420.

Ὀρσάς ἀγγαλίων ἀνίμων ἀμέγαρτον ἀέτμην.
Odyss. λ'. 399.

Ver. 220. —— ἀνιηρὸν.] Similitèrque infrà *ver.* 377. ἀνιηρῷ· Vide ad *Il.* α. 24.

Ibid. —— δαιτῶν ἀπολυμαντῆρα.] Λυμεῶνα τῶν ὠμοχίων ἢ, τὸν τὰ καθάρματα ἀποφερόμενον [ita *Barnesius* pro vulgato οἱ τὰ καθάρματα προσφερόμενοι] τῶν ὠμοχίων. *Schol.*

Ver. 221. —— φλιῇσι.] Τοῖς παραστάσεσι τῶν θυρῶν. *Schol.*

Ibid. —— φλιῇσι —— φλίψεται ὤμους.] Ὃς ἐκ ἰκρήσεως τῶν φλιῶν. *Schol.*

Ver. 222. Αἰτίζων ἀπόλας.] Ὁ μὲν γὰρ Ὀδυσσεὺς ἀνεκαλεῖτο παρὰ τοῖς μνηστῆρσι, "Αἰτίζων ἀπόλας, οὐκ ἄορας, οὐδὲ λέβητας." Μεγαλοψυχίας γὰρ ἀγῶνα σημεῖον, ὡς τὸ διδόναι τι τῶν μεγάλων, καὶ τὸ αἰτεῖν. *Plutarch. de Auditione.* Porrò hinc apud *Callimachum*;

Αἰτίζων ἀπόλας τε καὶ ἐκβόλα λύματα δαιτὸς.
Hymn. in Cererem, ver. 115.

Ibid. —— οὐκ ἄορας.] Οἱ μὲν χωρὶς τοῦ "σ," τὰ ξίφη, παρὰ τὸ ἄορ· οἱ δὲ μετὰ τοῦ "σ," τρίποδας ἄορας· οἱ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμβανομένας ἆθλα γυναῖκας· λέγει γὰρ τοι, [*Il.* χ'. 164.] "Ἡ τρίπος, ἢ γυνὴ" ἢ ἄορας, οἱ δὲ τὰς τρίποδας τὰς ὅσα ἔχοντας ἐξ ὧν αἴρεσθαι δύνανται. *Schol.*

Ver. 223. Τόν κ' εἰ μοι δοίης.] Malè hìc *Spondanus*; "Conatur," inquit, "eum si-"bi in stabulorum custodem comparare, "prætexens (*ver.* 230.) quantas sit passu-"rus à procis molestias, si se ipsis obtule-"rit." Quasi scilicèt hoc *reverà* peteret *Melanthius*.

Ibid. —— γενέσθαι.] *Al.* λιπέσθαι.

Ver. 224. —— θαλλὸν τ' ἐρίφοισι φορῆναι.] Πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται· ὑπὸ τῶν Ἀττικῶν δὲ, μόνος ὁ τῆς ἐλαίας. *Schol.*

Ver. 225. —— ὀρὸν.] Ἀντὶ τοῦ ὄρρον, τὴν ὑδατώδη καὶ ἐφθαρμένην ὑποστάθμην τοῦ γάλακτος· ἢ τὸ ἄπηκτον γάλα, τὸ ὑπολειπόμενον ὑδαρῶδες. *Schol.*

Ibid. —— ἐπιγινέοιο.] Τὴν τοῦ σώματος εὐεξίαν· ἀπὸ μέρους, τοῦ κατὰ τὸ γόνυ δέρματος, τὸ τῶν ἰσάμαινιν· ἢ τὸ ὑπεράνω τοῦ γόνατος. *Schol.* Vide infrà ad σ'. 73.

Ver. 226. —— ἔργα κάκ' ἔμμαθεν.] Τὸ δὲ "ἔργα κάκ' ἔμαθε," διαλέγει τὸ μὴ ἐν τῷ ἔμμαθε, κατὰ τὸν Παλαιῶν. *Eustath.* Eadem scilicèt ratione ac ἔλαθε, ἐλιπάνθη, &c.

Ibid. —— οὐκ ἐθελήσει.] Ἔργον ἐποιήσεθαι. Καθὰ ὁ ἀγαθὸς οὐ βάδον ἀλλαύνεται, ἐπεὶ μὴ θέλει ἔμμεναι ἐσθλός· θέτος οὐδὲ ὁ φαῦλος, οὐκ ἔργα κάκ' ἔμαθε. Δυσκαθέλκετοι γὰρ, ἐπὶ δ' ὅστε μὴ κατὰθέλκετοι, ὥσπερ αἱ ἀγκάλαι ἔξω, ἔτοι δὲ καὶ φαῦλοι. *Eustath.*

Digitized by Google

Ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
Βέλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
Ἀλλ' ἔκ τοι ἐρέω, τόδε καὶ τετελεσμένον ἔσται,
Αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο, 230
Πολλά οἱ ἀμφὶ κάρῃ σφέλα ἀνδρῶν ἐκ παλαμάων
Πλευραὶ ἀποτρίψεσι δόμον κατὰ βαλλομένοιο.
Ὣς φάτο· καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
Ἰσχίῳ· ἠδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
Ἀλλ' ἔμεν' ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς, 235
Ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
Ἦ πρὸς γῆν ἐλάσειε κάρῃ, ἀμφ' ἔδας ἀείρας.
Ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
Νείκεσεν ἄντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών·
Νύμφαι κρηναῖαι, κοῦραι Διὸς, εἴποτ' Ὀδυσσεὺς 240

" Opus obire, sed mendicans per populum
" Mavult petendo pascere suam ventrem insatiabilem.
" Verùm tibi edico, quod et perfectum erit;
" Si iverit ad ædes Ulyssis divini, 230
" Multa ei circum caput scabella virorum ex manibus
" Latera deterent per domum percussi."
Sic dixit; et accedens *ei* calce insultavit per-insipientiam
In-coxam, neque ipsum extra viam dimovit,
Sed *is* manebat firmè: deliberabat autem Ulysses, 235
Utrùm irruens baculo animum *ei* eriperet,
An ad terram dejiceret caput, circa solum ubi-sustulerat:
Sed pertulit, animoque cohibuit-se; illum verò subulcus
Increpuit contrà intuitus; valdèque precatus est, manibus sublatis;
" Nymphæ fontanæ, filiæ Jovis, si unquam Ulysses 240

Ver. 228. —— ἄναλ]τον.] Ἀτλήρω]τον. *Schol.*

Ver. 231. 232. Πολλὰ οἱ —— βαλλομένοιο.] Vide ad *Il.* ξ'. 141. et ad *Odyss. i.* 256.

Ibid. —— ἀμφὶ κάρῃ σφέλα ἀνδρῶν ἐκ παλαμάων Πλευραὶ ἀποτρίψεσι.] Φασὶ [οἱ Παλαιοὶ] τὸ " πολλὰ οἱ ἀμφὶ κάρῃ σφέλα &c." δηλοῦν ὅτι πολλὰ σφέλα κατὰ σκοπὸν μὲν ἀμφὶ τὸ τοῦ Ὀδυσσέως κάρη πεμπόμενα, τῇ δὲ τοῦ Ὀδυσσέως παρεκκλίσει ἐνσκήπτοντα ταῖς αὐτοῦ πλευραῖς, ἀποτρίψεσιν αἱ ὕπω πληκτόμεναι πλευραί. —— Ἔτι δὲ ᾗ ἄλλως ἑρμηνεύουσιν ὅτι πολλὰ σφέλα, τυτίσιν ὑποπόδια, ἤ καὶ ἁπλῶς βέλη τὰ δ' ὄντων, ἢ ξύλων, ἢ τοιούτων τινῶν, ἀμφὶ κάρῃ αἰρόμενα, τὸ τῶν βαλλόν]ων δηλαδὴ, ἀποτρίψεσιν αἱ τοῦ ξένου πλευραί· —— Ἕτεροι δὲ ἀμφικαρῆ γράφουσιν ἐν ἑνὶ μέρει λόγου ᾗ στιγματισμένως· ἵνα ἡ σφέλα, τυτίσιν ὑποπόδια, ἀμφικαρῆ, τὰ ἀμφικέφαλα, ὡς οἷον κεφαλὰς ἀμφοτέρωθεν ἔχοντα τὰς ἐν αὐτοῖς ἐξοχὰς ᾗ λαβάς. *Eustath.* Cæterùm nonnulli, notante ibidem *Eustathio*, hîc legunt Πλευρὰς ἀποτρίψεσι· Quam lectionem et in Editionibus nonnullis reperit *Barnesius*: sed hoc (ut opinor) ferri non potest. Quamvis enim, uti rectè notavit *Barnesius*, apud Scriptores *Doricos* hujusmodi Accusativi plurales [αὐτᾶς, βελᾶς, τροπᾶς, &c.] ultimam corripiant; apud *Homerum* tamen hoc nunquam fit. Vide ad *Il. α.* 51. et *β'.* 43.

Ver. 237. —— ἀμφ' ἔδας ἀείρας.] Apud *Eustathium* legitur et ἀμφυδὶς ἀείρας. Ἐξυλεύσατο (inquit) Ὀδυσσεὺς ἢ ἀνέλοι τὸν κοπὸν, ἢ ἀείρας ἀμφυδὶς, τυτίσιν ἐκ γῆς, πρὸς γῆν αὖθις ἐλάσειε τὴν ἐκείνου κεφαλὴν ἢ ᾗ ἄλλως, ἀείρας βάλῃ τὴν κεφαλὴν πρὸς γῆν ἀμφυδὶς. Porrò *Scholiastes* (quocum facit et MS. à *Tho. Bentleio* collatus), hîc legit ἀμφ' ἔδας ἐρείσας.

Ver. 239. Νείκεσεν ἄντα ἰδών.] *Al.* Νείκεσ' ἰς ἄντα ἰδών.

Ibid. —— μέσσῳ δ' εὔξατο, χεῖρας ἀνασχών.]

Et duplices cum voce manus ad sidera tendit. *Æn.* X. 667.

Ver. 240. Νύμφαι κρηναῖαι.] Ταύταις προσεύχεται, ἤτοι καθ' ὃ ἄγκυρος ἐστὶν· ἢ ὅτι τοῖς τὴν κρήνην προῄει. *Schol.*

Digitized by Google

Ὕμμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
Ἀρνῶν, ἠδ' ἐρίφων, τόδε μοι κρήηνατ' ἐέλδωρ,
Ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
Τῷ, κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
Τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰὲν 245
Ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Ὦ πόποι, οἷον ἔειπε κύων, ὀλοφωΐα εἰδώς;
Τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
Ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι. 250
Αἴ γὰρ Τηλέμαχον βάλοι ἀργυροτοξος Ἀπόλλων
Σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
Ὡς Ὀδυσῆϊ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.
Ὣς εἰπὼν, τοὺς μὲν λίπεν αὐτόθι, ἦκα κιόντας,

" Vobis femora combussit, coöperta pingui adipe,
" Agnorum et hœdorum, hoc mihi perficite votum,
" Ut veniat quidem ille vir, ducatque ipsum deus:
" Ita tibi fastus utique dissiparet omnes,
" Quos nunc contumeliosus fers, vagans semper 245
" Per urbem: at pecudes mali perdunt pastores."
Hunc autem rursùs allocutus est Melanthius, custos caprarum;
" Papæ! quale dixit canis, astutias callens?
" Quem aliquandò ego in navi bonis-transtris-instructâ nigrâ
" Agam longè ab-Ithacâ, ut mihi victum multum invenias. 250
" Utinam enim Telemachum interficeret argenteum-arcum-gerens Apollo
" Hodiè in ædibus, vel à procis domaretur,
" Sicut Ulyssi quidem procul periit reditus dies."
Sic locutus, hos quidem liquit illic, lentè euntes:

Ibid. —— εἶπον' Ὀδυσεὺς Ὕμμ' ἐπὶ μηρί' ἔκηε.]

Si qua tuis unquam pro me pater Hyrtacus aris
Dona tulit ———. *Æn.* IX. 406.
—— colui vestros si semper honores.
Æn. XII. 778.

Ver. 246. — μῆλα κακοὶ φθείρουσι νομῆες.] Πρόβατον μὲν, ὡς ἐπιστοτέλη, ὃ κακὸς ἔχει, τὴν νομὴν αἰτιώμεθα. *Socrates apud Xenophontem*, Οἰκονομ. λόγος.

Ibid. —— μῆλα.] Τινέσι τὰ ὑπὸ σε θρέμματα, τὰς αἶγας δηλαδὴ. *Eustath.*

Ver. 248. —— ὀλοφώϊα εἰδὼς.] " Le mot " ὀλοφώϊα (inquit Dna. *Dacier*) signifie *des* " *finesses, de ruses;* mais il signifie aussi " *des sentiments profonds, des moralitez, des* " *sentences,* δεινὰ βουλεύματα· et je l'ai pris " ici dans ce dernier sens." Minùs rectè. Semper enim apud Poëtam priori in sensu usurpatur hæc vox. Vide suprà ad γ'. 410. 460. et κ'. 289.

Ver. 250. Ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.] Locum hunc ita reddit Dna. *Dacier;* " *Je l'envoyerai bientôt sur un vaisseau* " *loin d'Ithaque, trafiquer pour moi.*" Et in annotationibus; " *Il faut lui donner un vais-* " *seau, et l'envoyer trafiquer; car avec l'esprit* " *qu'il a, il amassera de grandes richesses.*" At rectiùs *Spondanus;* " Eumæo," inquit, " minatur — se eum longè ab Ithacâ ab- " ducturum, ut eum vendat, et indè lu- " crum ingens faciat." Ita suprà ὁ. 451.

—— ὁ δ' ὑμῖν μυρίον ὤνιον
Ἄλφοι, ὅπη πιπράσκοιτε πρὸς ἀλλοδαποὺς ἀνθρώπους.

Et infrà ὑ. 383.

Ἐς Σικέλους πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι.

Atque ita hîc accipit *Eustathius;* Τὸ δὲ " βίοτον πολὺν ἄλφοι," ταὐτὸν ἐπὶ τῷ " ὤνον μυρίον ἄλφοι" ὃ πρὸ ὀλίγων ἐρρέθη, διὰ τὸν μικρὸν Εὔμαιον.

Ver. 251. Αἴ γὰρ Τηλέμαχον.] " Optat " *Telemacho* mortem subitaneam; vel ut à " Procis propediem occidatur." Ut rectè *Barnesius.* Vide suprà ad ὁ. 409.

Ver. 252. —— μεγάροις.] *Al.* μέγαρον.

Ver. 254. —— αὐτόθι.] *Al.* αὐτῷ.

Digitized by Google

Αὐτὰρ ὁ βῆ· μάλα δ' ἆψα δόμους ἵκανεν ἄνακτος. 255
Αὐτίκα δ' εἴσω ἷεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν,
Ἀντίον Εὐρυμάχου· τὸν γὰρ φίλεεσκε μάλιστα.
Τῷ παρὰ μὲν κρειῶν μοῖραν θέσαν, οἱ πονέοντο·
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Ἕδμεναι· ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς 260
Στήτην ἐρχομένω· περὶ δὲ σφέας ἤλυθ' ἰωὴ
Φόρμιγγος γλαφυρῆς· ὁσὰ γὰρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα καλ' Ὀδυσῆος,
Ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι. 265
Ἐξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ
Τοίχῳ καὶ θρυγεοῖσι, θύραι δ' εὐεργέες εἰσὶ
Δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
Γιγνώσκω δ', ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
Ἄνδρες· ἐπεὶ κνίσση μὲν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ 270

At ipse ivit; valdè autem celeriter ad ædes pervenit domini. 255
Statim autem introivit, et inter procos sedebat,
Ex-adverso Eurymachi; hunc enim diligebat maximè.
Ei quidem carnium partem apposuerunt *ii*, qui administrabant;
Panem verò venerandæ proma apposuit ferens,
Ad-comedendum: propè autem Ulysses et nobilis subulcus 260
Steterunt venientes: circum autem ipsos venit sonus
Citharæ cavæ; illis enim incipiebat canere
Phemius: at ille manu prehensum allocutus est subulcum;
" Eumæe, certè omninò utique hæ ædes pulchræ Ulyssis;
" Facilè autem sunt dignoscendæ etiam inter multas visu. 265
" Ex aliis aliæ sunt: ornata est autem ei aula
" Muro et septis; januæ verò fabrefactæ sunt
" Bifores: haud quisquam eam vir insultaverit.
" Cognosco autem, quòd multi in ipsâ convivia celebrant
" Viri; quoniam nidor quidem ascendit, cithara autem 270

Ver. 262. —— *ἀνὰ γὰρ σφισι βάλλετ' ἀείδειν.*] Vide suprà ad *α.* 155. *Al. ἀνὰ δὲ σφισι.*

Ver. 266. *Ἐξ ἑτέρων ἕτερ' ἐστίν.*] *Διὰ τούτων βύλεται δηλῶν, ὡς ὑ μονοστίγων τῶν βασιλείων ὄντων, ἀλλὰ πολυστίγων. Schol. Σχεδὸν γὰρ ἐν ἔοικεν — ὑδὲν μάτην ὁ ποιητὴς ὕτος* ["Ομηρος] *λέγειν· ἀλλὰ ᾗ σολὴν, ᾗ οἴκησιν, ᾗ δίαιταν πρὸς τὸ τῶν ἀνθρώπων ἦθος πολλάκις ἀπειπάζειν. — Μενέλαος δὲ φολλῇ ἀβροσύνῃ δῆλος ὁσᾶται,* [vide suprà ad *δ'.* 45.] *τοῦ Ταντα λίδων ἐξ αἵματος ὤν. Οὐ μὴν τὴν γε τῦ Ὀδυσσέως οἴκησιν ὑδαμῶς τέτοις ὁμοίαν, ἀλλ' ὡς ἂν ἀσφαλῶς ἀνδρὸς πεποίηκε, πρὸς αὐτὸ παρεσκευασμένε. Λέγει γὰρ οὕτως· "Ἐξ ἑτέρων "ἕτερ' ἐστὶν· ἐπήσκηται δὲ οἱ αὐλὴ Τοίχῳ θ' c. Dio. Orat.* II.

Ver. 267. —— *εὐεργέες.*] Apud *Dionem*, loco suprà citato *εὐερκέες.* Quo modo legit et MS. à *Tho. Bentleio* collatus.

Ver. 268. —— *οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.*] *Ἤτοι ὑπερηφανήσειεν, ἢ εὐχέρῶς ἐπιβελεύσειεν. Schol.*

Ver. 269. —— *ἐν αὐτῷ.*] *Dio, Orat.* XXXIII. videtur legisse *ἐν αὐτῇ.* " Patitur tamen," inquit *Fredericus Morellus* in annotationibus ad locum *Dionis*, " *Attica* ἐναλλαγὴ, dici *ἐν* " *αὐτῷ*, nempè *δώματι*, quamvis præest " *δώματα.*"

Ibid. —— *δαῖτα τίθενται.*] *Al. δαῖτα πίνονται.*

Ver. 270. —— *μὲν ἀνήνοθεν.*] *Al. μὲν ἐνήνοθεν.* Minùs rectè. Huic enim lectioni minùs aptè et adverso respondit sequens *ἐν δέ τε.*

Digitized by Google

Ἠτύει, ἦν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρῃ.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ῥεῖ ἔγνως· ἐπεὶ οὐδὲ τά τ' ἄλλα περ ἔσσ' ἀνοήμων.
Ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
Ἠὲ σὺ πρῶτος ἔπελθε δόμους εἰς κεκτεάοντας, 275
Δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθε·
Μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκποσθε νοήσας
Ἢ βάλῃ, ἢ ἐλάσῃ· τάδε σε φράζεσθαι ἄνωγα.
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς· 280
Γιγνώσκω, φρονέων· τά γε δὴ νοέοντι κελεύεις·
Ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ.
Οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων·
Τολμήεις μοι θυμός, ἐπεὶ πολλὰ κακὰ πολλὰ πέπασθαι
Κύμασι καὶ πολέμῳ· μετὰ καὶ τάδε τοῖσι γενέσθω. 285

" Sonat, quam utique convivio dii fecerunt sociam."
Hunc autem respondens allocutus es, Eumæe subulce;
" Facilè nôsti; quippè neque in aliis rebus quidem es stultus.
" Sed age jam consultemus, quomodo sint hæc opera.
" Vel tu primus ingredere ædes habitantibus commodas, 275
" Inferque te procis; ego autem relinquar hîc:
" Sive vis, mane; ego verò ibo præ:
" Neque tu morare, nè quis te extrà conspicatus
" Vel percutiat, vel pellat; hæc te considerare jubeo."
Huic autem respondit deindè patiens nobilis Ulysses; 280
" Cognosco, sapio; hæc jam intelligenti præcipis:
" Sed i præ, ego autem relinquar hîc,
" Non enim omninò plagarum inscius sum, neque ictuum,
" Patiens mihi animus, quoniam mala multa passus sum
" Undis et bello; cum illisset hoc quoque fiat. 285

Ver. 271. —— ἦν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρῃ.] Ita suprà θ'. 99. ——

Φόρμιγγος θ', ἣ δαιτὶ συνήορος ἐστὶ θαλείῃ.

Et infrà φ'. 430.

Μολπῆς θ' φόρμιγγι· τὰ γὰρ τ' ἀναθήματα δαιτός.

Ἔοικε καὶ Ὅμηρος διαστῆσαι τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν, λέγων· " Φόρμιγγος θ', " ἣν δαιτὶ θεὸ ποίησαν ἑταίρῳ." Ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. Ἣν δ', ἀς ἔφην, τύπον ἐνεμείναμεν, πρῶτον μὲν ὅτως ἕκαστος τῶν ἐς μεθὴν καὶ πλήρωσιν ὁρμωμένων ἐστεφ λαμβάνῃ τῆς ὕδρας, καὶ τῶν ἀναπαμάτων, τὴν Μουσικὴν οἷδ' ὅτι τὴν αἰθάδειαν πρῶτον. Παραιρεμένη γὰρ τὴν ἐνθύμησιν, ποιεῖ πρόσωπα, καὶ χορὸν ἐλευθέρων. *Athenæus, lib.* XIV. *cap.* 6. Ubi notandum, *Athenæum* hîc legisse, Φόρμιγγος θ', ἣν δαιτὶ, &c. Quo modo etiam et *Scholiastes in Pindar. Nemeor. Od.* IX. *ver.* 18. ex θ', ut videtur, suprà 99. Vide et infrà ad *ver.* 285. item suprà ad *ά.* 152.

Ver. 276. Δύσεο.] Vide ad *Π. ί.* 105.

Ver. 279. Ἢ βάλῃ, ἢ ἐλάσῃ.] Τὸ δὲ, " ἢ " βάλῃ, ἢ ἐλάσῃ," συνίστησι ἐγγὺς σύλῃ, διὰ " φορὰν συνεθῆ δηλοῦσι. *Eustath.* Vide ad *Π. ρ'.* 86.

Ver. 281. —— τά γε δὴ νοέοντι κελεύεις.] Ita restituit *Barnesius* ex *Eustathii* commentario, et ex *Odyss.* σ'. 136. et ρ'. 193. ubi Vulgati hoc modo legunt. Cumque *Barnesio* facit et MS. à *Tho. Bentleio* coll tus. *Vulgg.* hîc, τά γε δὴ φρονέοντι κελεύεις. Quod propter præcedentem φρονέων minùs placet. Porrò apud *Eustathium* legitur τάδε δὴ. Vide ad *Il.* ν'. 344. et ὁ. 11.

Ver. 284. Τολμήεις μοι θυμὸς, ἐπεὶ πολλὰ πολλὰ πέπασθα.] Δοκεῖ δὲ ἡ ἐμπειρία ἡ περὶ ἕκαστα, ἀνδρία τις εἶναι. *Aristot. Ethic. Nicom. lib.* III. *cap.* 11.

Ver. 285. —— μετὰ τ'.] *Al.* μετὰ δὴ.

Digitized by Google

Γαστέρα δ' οὔπως ἐστὶν ἀποκρύψαι μεμαυῖαν,
Οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι·
Τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὀπλίσσονται
Πόντον ἐπ' ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον· 290
Ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν
Ἄργος Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς
Θρέψε μέν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱρὴν
Ὤιχετο· τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
Αἶγας ἐπ' ἀγροτέρας, ἠδὲ πρόκας, ἠδὲ λαγωούς. 295
Δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
Ἐν πολλῇ κόπρῳ, ἣ οἱ προπάροιθε θυράων,
Ἡμιόνων τε, βοῶν τε, ἅλις πέχυτ' ὄφρ' ἂν ἄγοιεν
Δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες·
Ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραίστέων. 300
Δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,

" Ventrem autem haudquaquam licet abscondere avidum,
" Perditum, qui multa mala hominibus dat:
" Cujus gratiâ et naves bonis transtris instructæ armantur,
" Pontum super infructuosum, mala inimicis ferentes."
Sic hi quidem talia inter se dicebant: 290
Canis autem caputque et aures jacens erexit
Argus Ulyssis malorum-patientis, quem scilicèt quondam ipse
Nutrivit quidem, non verò eo fruitus est; priùs nempè in Ilium sacrum
Ivit: hunc autem anteà ducere solebant juvenes viri
Capras in sylvestres, et cervos, et lepores. 295
Tunc demùm jacebat neglectus, absente domino,
In multo stercore, quod ei ante fores
Mulorumque, boumque, abundè fusum erat; donec auferrent
Servi Ulyssis prædium magnum stercoraturi:
Illic canis jacebat Argus, plenus ricinorum. 300
Tunc demùm, ut agnovit Ulyssem propè existentem,

Ver. 286. Γαστέρα δ' ὅπως ἐστὶν ἀποκρύψαι.] Ὁμήρου λέγοντος· " Γαστέρα δ' οὔπως ἐστὶν ἀπο- " πλῆσαι μεμαυῖαν, Οὐλομένην, ὅτε." Εὐριπίδης ποιεῖ·

" Νικᾶ δὲ χρεία μὲν κακῶν τ' ὀλομένη
" Γαστὴρ, ἀφ' ἧς δὴ πάντα γίγνε[ται κακὰ."
Clemens Alexandrin. Strom. VI.

Ubi notandum pro ἀποκρύψαι, citâsse *Clementem*, ἀποπλῆσαι. Ita suprà ἡ. 216.

Οὐ γάρ τι συγεῖν ἐπὶ γαστέρι κύν[ερον ἄλλο
Ἔπλε[ο, ἢ τ' ἐπέλευσεν ἵ[ο μνήσασθαι ἀνάγκη.

Porrò haud dissimilitèr *Seneca*; " Cum " ventre humano tibi negotium est: nec " rationem patitur, nec æquitate mitiga- " tur, nec ullâ prece flectitur populus esu- " riens." *De Brevitate Vitæ*, § 18. Ubi hunc *Homeri* locum citat *Lipsius*.

Ver. 288. —— ὀπλίσσονται.] MS. à *Tho. Bentleio* collatus legit ὀπλίζονται. Quæ et potior videtur lectio.

Ver. 292. —— ἥν ῥά.] *Quem scilicèt* ——.

Ver. 293. Θρέψε μὲν, οὐδ' ἀπόνητο.] Vide infrà ad *ver.* 313.

Ver. 296. —— ἀποιχομένοιο ἄνακτος.] *Al.* ἀποιχομένου Ὀδυσῆος.

Ver. 299. —— κοπρήσοντες.] Apud *Etymolog. Magn.* notante *Barnesio*, κοπρίσοντες. Quod ex analogiâ antepenultimam corripere debet. Vide ad *Il. ά.* 140.

Ver. 300. —— ἐνίπλειος κυνοραίστων.] Κυνοραῖσται δὲ — οἱ τὰς κύνας ῥαίοντες· ἐξ οὗ καὶ διαλυσιν ἡ παραγωγὴ τὸ ῥαΐζειν γίνεται· ἀφ' ἧς ἡ θυμοραΐστης, ἀπολόγως τῷ κυνοραΐστης. Λέγονται δὲ ἔτοι καὶ κρίκινοι παρὰ τοῖς ὕστερο. *Eustath.* Cæterùm Vulgati hîc habent κυνοραϊστέων. *Barnesius* autem edidit κυνοραϊστίων.

Digitized by Google

Οὐρῇ μὲν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω·
Ἄσσον δ' οὐκ ἔτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
Ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
Ῥεῖα λαθὼν Εὔμαιον· ἄφαρ δ' ἐρεείνετο μύθῳ· 305
Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ,
Καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
Εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
Ἦ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
Γίγνονθ', ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες. 310
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
Εἰ τοῖοσδ' εἴη ἡμὲν δέμας, ἠδὲ καὶ ἔργα,
Οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
Αἶψά κε θηήσαιο, ἰδὼν ταχυτῆτα καὶ ἀλκήν· 315
Οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
Κνώδαλον, ὅττι ἴδοιτο· καὶ ἴχνεσι γὰρ περιήδη·

Caudâ quidem iste adulatus est, et aures dejecit ambas:
Prope autem non ampliùs tum potuit suum dominum
Venire: at ille seorsùm conspicatus abstersit lachrymam,
Facilè latens Eumæum; statim autem interrogabat sermone; 305
" Eumæe, certè omninò miraculum, canis hic jacet in firmo;
" Pulcher quidem corpore est, at hoc non certò novi,
" An utique et velox fuerit ad-currendum, cum formâ hâc,
" An nullius-pretii, quales scilicèt mensales canes virorum
" Sunt; deliciarum verò gratiâ nutriunt domini." 310
Hunc autem respondens allocutus es, Eumæe subulce;
" Et sanè viri canis hic *est* procul mortui,
" Si talis esset *nunc* et corpore, atque etiam operibus,
" Qualem ipsum ad Trojam profectus reliquit Ulysses,
" Statim admirareris, conspicatus velocitatem et robur: 315
" Nequaquam enim effugiebat densæ in profunditatibus sylvæ
" Fera, quamcunque vidisset; et vestigiis enim perquàm-sciebat:

Ver. 302. —— ῥ'.] *Ut solent canes* ——.

Ver. 304. —— αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ.] Εὖ δὲ ᾔδει ὁ Ποιητὴς, οἷον ἐστὶ τὸ παρὰ προσδοκίαν, ἐδίδαξεν. Ὁ γὰρ Ὀδυσσεὺς τοῦ μὲν κυνὸς θανόντος ἐξιδάκρυσε, τῇ δὲ γυναικὶ κλαύσῃ παρακαθήμενος [infrà σ'. 209. 211.] ὧδε ἴσασι τοιοῦτον· ἐνταῦθα μὲν γὰρ ἀφίκετο τῷ λογισμῷ τὸ πάθος ὑποχώριον ἔχων καὶ τροκατακλημμένον· ὡς δὲ ἐκεῖνον, μὴ προσδοκήσας, ἀλλ' ἐξαίφνης διὰ τὸ παράδοξον ἐνέκυψε. *Plutarch. de Animi Tranquillitate.*

Ver. 305. —— μύθῳ.] *Al.* μῦθον.

Ver. 308. Εἰ δὴ καὶ τάχυς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε.] Sic infrà *ver.* 454.

—— ἐκ ἄρα σεῦ γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

Ver. 313. Εἰ τοῖοσδ' εἴη.] " Cùm talis," inquit *Spondanus*, " jam esset tunc canis iste, " cur anteà dixit Poëta Ulyssem eo non " fuisse usum? quod ego ad inhabilitatem " canis puto referendum: ait enim [suprà " *ver.* 293.] Θείψι μὲν, οὐδ' ἀπόνητο." Atqui non indicat istud " οὐδ' ἀπόνητο" *Ulyssem* cane nunquam omninò fuisse usum, sed parùm fruitum; quippe qui, simul primùm ut canis corporis istam speciem cursûsque velocitatem attigisset, ad bellum Trojanum digressus est. Ita suprà σ'. 120.

Μῶνον ἔμ' ἐν μεγάροισι τιθὼν λίπεν, οὐδ' ἀπόνητο.

Ver. 317. Κνώδαλον.] Κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ πᾶσος· νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. *Schol.*

Ibid. — ὅ,τ]ι ἴδοιτο.] Τὸ δὲ " ὅ, τι ἴδοιτο" κρεῖττον φασὶ γράφειν, " δίοιτο," ἵνα λίγῃ ὡς ἐκ ἐξίφνης ἐν αὐτῷ θηρίον, ὅπερ ἂν δίοιτο, τοῦτ' ἐστὶ διώκοι.—Τὸ γὰρ, " ἴδοιτο" περιέρχεται κυνὸς

Digitized by Google

Νῦν δ' ἔχεται κακόσηπι· ἄνακτ δέ οἱ ἄλλοθι πάτρης
Ὄλετο· τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κοραέουσι.
Δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες, 320
Οὐκ ἔτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
Ἥμισυ γάρ τ' ἀρετῆς ἀποκείνυται εὐρύοπα Ζεὺς
Ἀνέρος, εὖτ' ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλησιν.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας·
Βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγηνούς. 325
Ἄρχον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,
Αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἑείκοστῷ ἐνιαυτῷ.
Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς
Ἐρχόμενον κατὰ δῶμα συβώτην· ὦκα δ' ἔπειτα
Νεῦσ' ἐπί οἱ καλέσας· ὁ δὲ, παπτήνας, ἕλε δίφρον 330
Κείμενον, ἐνθάδε δαιτρὸς ὀφίζεσκεν, κρέα πολλὰ

" Nunc autem tenetur malo: dominus nempè ejus seorsùm à patriâ
" Periit; hunc verò mulieres negligentes non curant.
" Servi nempè, quandò non ampliùs imperant domini, 320
" Non diutiùs posteà volunt justa operari:
" Dimidium enim virtutis aufert latè-sonans Jupiter
" Viro, quandò ipsum servilis dies corripuerit."
Sic locutus, intravit ædes habitantibus-commodas:
Ivit autem rectâ per-domum ad procos illustres. 325
Argum verò deindè fatum occupavit atræ mortis,
Statim ut-viderat Ulyssem vigesimo anno.
Longè autem primus vidit Telemachus deo-par
Venientem per domum subulcum; celeriterque deindè
Innuit ad se vocans: ille autem, ubi-circumspexisset, cepit sedem 330
Jacentem, ubi coquus insidere-solebat, carnes multas

κὴν ἰχνευτικὴν (φασὶν) αἴσθησιν. *Eustath.* Atque istâ ratione aptiùs cohærebit sequens, ᾗ ἴχνευε γὰρ περιῆν.

Ver. 320. —— εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες.] Sic apud *Terentium;*

—— foràs simul omnes proruunt se,
Abeunt lavatum, perstrepunt; ita ut fit,
domini ubi absunt.

Eunuch. Act. III. *Scen.* V. *ver.* 51.

Ver. 322. Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται.] Οὐ γὰρ ὑγιὲς ὀδὶν ψυχῆς δέλης· ἐ δεῖ γὰρ ὑβὶν ὑγιὲς πιστεύειν αὐτοῖς τὸν νῶν κεκτημένον. Ὁ δὲ σοφώτατος τῶν ποιητῶν φησὶν "Ἡμισυ γάρ τι νόου ἀπαμέρεται εὐρύοπα Ζεὺς Ἀν- "δρῶν, ὅς ἄν θῇ κατὰ δούλιον ἦμαρ ἕλησι." *Athenæus, lib.* VI. *cap.* 18. Ubi notandum quod jam legimus Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται, legimus *Athenæum,* Ἥμισυ γάρ τι νόου ἀπαμέρεται quod modo citat et *Plato de Legibus, lib.* VI.

Φέρονται δυλείν κεφαλὴ ὑθέα πέφυκεν,
Ἀλλ' αἰὲν σπολεῖ, ——————.

Theogn. Gnom. ver. 536.

Ibid. —— ἀρετῆς.] Τῆς ἐκείνου περὶ τὰ ἔργα ὁρμῆς. *Schol.*

Ver. 323. Ἀνέρος, εὖτ' ἂν μιν.] Apud *Athenæum* et *Platonem,* locis suprà citatis, Ἀνδρῶν, οὓς ἂν δὴ.

Ver. 326. Ἄρχον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν.] Φασὶ δὲ οἱ Παλαιοὶ ὡς τέθνηκεν ὕστερον ταχὺ ὁ Ἄργος ὑφ' ἡδονῆς τῆς ἐπὶ τῷ ἀναγνωρισμῷ. *Eustath.*

Ver. 327. —— ἰδόντ' Ὀδυσῆα ἑείκοστῷ ἐνιαυτῷ.] Ζῆ δὲ τῶν Λακωνικῶν κυνῶν ὁ μὲν ἄρρην ἔτη δέκα· ἡ δὲ θῆλυς περὶ ἔτη δώδεκα. Τῶν δὲ ἄλλων κυνῶν αἱ θῆλυς περὶ ἔτη τετταρακαίδεκα, ἢ πεντεκαίδεκα· ἔναι δὲ ᾗ εἴκοσι. Διὸ ᾗ Ὅμηρον τινὰς οἴονται ἐρῶντας ποιῆσαι τῷ ἀποτῷ ἔτει ἀποθανόντα τὸν κύνα τοῦ Ὀδυσσέως. *Aristot. de Hist. Animal. lib.* VI. *cap.* 20. Apud *Ælianum* autem Canes ultra annos quatuordecim vivere negantur. Κυνὶ βίος φασὶ μάκιστος τέτταρα ᾗ δέκα τὰ ἔτη· Ἄργος δὲ ὁ Ὀδυσσέως, ᾗ ἢ περὶ αὐτὸν ἰσορία ἔοικεν παιδία Ὁμήρου εἶναι. *De Animal. lib.* IV. *cap.* 40.

Ver. 331. —— ἐνθάδε.] Ita edidit *Barnesius.* Rectè, ut opinor. *Vulgg.* ἔνθα δὲ. Ἐκ-

Δαιόμενος μνηστῆρσι, δόμον κάτα δαιτυμένοισι·
Τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
Ἀντίον· ἔνθα δ' ἄρ' αὐτὸς ἐφίζετο· τῷ δ' ἄρα κήρυξ
Μοῖραν ἑλὼν ἐτίθει, κανέου τ' ἐκ σῖτον ἀείρας. 335
Ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεὺς,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιος, ἠδὲ γέροντι,
Σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῖ εἵματα ἕστο·
Ἷζε δ' ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
Κλινάμενος στάθμῃ κυπαρισσίνῳ, ὃν τότε τέκτων 340
Ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνε.
Τηλέμαχος δ' ἐπί οἱ παλάσας προσέειπε συβώτην,
Ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ πανέοιο,
Καὶ κρέα, ὅσ' οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντες·
Δὸς τῷ ξείνῳ ταῦτα φέρων· αὐτόν τε κέλευε, 345
Αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδὼς δ' οὐκ ἀγαθὴ πεχρημένῳ ἀνδρὶ πρεΐκτη.

Dividens procis, in domo convivantibus:
Hanc deposuit ferens ad Telemachi mensam
Ex-adverso; ibi utique ipse sedit: ei autem deindè præco
Partem sumptam apposuit, ex canistroque panem sublatum. 335
Propè autem post illum ingressum-ibat ædes Ulysses,
Mendico misero similis, et seni,
Baculo innitens; turpia autem circum corpus vestimenta indutus erat:
Sedebat autem super fraxineum limen intra fores,
Acclinatus posti Cyparissino, quem quondam faber 340
Poliverat scitè, et ad perpendiculum exegerat.
Telemachus verò ad se vocatum allocutus est subulcum,
Panemque totum ubi-sumsisset perpulchro ex canistro,
Et carnes, quantum ei manus capiebant comprehendenti;
"Da hospiti hæc ferens, ipsumque jube 345
"Mendicare penitùs omnes adeuntem procos:
"Pudor autem non est bonus indigenti viro mendico."

---

terùm infrà *ver.* 334. rectiùs videtur ἔνθα δὲ. Quanquam et ibi edidit *Barnesius*, legendumque omninò contendit, ἐνθάδ'.

Ver. 334. —— ἔνθα δ' ἄρ'.] *Al.* ἔνθα περ.

Ibid. —— ἐφίζετο.] *Al.* ἑζέτο.

Ver. 335. —— κανέου.] *Scholiastes* legit κρατέοιο.

Ver. 336. —— ἐδύσετο.] *Al.* ἐδύσατο, et ἐδύσετο.

Ver. 339. —— ἐπὶ μελίνου οὐδοῦ.] Ἀφιλίας δὲ ἀρνούμενος ὁ ἐκ μελίας ὠδὸς, ᾗ ὁ Κυπαρίσσινος παλμὸς· καὶ δί γε τοῦ Μενελάου, [suprà ἀ. 46.] διὰ τὴν Ἑλένην, ὅζει Φρυγίας τρυφῆς. *Eustath.* Vide suprà ad *ver.* 266.

Ver. 343. Ἄρτον τ' οὖλον ἑλὼν.] Ita ex Veterum Exemplarium nonnullis et ex utrâque *Eustathii* editione restituit *Barnesius*; ut vocula scilicet "τε" ad sequentem "Καὶ κρέα" referatur. Atque hoc modo legit MS. à *Tho. Bentleio* collatus. *Henricus Stephanus* autem edidit Ἄρτον δ' οὖλον ἑλὼν· itàque videtur accepisse, ac si hæ voces *Telemachi* orationem inchoarent: Quod, ut rectè notavit *Barnesius*, ferri omninò nequit.

Ver. 344. Καὶ κρέα.] *Al.* Καὶ κρέας.

Ibid. —— ἀμφιβαλόντες.] *Al.* ἀμφιβαλόντα.

Ver. 347. Αἰδὼς δ' οὐκ ἀγαθὴ πεχρημένῳ ἀνδρὶ πρεΐκτη.] Sic infrà *ver.* 578.

—————— πενὸς δ' αἰδοῖος ἀλήτης.

Similitèr apud *Livium*; "*Pessimus quidem* "*pudor est* —— *paupertatis.*" *lib.* XXXIV. § 4. Τί δ', Ὁμήρου ὁ πιστεύεις καλῶς λέγειν, λέγοντος ὅτι, "Αἰδὼς δ' οὐ ἀγαθὴ πεχρημένῳ "ἀνδρὶ πρεΐκτη;" Ἄγαγ', ἔφη. Ἔστι ἄρα, ὡς ἔοικεν, αἰδὼς οὐ ἀγαθὴ, ᾗ ἀγαθὸν. *Plato in Charmide.* p. 161 f. καὶ ὅδε. p. 161.

Digitized by Google

Ὡς φάτο· βῆν δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχός σε, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει 350
Αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδῶ δ' οὐκ ἀγαθὴν φησ' ἔμμεναι ἀνδρὶ προΐκτη.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσι ὄλβιον εἶναι,
Καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ᾗσι μενοινᾷ. 355
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
Αὖθι, ποδῶν προπάροιθεν, ἀείσελίης ἐπὶ πήρης.
Ἤσθιε δ', ὡς σ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν,
Εὖθ' ὅδ' ἐδειπνήκει, ὁ δ' ἐπαύσατο θεῖος ἀοιδός.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ· αὐτὰρ Ἀθήνη, 360
Ἄγχι παρισταμένη, Λαερτιάδῃ Ὀδυσῆα
Ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
Γνοίη θ', οἵ τινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι·

Sic dixit: ivit autem subulcus, postquam sermonem audivisset,
Et propè stans verbis alatis allocutus est;
" Telemachus tibi, hospes, dat hæc, et te jubet 350
" Mendicare, penitùs omnes adeuntem procos:
" Pudorem autem non bonum dicit esse viro mendico."
Hunc autem respondens allocutus est solers Ulysses;
" Jupiter rex, *fac* Telemachum mihi inter viros beatum esse:
" Et ei omnia fiant, quæcunque mente suâ agitat." 355
Dixit, et ambabus accepit, et deposuit
Ibidem, pedes ante, turpi super perâ.
Comedebat autem, quamdiù cantor in ædibus canebat;
Quandò ille cœnaverat, tum cessavit divinus cantor.
Proci verò tumultuati sunt per ædes: at Minerva, 360
Propè astans, Läërtiadem Ulyssem
Concitavit, ut panes à procis colligeret,
Cognosceretque, quinam essent justi, quique injusti:

Αἰδὼς δ' οὐκ ἀγαθὴ πεχρημένον ἄνδρα κομίζει·
Αἰδὼς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.
Hesiod. Ἔργ. καὶ Ἡμερ. I. 315.

Vide ad *Il. α.* 45.

Ibid. et *ver.* 352. —— προΐκτη.] Μ[ίλαίτη, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. *Schol.* Porrò *Plato*, loco jam suprà citato, pro προΐκτη, hîc legit παρεῖναι. Quo modo et in pluribus Codicibus scriptum reperit *Tho. Bentleius.* Verisimilior tamen ideò videtur vulgata Lectio, quia, ubi repetitur hæc *Telemachi* oratio infrà *ver.* 352. iterùm legitur προΐκτη, nec mutandi ullus est locus:

Αἰδὼ δ' οὐκ ἀγαθὴν φησ' ἔμμεναι ἀνδρὶ προΐκτ[ῃ,

Ver. 358. —— ὡς ὅτ'.] Μίχρις ἕ. *Schol.* Τὸ δὲ "ὡς ὅτ' ἀοιδὸς ἄειδεν" ἀντὶ τοῦ, ἕως ὅτου. *Eustath.* Cæterùm MS. à *Tho. Bentleio* collatus habet ἕως.

Ver. 359. —— ἐπαύσατο.] *Al.* ἐπαύετο.

Ver. 360. Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'.] Fit strepitus tectis ——, *Æn.* I. 725.

Porrò *Eustathius* hæc cum versu præcedenti connectit: Ὡς δὲ ὁ θεῖος ἀοιδὸς ἐπαύσατο, τότε δὴ ὁμάδησαν μὲν οἱ μνηστῆρες. Et paulò inferiùs; Παυσαμένου δὲ τοῦ ἀοιδοῦ, ὁ συνήθης βεόντος ὅμαδος. Sed, ut opinor, minùs rectè; quia iisdem verbis novam periodum sæpiùs alibi inchoet Poëta: Vide suprà ad *α.* 365. *δ.* 768. et infrà ad *σ.* 398.

Ibid. —— αὐτὰρ Ἀθήνη.] Ἰσίον δὲ ὡς καὶ νῦν Ἀθηνᾶ ἡ τὸν Ὀδυσσέα ὀτρύνασα ἐπαινῆσαι ἀπὸ παρ' αὐτῷ ἰσὶ φρόνησις· ἤ, συχκαμάνη πάρεδρος εἶναι ἄρτι τοῦ σπόνδου ἔργου, ἐγχωρεῖ τῷ ἀρίστῳ. *Eustath.*

Ver. 362. — πύρνα.] Πύρνα σιτία. *Schol.*

Digitized by Google

Ἀλλ' οὐδ' ὣς τοῦ ἔμελλ' ἀπαλεξήσειν κακότητος.
Βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον, 365
Πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
Οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
Ἀλλήλους τ' εἴροντο, τίς εἴη, καὶ πόθεν ἔλθοι.
Τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 370
Τῶνδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
Αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην·
Ὦ ῥίγιστε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε 375
Ἤγαγες; ἦ οὐχ ἅλις ἡμῖν ἀλήμονές εἰσι καὶ ἄλλοι
Πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
Ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσιν ἄκαιτος
Ἐνθάδ' ἀγειρόμενοι; σὺ δὲ καί ποθι τόνδ' ἐπάλεσσας;

Sed neque sic quenquam exemptura erat malo.
Perrexit autem *is* ire petiturus dextrorsùm à viro quoque, 365
Undique manum porrigens, tanquam si mendicus olim fuisset.
Hi verò miserantes dabant, et admirabantur ipsum;
Aliique alios interrogabant, quisnam esset, et undè venisset.
Inter hos autem et locutus est Melanthius, custos caprarum;
" Audite me, proci inclytæ reginæ, 370
" De hoc hospite; profectò enim anteà ipsum vidi.
" Profectò quidem ei huc subulcus dux erat.
" Ipsum autem non apertè scio, undè *se* genere profiteatur esse."
Sic dixit: Antinöus autem verbis objurgavit subulcum;
" O notissime subulce, cur verò tu hunc in-urbem 375
" Duxisti? an non satis nobis errones sunt et alii
" Mendici molesti, conviviorum contaminatores?
" An parvi-pendis, quòd tibi victum comedant domini
" Hîc congregati? tu autem etiam alicundè hunc vocasti?"

Ver. 365. ——— ἴμεν.] *Al.* ἴμεν'.

Ibid. ——— ἐνδέξια.] Ἀπὸ τοῦ δεξιοῦ μέρους· *Schol.* Ἢ ἀντὶ τοῦ ἐπιδεξίως· ἢ πρὸς σαφήνειαν ἐπήνεται τὸ "ὅς εἴτε πτωχὸς πάλαι εἴη." *Eustath.* Priorem veriorem esse explicationem liquet ex aliis locis ubi hanc vocem usurpat Poëta. Vide ad *Il. α.* 597. et *η.* 184.

Ver. 366. ——— ὡς δ'.] Ita *Henricus Stephanus* et *Barnesius*. *Al.* ὡσεὶ.

Ver. 375. Ὦ ῥίγιστε συβῶτα.] *Al.* Ὦ ἀρίγνωτε.

Ver. 376. ——— ἦ οὐχ ἅλις.] Vocula ἦ οὐχ hic, uti rectè notavit *Barnesius*, in unam syllabam coalescunt. Pronuntiabatur scilicèt ἥοὐχ ἅλις. Vide ad *Il. ι.* 349. et *ι.* 533.

Ibid. ——— ἡμῖν ἀλήμονες.] Τῷ δὲ "ἡμῖν" συνίλλει μὲν τὴν λήγουσαν, περιστᾷ δὲ τὴν ἀρχοῦσαν λόγῳ ὑπηκτικῷ, καθὰ καὶ ἀλλαχοῦ ἐποίησε. *Eustath.* Vide suprà ad *Ρ'.* 369. et *π'.* 372.

Ver. 378. Ἦ ὄνοσαι, ὅτι τοι βίοτον ἔδ.] Ὄνοσσα, νῦν ἀντὶ τοῦ ὠφελῇ. *Schol. Eustathius* aliter; Τὸ δὲ "Ἦ ὄνοσαι" ἀσέμνως ἔφη, ἀντὶ τοῦ, ἢ μέμφῃ, ἡμῖν δηλαδὴ, ἢ τοῖς ἀλήταις, ὡς μὴ βοσκοῖς ὦσι, μηδὲ δαπανᾷν εὖ δυναμένοις τὰ τοῦ οἴκου τῶν σῶν δεσποτῶν; καὶ διὰ τοῦτο ᾗ ἐστίας ἄγεις τοὺς ἀξιολογώτερον καταφαινόμενος ἐκεῖνα; Καὶ ἐστὶν ἔννοια ὁμοία πρὸς τὸ [suprà *ι.* 379.] "Ἀλλ' ἐδ' ὣς σε ἴολκα ὀνόσασθαι κακότητος." Ita illi. Rectiùs autem (ut opinor) cum *Barnesio* interpretêris, "*An parvi pendis;*" vel, "*An pro nihilo ducis, domini tui boni absentiam?*" Vide suprà ad *ι.* 379. *Σ'.* 239. item *Iliad. δ'.* 539. *ι.* 164. *ω.* 439.

Ibid. ——— κατέδουσιν.] *Al.* κατέδωμεν.

Ver. 379. ——— πόθι.] *Al.* πρότι.

Digitized by Google

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 380
Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις·
Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
Ἄλλον γ', εἰ μὴ τῶν, οἱ δημιοεργοὶ ἔασιν;
Μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων, 385
Ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπῃσιν ἀείδων;
Οὗτοι γὰρ πλησί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
Πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύζοντά ἑ αὐτόν.
Ἀλλ' αἰεὶ χαλεπὸς πέρι πάντων εἶς μνηστήρων
Δμωσὶν Ὀδυσσῆος, περὶ δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε
Οὐκ ἀλέγω, ἕως μοι ἐχέφρων Πηνελόπεια 390
Ζώει ἐνὶ μεγάροις, καὶ Τηλέμαχος θεοειδής.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Σίγα, μή μοι τῶτον ἀμείβεο πόλλ' ἐπέεσσιν·

Hunc autem respondens allocutus es, Eumæe subulce; 380
" Antinöe, non quidem bona, etiamsi eximius-sis, dicis:
" Quis enim demùm hospitem vocat aliundè ipse ubi-adierit,
" Alium scilicèt, nisi eorum *aliquem*, qui publici-operarii sunt?
" Vatem, vel medicum malorum, vel fabrum lignorum,
" Vel etiam divinum cantorem, qui delectet canens? 385
" Hi enim vocati utique hominum in immensâ terrâ:
" Mendicum autem nemo vocaret attriturum seipsum.
" Sed semper difficilis super omnes es procos
" Servis Ulyssis, præcipuè verò mihi: at ego
" Non curo, quamdiù mihi prudens Penelope 390
" Vivit in ædibus, et Telemachus deo-par."
Illum autem rursùs Telemachus prudens contrà allocutus est;
" Tace, nè mihi hunc vicissim-compella multùm verbis".

Ver. 382. Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν.] *Aristoteles de Republ. lib.* VIII. *cap.* 3. versum hunc (notante *Barnesio*) legit, aut fortè memoriter citat, hoc modo;

Ἀλλ' οἷον μὲν γ' ἐστὶ καλεῖν ἐπὶ δαῖτα Θαλείην.

Vide infrà ad *ver.* 385.

Ver. 384. Μάντιν, ἢ ἰητῆρα κακῶν, —— Ἢ ᾠδὸν θέσπιν ἀοιδὸν.] Similitèr ferè *Empedocles* apud *Clementem Alexandrinum*, *Strom.* IV.

Εἰς δὲ τέλος, μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰηροὶ,
Καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται.

Cæterùm MS. à *Tho. Bentleio* collatus hîc legit, Μάντιν γ', ἢ ἰητῆρα κακῶν. *Al.* Μάντιν, ἢ ἰητῆρα νόσων.

Ver. 385. Ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπῃσιν.] Καὶ τὴν μουσικὴν εἰ πρότερον εἰς παιδείαν ἔταξαν, ἀχ ὡς ἀναγκαῖον· ἡδὺ γὰρ ἔχει τοιοῦτον· οὐδ' ὡς χρήσιμον, ὥσπερ τὰ γράμματα πρὸς χρηματισμὸν, καὶ πρὸς οἰκονομίαν, καὶ πρὸς μάθησιν, καὶ πρὸς πολιτικὰς πράξεις πολλάς· — ἀδ' αὖ καθάπερ ἡ γυμναστικὴ, πρὸς ὑγίειαν καὶ ἀλκὴν· ἀδύτερον γὰρ τούτων ἑρῶμεν γιγνόμενον ἐκ τῆς μουσικῆς. Λείπεται τοίνυν πρὸς τὴν ἐν τῇ σχολῇ διαγωγὴν· ἐς ὅσον καὶ φαίνονται παρέχοντες αὐτὴν. Ἣν γὰρ οἴονται διαγωγὴν εἶναι τῶν ἐλευθέρων, εἰς ταύτην τάττουσι. Διόπερ Ὅμηρος οὕτως ἐποίησεν "Ἀλλ' οἷον μὲν γ' ἐστὶ καλεῖν ἐπὶ δαῖτα Θαλείην." Καὶ οὕτω τρόπον τινὰ, ἑτέρας τινὰς, "Οἱ καλέουσι ἀοιδὸν (φασὶ) "ἢ ὅ κεν τέρπῃσιν ἅπαντας." *Aristot. de Republ. lib.* VIII. *cap.* 3.

Ibid. — ὅ κεν τέρπῃσιν.] *Al.* ὃς ἂν τέρπῃσι.

Ibid. —— τέρπῃσιν ἀοιδὸν.] Apud *Aristotelem*, loco jam suprà citato, τέρπειν ἅπαντας.

Ver. 387. —— καλέοι.] *Al.* καλέει.

Ibid. —— τρύζοντα ἑ αὐτόν.] Ita edidit *Barnesius* ex *Apollonio* περὶ Συντάξεως, *lib.* 2. Rectè, ut videtur. *Vulgg.* ἀκοντὸν. Vide ad *Il.* ε'. 551. *Al.* τρύζοντα δ' ἔλεον.

Ver. 389. Δμωσὶν.] *Al.* Δμωσὶ δ'.

Ver. 393. Σίγα, μή μοι τῶτ' ἐ.] Legimus, notante *Eustathio*, et "Ατα, μὴ μοι. " Malè " tamen," inquit *Barnesius*, " quandoqui- " dem Ultima τῶ "Ατα brevis est." Sed et quâ ratione etiam extra Cæsuram produci

Digitized by Google

Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
Μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους. 395
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεσι πτερόεντα προσηύδα·
Ἀντίνοε, ἦ μεν καλὰ, πατὴρ ὡς, κήδεται υἱός,
Ὃς τὸν ξεῖνον ἄναγας ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.
Δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε· 400
Μήτ' οὖν μητέρ' ἐμὴν ἄζευ τόγε, μήτε τιν' ἄλλον
Δωμάων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
Αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι, ἢ δόμεν ἄλλῳ.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπε· 405
Τηλέμαχ' ὑψηγόρη, μένος ἄσχετε, ποῖον ἔειπες;
Εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
Καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.
Ὡς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζῃ

" Antinōus autem consuevit malè irritáre semper
" Verbis asperis, incitatque etiam alios." 395
Dixit, et Antinöum verbis alatis allocutus est;
" Antinöe, profectò me benè curas, pater uti filium,
" Qui hospitem jubes à domo pellere
" Verbo violento: nè istud deus perfecerit.
" Da ei *aliquid* sumptum; non tibi invideo; jubeo enim ego: 400
" Neque itaque matrem meam verere hâc-*in*-re, neque quenquam alium
" Servorum, qui in ædibus *sunt* Ulyssis divini.
" Sed non tibi tale in pectoribus cogitatum:
" Ipse enim comedere multò mavis, quàm dare alii."
Illum autem rursùs Antinōus respondens allocutus est: 405
" Telemache altiloque, animo indomite, quale dixisti?
" Si ei tantum omnes præberent proci,
" Etiam ipsum tres menses procul hinc domus detineret."
Sic utique dixit; et scabellum prehensum ostendit subter mensam

---

ponet, vide ad *Il. ά.* 51. Porrò et in uno MS. Ἄστυ scriptum reperit *Tho. Bentleius.*

Ver. 394. 398. et 416. — εἴωθι — ἄναγας — ἔοικας.] Vide ad *Il. ά.* 87. et *Ρ'.* 322.

Ver. 395. —— ἐποτρύνει.] *Eustathius* videtur legisse ἐποτρύνει.

Ver. 397. Ἀντίνοε, ἦ μεν καλὰ.] Ἐρὶ καὶ Ἐρατοσθένης παρ' αὐτῷ, [Ὁμήρῳ], λόγος διὰ τοῦ ἐπαινεῖν δηλῶν τὸ ἐπαινούμενον, μετὰ τινος ἠθικῆς ἐπιπλήξεως· οἷον —— ἴσαν τὶς ἄλλως ἐπαινεῖν πρεπτοῦσαν, τῇ ἀληθείᾳ ψέγων. Καὶ τοῦτο ἐστὶ παρ' Ὁμήρῳ λεγόμενον ὑπὸ Τηλεμάχου· " Ἀντίνοε, ἦ μεν καλὰ, πατὴρ ὡς, κήδεται υἱός." Τῇ γὰρ ἀληθείᾳ, ὅτι οὐς πατὴρ υἱῦ πεφρόνησε. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως § 7.

Ibid. —— μέν.] *Al.* υἱῦ.

Ver. 398. —— ξεῖνον ἄναγας ἀπὸ μεγάροιο δίεσθαι.] Sic apud *Euripidem;*

—— τἀμὰ δ' οὐκ ἐπίστασαι
Μίλαθρ' ἀπωθεῖν, οὐδ' ἀτιμάζειν ξένους.
Alcest. ver. 566.

Ibid. —— ἀπὸ μεγάροιο δίεσθαι.] *Barnesius,* Versionesque vulgatæ, reddunt " *à domo* " *exire.*" Sed rectiùs (ut opinor) interpretêris " *à domo pellere;*" ut infrà *ύ.* 343.

Αἰδέομαι δ' αἴκισσαν ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ·——

Ver. 401. Μήτ' ἔν.] *Al.* Μήτε τι.

Ver. 408. —— τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.] Οὐκ ἐν ἐπὶ τρεῖς μῆνας προείλθοι αἰτήσων. *Schol.*

Ver. 409. —— ὑπέφηνε.] *Al.* ὑπ' ἔφηνε.

Ibid. —— τραπέζῃ.] MSS. duo à *Tho. Bentleio* collati, τραπέζης.

Digitized by Google

Κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων. 410
Οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
Σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,
Αὖτις ἐπ' οὐδὸν ἰὼν, προτικὸς γεύεσθαι Ἀχαιῶν·
Στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπεν·
Δὸς, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν 415
Ἔμμεναι, ἀλλ' ὄριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
Τῷ σε χρὴ δόμεναι καὶ λώϊον, ἠέ περ ἄλλοι,
Σίτου· ἐγὼ δ' ἄν σε κλείω κατ' ἀπείρονα γαῖαν.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ 420
Τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων, (ἤθελε γάρ πεν,)
Ὅς μ' ἅμα λῃϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν 425
Αἰγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην·
Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας·

Jacens, cui scilicèt imponebat nitidos pedes epulans. 410
Cæteri autem omnes dabant, impleveruntque proindè peram
Pane et carnibus: citò sanè et erat Ulysses,
Rursùs ad limen profectus, gratìs gustaturus Achivos:
Stetit autem juxta Antinöum, et ipsum sermone allocutus est;
" Da, amice; haud quidem mihi videris pessimus Achivorum 415
" Esse, sed optimus; quoniam regi similis es.
" Ideò te oportet dare et meliùs, quàm etiam alii,
" De-pane; ego autem te laudarem per immensam terram.
" Etenim ego aliquandò domum inter homines habitabam
" Beatus divitem, et sæpè dabam erroni 420
" Tali, qualiscunque esset, et cujuscunque-rei indigens venisset.
" Erant autem *mihi* servi valdè multi, aliaque multa,
" Quibus utique benè vivunt *homines*, et divites vocantur:
" Sed Jupiter pessundedit Saturnius, (voluit enim aliquâ-de-causâ);
" Qui me cum latronibus multivagis impulit 425
" In-Ægyptum ire, longum iter, ut perirem:
" Statui verò in Ægypto fluvio naves remis-utrinque-agitatas:

Ver. 413. —— προτικὸς.] Τῆς δωρεὰν δόσεως. *Schol.*

Ibid. —— γεύεσθαι.] *Al.* γεύασθαι.

Ver. 415. —— ὁ μέν μοι δοκέεις ὁ κάκιστος.] Vide ad *Il.* ν'. 344. et ὁ. 11. Cæterùm *Eustathius* citat, ὁ μέν τοι δοκέεις.

Ver. 416. —— ἐπεὶ βασιλῆϊ ἔοικας. Τῷ σε. χρὴ δόμεναι ἢ λώϊον.] Θεασύλλυ δὲ τῶ Κυνικῶ δραχμὴν αἰτήσαν]ος αὐτὸν, ['Αντίσ]ονον] "Ἀλλ' "ὁ βασιλικὸν" εἶπε "τὸ δόμα." *Plutarch. Apophthegm.* "Regem armis, quàm muni-"ficentiâ, vinci, flagitiosùm minùs." *Bocchus, apud Sallust. Bell. Jugurth.* § 118.

Ver. 418. —— ἐγὼ δ' ἄν σε.] *Al.* ἐγὼ δέ κε σε.

Ver. 423. Οἷσίν τ' εὖ ζώουσι.] *Quibus videlicèt* ——. *Al.* Οἷσι τ' εὖ ζώουσι.

Ver. 425. —— ἅμα λῃϊστῆρσι πολυπλάγκτοισιν.] Vide suprà ad γ. 73.

Ver. 426. 427. Αἰγυπτόνδ' ἰέναι, —— Αἰγύπτῳ ποταμῷ.] Αἴγυπτος ἐστὶ ἀπὸ τοῦ ἡ χώρα ἢ ἡ πόλις εἴη· ὁ δὲ μέγας ἀφοσιωθεὶς Αἴγυπτος ποτάμος, τὸν Νεῖλον δηλοῖ. *Eustath.* ad 448. infrà. Vide suprà ad ζ. 257. item ad δ'. 581. et λ'. 638.

Ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἑρίηρας ἑταίρους
Αὐτῆ πὰρ νήεσσι μένειν, καὶ νῆας ἐρύσθαι,
Ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
Οἱ δ' ὕβρει εἴξαντες, ἐπιπτόμενοι μένεϊ σῷ,
Αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγρὺς
Πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον, καὶ νήπια τέκνα,
Αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
Οἱ δὲ, βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένηφιν,
Ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων,
Χαλκῆς τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
Φῦζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν· οὐδέ τις ἔτλη
Στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρῳ ἶφι ἄνασσεν·
Ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω, πήματα πάσχων.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε·
Τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
Στῆθ' ἕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,

" Tunc quidem ego hortabar dilectos socios
" Illic apud naves manere, et naves tueri;
" Speculatores autem ad speculas jussi ire: 430
" Hi verò insolentiæ cedentes, sequentes impetum suum,
" Citò admodùm Ægyptiorum virorum perpulchros agros
" Populabantur; mulieresque abducebant et infantes liberos,
" Ipsosque interficiebant: citò verò in urbem pervenit strepitus.
" Illi autem clamorem audientes, simul-cum aurorâ apparente 435
" Venerunt; impletus autem est totus campus peditibusque et equis,
" Ærisque fulgore: Jupiter autem gaudens-fulmine
" Fugam meis sociis malam immisit; neque quisquam sustinuit
" Consistere contrà; circum enim mala undique stabant.
" Ibi nostrûm multos quidem interfecerunt acuto ære; 440
" Alios verò abduxerunt vivos sibi operaturos ex-necessitate:
" At me in Cyprum hospiti dederunt obviàm-facto
" Dmetori Jasidæ, qui Cypro fortitèr imperabat:
" Indè demùm nunc huc venio, damna patiens."
Huic autem rursùs Antinous respondit, dixitque;
" Quis deus hanc pestem adduxit, convivii molestiam? 445
" Sta sic in medium *profectus*, meâ procul à mensâ,

Ver. 431. —— *μένειν σῷ.*] *Al. μένει ᾧ.* Quod et præfert *Barnesius.* Vide ad *Il. α.* 51.

Ver. 432. —— *Αἰγυπτίων.*] Vide suprà ad γ. 83. et ad *Il.* β'. 537.

Ver. 436. —— *πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε, καὶ ἵππων, Χαλκῆς τε στεροπῆς:*] Vide suprà ad ξ'. 267. et ad *Il.* γ'. 339.

Ver. 441. —— *ἄναγον.*] MS. unus à *Theo. Bentleio* collatus, *ἄγαγον.* Quo modo et Vulgati habent suprà ξ'. 272. ubi occurrit hic locus.

Digitized by Google

Μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἴδηαι·
Ὥς τις θαρσαλέος καὶ ἀναιδὴς ἐσσι περοίκης.
Ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι 450
Μαψιδίως· ἐπεὶ ἔστις ἐπίσχεσις, οὐδ' ἐλεητὺς
Ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ πόποι· ἦ μ' ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
Οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἄλα δοίης, 455
Ὃς νῦν ἀλλοτρίοισι παρήμενος, ἔστι μοι ἔτλης

" Nè citò amaram Ægyptum et Cyprum videas:
" Adeò quidam audax et impudens es mendicus.
" Ordine omnibus astas: hi autem dant 450
" Temerè; quia nulla *est* parsimonia, neque miseratio
" Quin de-alienis largiantur; quoniam adsunt multa cuique."
Hunc autem retrogressus allocutus est solers Ulysses:
" Papæ! haud ergò tibi cum formâ etiam mens erat:
" Non tu utique ex domo tuo supplici vel salem dares; 455
" Qui nunc alienis assidens, haud quicquam mihi sustinuisti

Ver. 448. Μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἴδηαι.] Dna. *Dacier* hunc versum reddit hoc modo; " *De peur que je ne te fasse* " *revoir cette triste terre d'Egypte, ou Cypre.*" Et in annotationibus; " C'est à dire," inquit, " de peur que je ne te vende à des " corsaires, qui te meneront encore en E- " gypte; ou qui iront te vendre dans l'isle " de Cypre." Rectiùs autem (ut opinor) *Eustathius*; Αὐτὸ δὲ τὸ, " Μὴ τάχα πικρὴν " Αἴγυπτον &c." θυμικῶς ῥηθὲν, ὐκ εὐδιανόητον μὲν ἁπλῶς ὕτως ἐστὶ· δηλοῖ δὲ, ὡς ἐπὶ κακῷ τῷ ξένῳ ἔσαι τὸ περὶ Αἰγύπτου καὶ Κύπρου ἀφηγεῖσθαι ὡς ἵκετο ἐκεῖ, καὶ εἶδε τὰ ἐκεῖ.

Ibid. ——— ἴδηαι.] *Al.* ἴκηαι.

Ver. 451. ——— ἐπεὶ ἔστις ἐπίσχεσις, &c.] *Al.* ἐπεὶ ἔστις ἐπὶ σχέσις. Cæterùm aptissima hæc personæ Antinöi superbæ et iniquæ; qui, cùm ipse bonorum Ulyssis diripiendorum reliquis procis dux et auctor sit, simul tamen ac illos pauperi nonnihil largientes videat, profusionis statim incusat, suæque ipsius inclementiæ æquitatis speciem prætexit.

Ibid. ——— οὐδ' ἐλεητὺς, Ἀλλοτρίων χαρίσασθαι.] " Bona aliena largiri, *liberalitas* — " vocatur." *Cato apud Sallust. Bell. Catilin.* § 55. " Quid est aliud nisi aliis sua eripe- " re, aliis dare aliena?" *Cic. de Offic. lib.* II. § 23.

Ver. 454. ——— ὐν ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.] Ita suprà θ'. 176.

Ὦς καὶ σοὶ εἶδος μὲν ἀριστερὸς, οὐδὲ κεν ἄλλως
Οὐδὲ θεὸς τεύξειε· νόον δ' ἀποφώλιος ἐσσὶ.

Ἡ νόμος ἐστὶ, πᾶσαν μὲν ἀμορφίαν ποτνιόεις εἶναι κατάκριτον· εὐθὺ δ' ὡς ἀγαθὸν, ἐπαινεῖται τὸν καλὸν; Ἀλλὰ τοι καὶ τὸν μέγιστον ἀληθείας προφήτην Ὅμηρον, [suprà θ'. 169.] " — εἶδος " τις ἀπιδνότερος πέλει ἀνὴρ, Ἀλλὰ θεὸς μορ- " φὴν ἔπεσι τέρπει ——" Καὶ πάλιν εἴπερ τε λίζων, " —— ὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες " ἦσαν." *Lucian. Amores.*

Ver. 455. Οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ &c.] Τὸν μὲν γὰρ Εὔμαιον πεπόιηκε δῦλον καὶ πένητα, ὅμως τὸν Ὀδυσσέα καλῶς ὑποδεχόμενον καὶ τρεφῇ καὶ κοίτῃ· τοὺς δὲ μνηστῆρας ὑπὸ πλούτου καὶ ὕβρεως ὐ πάνυ ῥᾴδιως αὐτῷ μεταδιδόντας οὐδὲ τῶν ἀλλοτρίων. Ὥσπερ καὶ αὐτὸς πεποίηται λέγων πρὸς Ἀντίνοον, ὀνειδίζων τὴν ἀνελευθερίαν " Οὐ σύ γ' ἂν ἐξ οἴκου &c." *Dio, Orat.* VII. Cæterùm *Gataker*us in *Adversariis*, *cap.* 43. (notante *Duporto Gnomolog. Homeric.* ad hunc locum), legendum conjicit, ἐξ οἴκου τῇ ἐπιστάτῃ, vel ἐξ οἴκου σῷ ἐπιστάτῃ. Quæ posterior et optima videtur lectio. Ita enim aptè sibi respondent, istud ἐξ οἴκου σῷ, sequenque ἀλλοτρίοισι *ver.* 456. Vulgatam tamen lectionem præferre videtur ipse *Duportus*.

Ibid. ——— ἐπιστάτῃ.] Μεταίτῃ, ἀπὸ τοῦ ἱστᾶσθαι τῇ τραπέζῃ. *Hesych.*

Ibid. ——— οὐδ' ἄλα δοίης.] Οὐδὲ τὸ ὐπολίσκον ἂν δοίης. *Eustath.* Similiter *Theocritus*;

Φῆς μοι πάντα δόμεν, τάχα δ' ὕστερον οὐδ' ἄλα δοίης. *Idyll.* XXVII. *ver.* 68.

Atque hinc apud *Erasmum*, Proverbium, " *Ne Salem quidem dederit*." *Adag. Sect.* 1. *Avaritiâ.*

Digitized by Google

Σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
Καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Νῦν δή σ' οὐκ ἔτι καλὰ δι' ἐκ μεγάροιό γ' ὀΐω 460
Ἄψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.
Ὣς ἄρ' ἔφη· καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,
Πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη, ἠΰτε πέτρη,
Ἔμπεδον· οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο·
Ἀλλ' ἀπέων κίνησε κάρη, κακὰ βυσσοδομεύων. 465
Ἄψ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην
Θῆκεν ἐϋπλείην· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Οὐ μὰν οὐδ' ἄχος ἐστὶ μετὰ φρεσὶν, οὐδέ τι πένθος, 470
Ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσι
Βλήεται, ἢ περὶ βουσὶν, ἢ ἀργεννῆς ὀΐεσσιν·
Αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
Οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.

"De-pane sumptum dare; multa autem adsunt."
Sic dixit: Antinöus verò iratus est ex-corde magis,
Et ipsum torvè intuitus verbis alatis allocutus est;
"Nunc jam te non amplius benè ex domo puto 460
"Retrò cessurum, quandò scilicèt et opprobria dicis."
Sic utique dixit; et scabello prehenso percussit dextrum humerum,
Extimum in dorsum: is autem stetit tanquam rupes,
Firmitèr; neque sanè ipsum commovit ictus Antinöi:
Sed tacitè movit caput, mala profundè-cogitans. 465
Rursùs autem ad limen profectus desidebat, peramque
Deposuit benè-plenam: inter procos verò locutus est;
"Audite me, proci inclytæ reginæ,
"Ut dicam, quæ me animus in pectoribus jubet:
"Neqüaquam quidem dolor est in mente, neque omninò luctus, 470
"Quandò vir, pro suis pugnans possessionibus,
"Percutitur, vel propter boves, vel candidas oves:
"At me Antinöus percussit ventrem ob malum,
"Perditum, qui multa mala hominibus dat.

Ver. 467. Σίτου ἀποπροελὼν.] *Al.* ἀπὸ προελὼν. Cæterùm *Dio*, loco suprà adducto, hunc versum citat hoc modo;

Σίτου ἀπαρξασθαι, πολλῶν κατὰ οἶκον ἐόντων.

Ex ά, (ut videtur) infrà 271.

Ver. 468. —— ὁ δ' ἐκάθη, ἠΰτε πέτρη.] Ille, velut pelagi rupes immota, resistit.

En. VII. 586.

Ver. 469. Ἄψ δ' ἄρ' ἐπ' οὐδὸν.] *Al.* Ἄψ δ' ἄρ' ἐπ' οὐδὸν.

Ver. 471. 472. —— περὶ οἷσι μαχειόμενος κτεάτεσσι, —— ἢ περὶ βουσὶν.] "Ἀπ[ατ]ω[ν]κῶς" (inquit *Dupertus*, *Gnomolog. Homeric.* ad hunc locum) "pro περὶ ὧν κτιάτων." Et *Eustathius*; Καινῶς δὲ (inquit) καὶ νῦν ἡ "περὶ" προθέσις μετὰ δοτικῆς λέγεται, ἐν τῷ "περὶ "κτήμασι," ᾗ "περὶ βουσὶν." Atqui eandem præpositionem eodem planè in sensu casui *dativo* alibi adjungit Poëta;

—————— μαχήσασθαι περὶ δαιτὶ.

Odyss. β'. 245.

Νῦν δὲ περὶ σ[ῆ]ος μαχῆ ἐρεβεννόμεν —. σ'. 402.

Ubi æquè facilè scribere potuisset Poëta περὶ δαιτὶ, et περὶ σεωχῇ, si ita dictum oportuisset.

Ver. 472. Βλήεται.] *Al.* Βλήετται.

Digitized by Google

Ἀλλ' εἴπερ πτωχῶν γε θεοὶ καὶ ἐρινύες εἰσὶν, 475
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Ἔσθι' ἔκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλῃ·
Μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', (εἰ ἀγορεύεις,)
Ἢ ποδὸς, ἢ καὶ χειρὸς, ἀποδρύψωσι δὲ πάντα. 480
Ὡς ἔφαθ· οἱ δ' ἄρα πάντες ὑπερφιάλως μεμάασιν.
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Ἀντίνοε, οὐ μέν κάλ' ἔβαλες δύστηνον ἀλάπην.
Οὐλόμεν, εἰ δὴ πού τις ἐπουράνιος θεός ἐστι·
Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι, 485
Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.

"Sed sicubi pauperum dii et Erinnyes sint, 475
"Antinöum ante nuptias finis mortis deprehendat."
Hunc autem rursùs Antinöus allocutus est, Eupithei filius;
"Comede tranquillus, hospes, sedens, aut abi aliò;
"Nè te juvenes per ædes trahant, (qui sic loquaris,)
"Vel pede, vel et manu; lacerentque totum." 480
Sic dixit: illi verò omnes vehementèr indignati sunt:
Sic autem aliquis dicebat juvenum superborum;
"Antinöe non quidem benè percussisti infelicem erronem;
"Perdite; si fortè quis cœlestis deus sit?
"Etenim dii, hospitibus similes peregrinis, 485
"Omnimodos se-ferentes, versantur per urbes,
"Hominum insolentiamque et æquitatem inspicientes."

Ver. 475. Ἀλλ' εἴπερ πτωχῶν γε θεοί.] Ὡς ἐπὶ Πενία χρῆμα τῷ ὄντι ἱερὸν καὶ ἄσυλον καὶ ὐδεὶς ἀδικεῖ σύνηθας ὐδίν γε ἥτιον ἢ τοὺς τὰ κηρύκεια ἔχοντας *Dio, Orat.* 7. *haud longè ab initio.*
Ibid. —— πτωχῶν γε θεοὶ καὶ ἐρινύες εἰσὶν.] Ita suprà λ'. 279.

—— ὅσσα τε μητρὸς ἐρινύες ἐκτελέουσι.

Et *Iliad.* φ'. 412.

Οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποδίοιμι.

Ver. 478. —— ἄλλῃ.] *Al* ἄλλῃ.
Ver. 484. —— εἰ δὴ πού τις ἐπουράνιος θεὸς ἐστι;] Elegantissimè hîc reticetur sententiæ Apodosis; "*Si* —; *Quid deinceps fiet?*" Ut rectè *Eustathius*: Σημείωσαι δὲ ὅτι τὸ, "εἰ δὴ πού τις θεὸς ἐστὶν," ἀλλεγορικῶς ἔχει. Αἰτίαν γὰρ ἴσως τὸ "τί ἂν γενήται," ἢ "τί "ἂν ἔρεις;" ἵνα λίγη ὅτι, Οὐλόμενε, τί γενήσεται εἰ θεὸς ἐστὶ ὁ ἐμπαροινούμενος; Vide ad *N.* ἀ. 135.
Ver. 485. Καί τε θεοὶ ξείνοισιν ἐοικότες.] Similitèr *Hesiodus*;

—— ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
Ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῆσι δίκῃσι
Ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
Ἔργ. καὶ Ἡμερ. I. 247.

Et *ibid. ver.* 252.

Οἳ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἐσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν.

Et *Ovidius*;

—— summo delabor Olympo,
Et Deus humanâ lustro sub imagine terras. *Metam. lib.* I. *ver.* 212.

Similitèr ferunt *Ægyptii* (referente *Diodoro Siculo*), Deorum nonnullos πάσαν τὴν οἰκουμένην ἐπιπορεύεσθαι, φανταζομένους παῖς ἀνθρώποις ἐν ἱερῶν ζώων μορφαῖς, ἐπὶ δ' ὅτε ἐφ' ἑαυτῶν ἰδίας, ἢ τινῶν ἄλλων, μεταβάλλοντας καὶ τοῦτο μὴ μυθῶδες ὑπάρχειν, ἀλλὰ δυνατὸν, λέγειν οὗτοι πρὸς ἀλήθειαν εἶναι οἱ πάντα γινώσκοντες. Καὶ τὸν ποιητὴν δὶ εἰς Αἴγυπτον παραβαλόντα, καὶ μετασχόντα παρὰ τῶν ἱερέων τῶν τοιούτων λόγων, θαῦμα τι κατὰ τὴν ποίησιν τὸ προσειρημένον ὡς γινόμενον. "Καὶ τε θεοὶ ξείνοισ' ἐοικότες ἀλλοδαποῖσι, Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόλεις." *Diodor. Sicul. lib.* I. Porrò vituperat hunc locum *Plato*; Μωμᾶς δὲ λεγόντα ἡμῖν τῶν ποιητῶν, ὡς "καὶ θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι, Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόλεας." *De Republ. lib.* II.
Ver. 487. —— ἄβρα τε καὶ εὐνομίην.] *Al.* ἄβρης τε καὶ εὐνομίης.

Digitized by Google

Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάξατο μύθῳ.
Τηλέμαχος δ' ἐν θυμῷ κεκοδὶν μέγα πένθος ἄεξε
Βλημένος· ἐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάρων, 490
Ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τῷ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια,
Βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν·
Αἴθ' ὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν· 495
Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο,
Οὐκ ἄν τις τούτων γε ἐὐθρονον ἠῶ ἵκοιτο.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Μαῖ, ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ κηρὶ ἔοικεν. 500
Ξείνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα,
Ἀνέρας αἰτίζων· (ἀχρημοσύνη γὰρ ἀνώγει·)

Sic utique dicebant proci: ille autem non curabat verba.
Telemachus verò in corde quidem magnum luctum fovebat
Ob eum percussum; neque tamen lacrymam in humum demisit ex palpebris,
Sed tacitè movit caput, mala profundè cogitans, 491
Hunc autem postquam audiverat prudens Penelope
Percussum in domo, inter ancillas proindè dixit;
" Utinam sic ipsum te percuteret inclytus arcu Apollo."
Hanc autem rursùs Eurynome œconoma allocuta est; 495
" Si enim votis exitus nostris fieret,
" Haud quisquam horum ad pulchro-solio auroram perveniret."
Hanc autem rursùs allocuta est prudens Penelope;
" Nutrix, inimici quidem omnes, quoniam mala machinantur;
" Antinöus verò maximè atræ morti similis est. 500
" Hospes quidam infelix vagatur per domum,
" A-viris petens; (egestas enim jubet:)

Ibid. —— εὐνομίην.] Εὐνομησίαν, [Ita *Barnesius*; *Al.* Εὐημερίαν], καθ' ἣν οὐ νεμόμεθα ἢ διαβαλλόμεν. *Schol.* Ὁ Ποιητὴς τὸν καθ' ἡμᾶς νόμον ἐν οἴδε Θέμιστας δὲ ἐξ εὐνομίην λέγει ἀκόν τῆς νεμέσεως· " Ἀνθρώπων ὅδρον τε ἐξ εὐνομίην " ἰφεῶντες." *Hesychius* à *Barnesio* citatus. Vide ad *Il.* υ. 249.

Ibid. —— ἰφεῶντες.] Apud *Diodorum Siculum*, loco suprà citato, ἰσεῶντες. *Al.* ἰφίσαντες.

Ver. 488. —— ὁ δ' ἐκ ἐμπάξατο μύθῳ.] *Eustathius* hoc de *Ulysse* exponit. Ὀδυσεὺς δὲ, inquit, ἐκ ἐμπάξατο μύθῳ, ὅτι τῶν Ἀντινόου δηλαδὴ, ὅστ ὃς ἔλεγον οἱ λοιποὶ· πάντας γὰρ μισεῖ· διὸ ἐξ πάντας ἀνιλεῖ. Statim autem deinceps adjicit; Ἴσως δὲ καὶ ὁ Ἀντίνοος ἐκ ἐμπάξαιτο κοῖ καὶ αὐτῷ νημερτικῶν μύθων.

Ver. 490. —— ἐδ' ἄρα.] *Neque, ut solent magno dolore affecti* ——

Ver. 494. —— βάλοι κλυτότοξος Ἀπόλλων.] Vide suprà ad ὁ. 409. Porrò similiter apud *Virgilium*, *Apollo* vocatur " *Arcitenens*;" *Æn.* III. 75.

Ver. 496. Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο.] *Eustathius* hîc pro τέλος, τέκος legi annotat. Τὸ δὲ τέλος, (inquit), γράφεται καὶ τέκος· ἵνα λέγῃ ὁ γραῦς ὅτως· Ὦ τέκνον, εἰ γὰρ ἐπ' ἀρᾶς ἡμέτερας, ἦγον ὀστὲ ἡμῶν, ὁ Ἀπόλλων γένοιτο, πάντες ἂν ἀπόλοιντο. Quod ferri non posse existimat *Henricus Stephanus*: " Nam (inquit) de hâc quidem, ἐπ' ἀρῇσιν " τέλος ἡμετέρῃσι γένοιτο, dubitare nos ex- " empla non sinunt; at nescio an ipsemet " *Eustathius* alteram lectionem vel unius " exempli auctoritate confirmare potuisset, " εἰ γένοιτο ἐπ' ἀρᾶς ἡμετέρας, id est, ὀστὲ " ἡμῶν." Atqui MSS. duo à *Tho. Bentleio* collati τέκος legunt.

Ver. 500. —— μελαίνῃ κηρὶ ἔοικεν.] Ita *Iliad.* γ'. 454.

Ἴσον γὰρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.

Digitized by Google

Ἔνθ' ἄλλοι μὲν πάντες ἐπέπληγόν τ', ἐδόασάν τε·
Οὗτος δὲ θρήνυϊ πρυμνὸν βάλε δεξιὸν ὦμον.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμωῇσι γυναιξίν, 505
Ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς.
Ἡ δ' ἐπί οἱ καλέσασα προσηύδα δῖον ὑφορβόν·
Ἔρχεο, δι' Εὔμαιε, κιὼν τὸν ξεῖνον ἐναγχθὲ
Ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι, ἠδ' ἐρέωμαι,
Εἴ πῃ Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται, 510
Ἦ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικεν.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί,
Οἵ' ὅγε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
Τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα 515
Ἐν κλισίῃ, (πρῶτον γὰρ ἐμ' ἵκετο νηὸς ἀποδράς·)
Ἀλλ' ἔπω κακότητα διήνυσεν ἣν ἀγορεύων.
Ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς τε θεῶν ἔξ
Ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσι,
Τῷ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ· 520
Ὡς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισι.

"Ibi alii quidem omnes impleveruntque, dederuntque;
"Hic autem scabello extimum percussit dextrum humerum."
Illa quidem sic loquebatur inter famulas mulieres, 505
Sedens in thalamo; cœnabat autem nobilis Ulysses:
Illa autem ad se vocatum allocuta est nobilem subulcum;
"Vade, nobilis Eumæe, profectus hospitem jube
"Venire, ut aliquatenùs cum ipso congrediar, et interrogem,
"Sicubi de Ulysse malorum-patiente vel audiverit, 510
"Vel *eum* viderit oculis: multivago enim similis est."
Hanc autem respondens allocutus es, Eumæe subulce;
"Utinam enim tibi, regina, tacerent Achivi,
"Qualia hic loquitur, mulceret tibi charum cor.
"Tres enim jamjam ipsum noctes habui, tres autem dies detinui 515
"In casâ, (primùm enim *ad* me venit, ubi à nave aufugisset;)
"Sed nondum calamitatem absolvit suam narrans.
"Sicut autem quandò cantorem vir aspicit, qui ex diis
"Canit doctus carmina delectabilia mortalibus,
"Hunc autem insatiabilitèr cupiunt audire, quandò canit: 520
"Sic me ille mulcebat assidens in ædibus.

Ver. 504. Οὗτος δὲ θρήνυϊ πρυμνὸν.] Pronuntiabatur θρήνυ, vel θρήνυι duabus syllabis; uti et vox ὀρχηστύϊ infrà *ver.* 605.

——— τοὶ δ' ὀρχηστύϊ καὶ ἀοιδῇ
Τέρπονθ'· ———

Vide ad *Il.* σ'. 321. et 526.

Ver. 506. ——— ἰδείπνεε.] *Al.* ἐδείπνει.

Ver. 508. Ἔρχεο, δι' Εὔμαιε.] *Al.* Ἔρχεο δὴ, Εὔμαιε.

Ver. 509. ——— προσπτύξομαι.] *Al.* προσφθίγξομαι.

Ver. 513. ——— σιωπήσειαν Ἀχαιοί.] "Μυθήσεις ἐνταῦθα (inquit *Barnesius*) "Ἀχαιοὶ "λίγονται." Ita infrà *ver.* 596.

——— πολλοὶ δὲ κακὰ φαμένοιο Ἀχαιῶν.

Et σ'. 93.

——— ἵνα μὴ μιν ἐπιφθονέοιεν Ἀχαιοί.

Ver. 519. Ἀείδῃ.] *Al.* Ἀείδῃ.

Digitized by Google

Φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώιος εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
Ἔλθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
Προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι, 525
Ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
Ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
Οὗτοι δ' ἠὲ θύρῃσι παθήμενοι ἐψιαάσθων, 530
Ἢ αὐτοῦ κατὰ δῶματ'· ἐπεὶ σφίσι θυμὸς ἐΰφρων.
Αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ,
Σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν·
Οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι, ἤματα πάντα,
Βοῦς ἱερεύοντες, καὶ ὄις, καὶ πίονας αἶγας, 535
Εἰλαπινάζουσι, πίνουσί τε αἴθοπα οἶνον
Μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνὴρ,

"Dicit autem *se* Ulyssis hospitem paternum esse,
"In Cretâ habitantem, ubi Minoïs genus est.
"Indè jam nunc huc venit damna patiens,
"Supplex-provolutus: affirmat autem de-Ulysse se audivisse, 525
"Propè Thesprotorum virorum in ubere populo,
"Vivo: multas autem ducit res-pretiosas suam ad domum."
Hunc autem rursùs allocuta est prudens Penelope;
"Vade, huc voca; ut coràm ipse dicat.
"Hi autem vel in foribus sedentes delectentur, 530
"Vel illic in ædibus, quippè ipsis animus lætus *est*.
"Ipsorum etenim possessiones integræ jacent in domo,
"Panis et vinum dulce; ea quidem domestici *ipsorum* comedunt;
"Ipsi verò in nostram-*domum* divertentes, dies omnes,
"Boves mactantes, et oves, et pingues capras,
"Epulantur, bibuntque generosum vinum 535
"Temerè; plurima autem absumuntur: non enim adest vir,

Ver. 523. — ὅθι Μίνωος γένος ἐστὶν.] Dna. *Dacier* exponit, "*Où le sage Minos est né.*" Alii autem, notante eâdem Dna. *Dacier*, explicant; "*Ubi regnant Minoïs posteri.*" Quia scilicèt *Idomeneus Minoïs* nepos jam tum *Cretæ* regnaret. Sed prior verior explicatio; ut liquet ex *Odyss.* ζ'. 34. 35. ubi eadem phrasis occurrit;

——— κατὰ δῆμον
Πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῷ.

Ver. 525. Προπροκυλινδόμενος.] Ἤγων ἱκετεύων ἢ, ἱκετευτικῶς ἐκεῖ τόπου εἰς τόπον ἤκων. *Eustath.*

Ver. 530. ——— ἐψιαάσθων.] Ἀντὶ τοῦ παιζέτωσαν, διαλογιζέσθωσαν. *Schol.*

Ver. 533. ——— τὰ μὲν οἰκῆες.] *Barnesius* hîc pro μὲν, μὴν legi debere putat. Sed nihil opus. Vide ad *Il. α.* 51.

Ver. 534. ——— ἡμέτερον πωλεύμενοι.] *Al.* ἡμέτερόν γε πολεύμενοι.

Ver. 537. ——— τὰ δὲ πολλὰ κατάνεται.] Vulgati habent καταίνεται· *Barnesius* autem ex Editionum vetustiorum nonnullis edidit καταάνεται. Rectè, ut videtur. Ita enim, uti ipse annotat, in omnibus Exemplaribus legitur suprà *Odyss.* β'. 58. ubi occurrit hic locus: Cumque *Barnesio* facit et MS. à *Tho. Bentleio* collatus. Porrò *Hesychius*, notante itidem *Barnesio*, vocem κατάνεται exponit κατανύεται, ἀναλίσκεται. Ita *Iliad.* κ'. 251.

——— μέλα γὰρ νὺξ ἄνεται, ἰσγύει δ' ἠὼς.

Et *Odyss.* γ'. 496.

Ἤνον ὀδὸν ———.

Οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
Εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ὀνδῶν. 540
Ὣς φάτο· Τηλέμαχος δὲ μέγ' ἔπταρε· ἀμφὶ δὲ δῶμα
Σμερδαλέον κονάβησε· γέλασσε δὲ Πηνελόπεια·
Αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
Οὐχ ὁράας, ὅ μοι υἱὸς ἐπόπταρε πᾶσιν ἔπεσσιν; 545
Τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρας ἵκοιτο
Πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.
Ἄλλο δέ τοι ἐρέω, τὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Αἴκ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα.
Ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματά καλά. 550
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,

" Qualis Ulysses erat, qui malum à domo arceat.
" Ulysses venerit, et accesserit in patriam terram,
" Statim cum suo filio injurias ultus fuerit virorum." 540
Sic dixit: Telemachus autem altè sternuit; circùmque domus
Horrendùm resonuit; risit verò Penelope;
Statimque deindè Eumæum verbis alatis allocuta est;
" Vade mihi, hospitem coràm huc voca:
" Nonne vides, quòd mihi filius sternuit ad omnia verba? 545
" Ideò et non imperfecta mors procis fiat
" Omnibus prorsùs; neque quisquam mortem et fatum vitet.
" Aliud autem tibi dicam, tu verò in mente reconde tuâ;
" Si ipsum cognovero vera omnia dicentem,
" Induam ipsum lænâque tunicâque, vestimentis pulchris." 550
Sic dixit: ivit verò subulcus, postquam sermonem audiverat:
Propèque stans verbis alatis allocutus est;
" Hospes pater, vocat te prudens Penelope,

Ver. 538. —— ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.] Vide infrà ad χ'. 208.

Ver. 540. Αἶψα κε σὺν ᾧ παιδὶ.] *Barnesius*, minimè ignarus quâ ratione vocula σὺν producatur, nullis tamen allatis Codicibus de *suo* edidit, Αἶψα κε ᾧ σὺν παιδί. Quod scilicèt hæc lectio sit " *tutior, me-* " *liorque.*" Sed mutato nihil opus. Vide ad *Il. ά.* 51.

Ver. 541. —— Τηλέμαχος δὲ μέγ' ἔπταρεν.] Ὄρνις γὰρ πᾶσι, ἦν τοῖς σκαλαιοῖς καὶ ὁ πταρμὸς· ἐπὶ καὶ ἡ κεφαλὴ τιμία, ἐξ ἧς τὸ τοιοῦτον σύμβολον. Διὰ τὸ πρόσεισιν, ὁ πταίων· καὶ τὴν αἰτίαν λέγουσιν οἱ σοφοὶ, ἐν οἷς καὶ Ἀριστόκλης. *Eustath.* Καὶ πταρμὸς δὲ παρ' αὐτῷ [Ὁμήρῳ] σύμβολον ἀγαθὸν γίνεται. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 24. Hinc apud *Anthologiam*; Χαῖρε

Οὐδὲ λίγυε, Ζεῦ σῶσον, ἐὰν πλαγῇ ——
Lib. II. § ὡς Δυσιδεῖς.

Vide *Aristot. Problem. Sect.* 33.

Ver. 542. Σμερδαλέον κονάβησε.] Vide ad *Il. δ'.* 455. *Al.* Σμερδαλέον κανάχησε.

Ver. 545. —— ἐπέπταρε πᾶσιν ἔπεσσιν.] *Origen.* contrà *Celsum lib.* I. (notante *Barnesio*), citat ἐπέπταρεν οἴσιν ἔπεσσιν.

Ver. 547. —— ἀλύξει.] *Al.* ἀλύξαι, et ἀλύξει.

Ver. 548. —— σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι]

Καὶ ταῦτ' ἐπίστω χ' ἡδέως φρεσὶν ἔνα.
Sophocl. Philoctet. ver. 1318.

* This is printed at the end of that author's Miscellanies CCXII.

Digitized by Google

Μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τέ ὁ θυμὸς
Ἀμφὶ πόσει· πολέεσσι, καὶ κήδεά τοῦ πεπαθυῖα. 555
Εἰ δέ κέ σε γνοίη νημερτέα πάντ' ἐνέποντα,
Ἕσσοιτο δὲ χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
Χρηΐζεις· σῖτον δὲ καὶ αἰσίζων κατὰ δῆμον,
Γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ' ἐθέλῃσιν.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσεύς· 560
Εἶμαι, αἰψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι.
Κέρη Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ
Οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀιζύν.
Ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
Τῶν ὕβρις τε βίη τε, σιδήρεον οὐρανὸν ἵκει. 565
Καὶ γὰρ νῦν, ὅτε μ' ἧτος ἀνὴρ κατὰ δῶμα κιόντα
Οὔτε κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
Οὔτε τι Τηλέμαχος τόγ' ἐπήρκεσεν, οὔτε τις ἄλλος.
Τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
Μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα· 570
Καὶ τότε μ' εἰρέσθω πόσιος περὶ νόστιμον ἦμαρ,

" Mater Telemachi; sciscitari aliquid ipsam animus
" De marito jubet, quamvis dolores passa sit. 555
" Quòd si te cognoverit vera omnia dicentem,
" Induet te lænâque tunicâque, quibus tu maximè
Indiges; panem autem etiam petens per populum
" Ventrem pasces: dabit verò tibi, quicunque voluerit."
Illum autem rursùs allocutus est multa passus nobilis Ulysses; 560
" Rumaee, statim ego vera omnia dicam
" Filiæ Icarii prudenti Penelopæ:
" Novi enim benè de illo; parem autem sustinuimus ærumnam.
" Sed procorum difficilium subtimeo cœtum;
" Quorum injuriaque, violentiaque, ad ferreum cœlum pervenit. 565
" Etenim nunc, quandò me hic vir per domum euntem,
" Nihil mali cùm-feceram, percussum doloribus dedit,
" Neque omninò Telemachus hoc prohibuit, neque quisquam alius.
" Ideò nunc Penelopèn in ædibus hortare
" Manere, festinantem licèt, in solis occasum: 570
" Et tunc me interroget mariti de reditûs die,

Ver. 554. 555. —— μεταλλῆσαί τε ὁ θυμὸς —— πεπαθυῖα.] Ὅτι καὶ ἐνταῦθα αὐτοῖς σχῆμα κάμψον, ἤτοι σολοικοφανὲς, ἐν τῷ, "μεταλλῆσαί τε ὁ θυμὸς κέλεται, καὶ πάθια τε πεπαθυῖα· τὸ μὲν γὰρ ἐρῶν, ἐν κέλεται αὐτὴν ὁ θυμὸς μεταλλῆσαί τε καὶ πάθια τε πεπαθυῖαν. *Eustath.* De hujusmodi Syntaxi, vide suprà ad *ι.* 256. et ad *Il. Φ.* 44. Porro censuerò planè hoc in loco ita scripsit Poëta, quum æquè facilè scribere potuisset πεπαθυῖαν.

Ver. 556. Εἰ δὲ κε.] *Al.* Αἰ δέ κε. Ut suprà ver. 549.

Ver. 559. —— ὅς κ' ἐθέλῃσιν.] *Al.* ὅς κε θέλῃσιν. Vide suprà ad ver. 19.

Ver. 564. —— χαλεπῶν.] *Al.* χαλεπόν.

Ver. 565. Τῶν ὕβρις τε βίη τε.] Vide suprà ad *ο.* 327.

Ibid. —— ἵκει.] *Al.* ἵκεν.

Digitized by Google

Ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γὰρ σοι
Λύγρ' ἔχω· οἶσθα καὶ αὐτός, ἐπεί σε πρῶτα ἱκάνεσκον.
Ὡς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν.
Τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια· 575
Οὐ σύ γ' ἄγεις, Εὔμαιε· τί τοῦτ' ἐνόησεν ἀθήτης;
Ἦ τινά που δείσας ἐξαίσιον; ἠὲ καὶ ἄλλως
Αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Μυθεῖται κατὰ μοῖραν, ἅτερ κ' οἴοιτο καὶ ἄλλος, 580
Ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
Ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
Καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
Οἴην πρὸς ξεῖνον φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια· 585
Οὐκ ἄφρων ὁ ξεῖνος ὀίεται, ὅς περ ἂν εἴη·
Οὐκ γὰρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων

" Propiùs ubi-collocârit ad ignem, vestimenta enim
" Mala habeo; nôsti et ipse, quoniam te primùm supplex-adii."
Sic dixit: ivit autem subulcus postquam sermonem audiverat.
Eum verò super limen profectum allocuta est Penelope; 575
" Non tu utique ducis, Eumæe? quid hoc in-animum-induxit erro?
" An aliquem quodammodo veritus suprà-modum? an et alitèr
" Verecundatur in domo? malus autem *est* verecundus mendicus."
Hanc autem respondens allocutus es, Eumæe subulce;
" Loquitur appositè, quæ scilicèt putaret etiam alius, 580
" Contumeliam vitans virorum superborum:
" Sed te manere hortatur in solis occasum.
" Etenim tibi sic ipsi multò meliùs, ô regina,
" Solam ad hospitem loqui verbum, et *ex-eo* audire."
Hunc autem rursùs allocuta est prudens Penelope; 585
" Non insipiens hospes suspicatur, quicunque demùm sit;
" Non enim usquam ulli sic mortalium hominum

Ver. 572. Ἀσσοτέρω καθίσασα παραὶ πυρὶ.] Non, ut reddunt versiones plurimæ, " *Propiùs assidens apud ignem;*" sed, " *Propiùs ubi me collocârit ad ignem.*" Ita nimirùm postulare videtur tum sententia, tum vocum καθίσαι, κάθισον, &c. in Primo Aoristo significatio. Vide *Iliad.* γ', 68. ή. 49. ί. 484. et σ'. 280.

Ibid. —— γάρ τοι.] *Al.* γὰρ δὴ.

Ver. 577. Ἦ τινα που δείσας ἐξαίσιον:] Τὸ δὴ " ἐξαίσιον" δηλοῖ μὲν τὸ ἔξω τοῦ αἰσίου. Ἐστὶ δὲ ἡ αἰτιατικῆς σημαίνουσα, ἵνα δηλοῖ, δείσας τινὰ ἄνδρα ἐξαίσιον· ἢ ἀπορηματικῶς, ἀντὶ τοῦ, ἔξω τοῦ δίοντος ——. Τινὲς δὲ τὸ " δείσας ἐξαίσιον" ἀντὶ τοῦ, μέγα φοβηθεὶς, ἔφυγον. *Eustath.* Secunda optima videtur explicatio: Ut suprà δ'. 690.

Οὔτε τινα ῥίξας ἐξαίσιον ——.

Ver. 579. Τὴν δ' ἀπαμειβόμενος.] Ita ex veterum Editionum nonnullis rectè edidit *Barnesius.* Quippè *Penelopèn* hîc alloquitur *Eumæus. Henricus Stephanus* aliique nonnulli malè, Τὸν δ' ἀπαμειβόμενος.

Ver. 581. —— ἀλυσκάζων.] *Al.* ἀλυσκάζειν.

Ver. 586. Οὐκ ἄφρων ὁ ξεῖνος ὀίεται.] *Barnesius* aliique vertunt, " *Non insipiens hospes videtur.*" Sed rectiùs, ut opinor, interpretêris, " *Non insipiens* hæc *cogitat hospes.*" Ut suprà *ver.* 580. 581.

Μυθεῖται κατὰ μοῖραν, ἅτερ κ' οἴοιτο καὶ ἄλλος,
Ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.

Ibid. —— ὅς περ.] *Al.* ὅστις.

Ver. 587. —— που.] *Al.* πω.

Digitized by Google

Ἀνέρες ὑβρίζοντες ἀνοσφίσθαι μηχανόωντο.
Ἡ μὲν ἄρ' ἐς ἀγόρευον· ὁ δ' ἤγετο δῖος ὑφορβὸς
Μνηστῆρας ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα. 590
Αὖψα δὲ Τηλέμαχον ἐπεκάτερθεν ἑστάτον πρόσηΰδα,
Ἄγχι σχὰν κεφαλὴν, ἵνα μὴ πεύθοιτο καὶ οἱ ἄλλοι·
Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
Σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
Αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ, 595
Μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν·
Τοὺς Ζεὺς ἐξόλεσειε, πρὶν ἡμῖν πῆμα γενέσθαι.
Τὸν δ' αὖ Τηλέμαχος πεπιυμένος ἀντίον ηὔδα·
Ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο δειελιήσας·
Ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά· 600
Αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.

"Viri superbientes injusta machinantur."
Illa quidem sic locuta est; ibat autem nobilis subulcus
Procorum in cœtum, postquam dixerat omnia. 590
Statim autem Telemachum verbis alatis allocutus est;
Propè admoto capite, ut nè audirent alii;
"O dilecte, ego quidem abeo, sues et illa custoditurus,
"Tuum et meum victum; tibi autem hîc omnia curæ-sint.
"Ipsum quidem te primùm serva, et considera in animo, 595
"Nè quid patiaris; multi verò mala cogitant Achivorum:
"Quos Jupiter disperdat, antequam nobis nocumento-sint."
Hunc autem rursùs Telemachus prudens contra allocutus est;
"Erit sic, pater: tu verò vade merendâ-sumptâ:
"Manè autem veni, et duc victimas pulchras: 600
"At mihi hæc omnia et immortalibus curæ-erunt."

Ver. 590. —— διεπέφραδε.] Vide ad *Il.* β'. 314. et ξ'. 500.

Ver. 596. —— Ἀχαιῶν.] Vide suprà ad ver. 513.

Ver. 599. —— ἄττα.] Vide suprà ad α', 31.

Ibid. —— δειελιήσας.] Πρὸς τὴν δειλινὴν ὥραν παραγενόμενος· τουτέστι, τὴν μεσημβρίαν, ἢ τὴν ἑσπερινὴν διατρίψας. Ἔνιοι δὲ, τὴν δειλινὴν τροφὴν αἰτῶν ᾗ Καλλίμαχος φησὶ, "Δόκελον αἰτίζουσι, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργων" τὴν πρὸς τῇ δειλινῇ τροφὴν αἰτοῦντες· ἢ διόντως· πρωιεπήκαμεν γὰρ ὅτι οἱ ἀρχαῖοι τρισὶ [*Barnetius* edidit τρισὶ μόνον] τροφαῖς ἐχρῶντο. *Schol. Athenæus, lib.* I. *cap.* 10. secundum posteriorem explicandi rationem accipit: Τῆς δὲ τινάρτης (inquit) τροφῆς οὕτως Ὅμηρος μέμνηται, "Σὺ δ' ἔρχεο δειελιήσας," ὃ καλοῦσι τινὲς δειλινὸν, ὅ ἐστι μεταξὺ τοῦ ὑφ' ἡμῶν λεγομένου ἀρίστου καὶ δείπνου. Καὶ ἄριστον μὲν ἐστὶ τὸ ἀπὸ τῆς ὥρας λαμβανόμενον δεῖπνον δὲ, μεσημβρινὸν, ὃ ἡμεῖς ἄριστον· δόρπον δὲ, τὸ ἑσπερινόν. Ipse autem, uti ad hunc locum annotat *Casaubonus*, alibi alteram explicandi rationem probat, hanc prorsùs rejicit: Ὀσάκις δὲ (inquit) καὶ τροφὰς ἐλάμβανον, προιεπήκαμεν ἤδη· ὅτι δὴ τρεῖς ἦσαν· διὰ τὸ αὐτὸ ποτὲ μὲν ἄριστον, ποτὲ δεῖπνον ὀνομάζεσθαι. Τελοῖοι γὰρ εἰσὶν οἱ φάσκοντες ὅτι καὶ τέσσαρας ἐλάμβανον, ἐπεὶ ὁ Ποιητὴς ἔφη, "Σὺ δ' ἔρχεο δειελιήσας·" ἢ νοοῦντες ὅτι λέγει τὸν δειλινὸν διατρίψας χρόνον. *Lib.* V. *cap.* 4. Cæterùm ut de cibo sumendo intelligatur hæc vox, facere videntur (uti observat Dna. *Dacier*) sequentia, *ver.* 602. &c.

—— ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐυξέστῃ ἐπὶ δίφρῳ·
Πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἐδὶ πετήτος,
Βῆ ῥ' ἴμεναι μεθ' ὕας ——— ———.

Ver. 600, —— ἱερήϊα.] Vide ad *Il.* χ'. 159.

Digitized by Google

Ὡς φάβ· ὁ δ' αὖτις ἄρ' ἵζετ' ἐϋξέστου ἐπὶ δίφρου·
Πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος, ἠδὲ ποσῆτος,
Βῆ ῥ' ἴμεναι μεθ' ὕας· λίπε δ' ἕρκεά τε, μέγαρόν τε
Πλεῖον δαιτυμόων· τοὶ δ' ὀρχηστύϊ καὶ ἀοιδῇ
Τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

Sic dixit: is verò rursùs deindè sedebat benè-politâ in sede:
Ubi autem repleverat animum cibo et potu,
Perrexit utique ire ad sues, liquitque septaque, domumque
Plenam convivarum: hi autem saltu et cantu
Delectabant-se: jam enim et advenit vespertinum tempus.

Ver. 602. —— ἐϋξέστου ἐπὶ δίφρου.] *Al.* ἐπὶ δρόνου ἐνθεν ἀνίστη.

Ver. 604. —— ἕρκεα.] *Al.* ἕρκια. Uti *Iliad.* ι. 472.

Ver. 605. —— ὀρχηστύϊ.] Vide supra ad *ver.* 504.

Ver. 606. —— δείελον ἦμαρ.] Τὸ τῆς δυσκίνης ὥρας. *Schol.*

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Σ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Σ'.

ΟΔΥΣΣΕΩΣ καὶ Ἴρου πυγμὴ γίνεται· φαίνεται δὲ καὶ Πηνελόπη τοῖς μνηστῆρσι, καὶ παρ' αὐτῶν δῶρα λαμβάνει· γίνεται δὲ καί τις κοινολογία ἐν τοῖς ἤδη Ὀδυσσέως πρὸς Εὐρύμαχον.

Ἐπιγραφαί.

Ὀδυσσέως καὶ Ἴρου πυγμή.

Ἄλλως,

Σῖγμ' ἔριν Ἴρου, εὖχος Ὀδυσσεῦς, δῶρα τ' ἀνάπτων.

Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
Πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ,
Ἄζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ οἱ ἦν ἰς,
Οὐδὲ βίη· εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.
Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ 5

LIB. XVIII.

ADvenit autem mendicus publicus, qui per urbem
Mendicabat Ithacæ; excellebat verò ventre voraci,
Ad incessantèr comedendum et bibendum; neque ei erat vis,
Neque robur: specie autem valdè magnus erat intuentibus.
Arnæus verò nomen erat: hoc enim imposuit alma mater 5

Ver. 1. Ἦλθε δ' ἐπὶ πτωχὸς &c.] Καὶ ἡ Κωμῳδία ἐνθένδε [ἐξ Ὁμήρου] ποθὲν ἔλαβε τὴν ἀφορμὴν· εὗρε γὰρ ὅτι καὶ παρὰ τῷ τὰ σεμνότατα καὶ ὑψηλότατα διηγουμένῳ, ἐπεισόδια τινὰ ἐξὶ γέλωτα κινοῦντα· διὸ ἐν τῇ —— Ὀδυσσείᾳ — παρὰ τοῖς ἀσώτοις μνηστῆρσιν εἰσάγεται ὁ πτωχὸς Ἴρος τῷ γενναιοτάτῳ Ὀδυσσεῖ ἐρίζων εἰς πάλην, καὶ ἐν τῷ ἔργῳ φανόμενος καταγέλαστος. Καθόλου γὰρ οἰκεῖον ἐστὶ τῇ τοῦ ἀνθρώπου φύσει μὴ μόνον ἐπιστέντεσθαι, ἀλλὰ καὶ ἀνίεσθαι, ἵνα καὶ διαρκῇ πρὸς τὰς ἐν τῷ ζῆν πόνους. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 25. Vide infrà ad *ver.* 37.

Ver. 2. —— μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ.] Ἐκπρεπὴς ἦν ἐπὶ γαστριμαργίᾳ, εἴτουν ἀπληστίᾳ· τοῦτο γὰρ ἡ μάρξη γαστὴρ· διαλελυμένως ῥηθεῖσα, ὁμοίως τῷ "πόλις ἄπερη," καὶ τοῖς ὁμοίοις. *Eustath.* Vide et *Porphyr. Quæst. Homeric.* 11.

Ver. 3. —— φαγέμεν καὶ πιέμεν.] *Barnesius* ex *Etymolog. Magn.* edidit πιέμεν. Quo modo legit et MS. à *Tho. Bentleio* collatus. Sed et satis rectè se habet Vulgata lectio. Vide suprà ad π'. 143.

Ver. 5. —— τὸ γὰρ θέτο πότνια μήτηρ.] Apud *Etymolog. Magn.* ad vocem Ἀρναῖος, legitur (notante *Barnesio*) τὸ γὰρ θέτο οἱ πόλις μήτηρ.

Digitized by Google

Ἐκ γενετῆς· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
Οὕνεκ' ἀπαγγέλλεσκε κιὼν, ὅτε πού τις ἀνώγοι·
Ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
Καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ· 10
Οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
Ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
Ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν, οὔτ' ἀγορεύω, 15
Οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.
Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται· οὐδέ τί σε χρὴ
Ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης,
Ὥς περ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
Χερσὶ δὲ μήτι λίην προκαλίζεο, μή με χολώσῃς, 20
Μή σε, γέρων περ ἐών, στῆθος καὶ χείλεα φύρσω
Αἵματος· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη

Ex nativitate: Irum autem juvenes vocabant omnes,
Quoniam nuntia-referebat profectus; cùm alicubi quis juberet.
Qui scilicet ubi venerat, Ulyssem pellebat suâ domo,
Et ipsum objurgans verbis alatis allocutus est;
" Recede, senex, à vestibulo, nè jam citò et pede traharis: 10
" Non sentis, quòd jam mihi innuunt omnes,
" Trahereque jubent? Ego autem verecundor omnino.
" Sed surgè, nè citò nobis contentio etiam manibus fiat."
Hunc autem torvè intuitus, allocutus est solers Ulysses;
" Miser, neque quid tibi facio mali, neque dico, 15
" Neque aliquem invideo dare, etiam multa si-sumpserit.
" Limen autem ambos hoc capiet: neque omninò te oportet
" Aliena invidere; videris autem mihi esse erro,
" Sicut ego; opulentiam verò dii solent præbere.
" Manibus autem nequaquam valdè provoca, nè mihi iram-moveas, 20
" Nè tibi, senex licèt sim, pectus et labra fœdem
" Sanguine; quies verò mihi etiam magìs adhuc esset

Ver. 7. —— ὅτι πού τις.] *Al.* ὅτι κιν τις.

Ver. 10. —— μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ.] Vide suprà ad π'. 276.

Ver. 11. —— ἐπιλλίζουσιν.] Τί ἐστι τὸ ἐπιλλίζειν; τὸ διανεύειν· ἀπὸ τοῦ τοὺς διανεύοντας συστρέφειν τοὺς ὀφθαλμοὺς· ἰλλάδος γάρ οἱ συστεγραμμένοι ἱμάντες. *Porphyr. Quæst. Homeric.* 11.

Ibid. —— ἅπαντες.] *Etymolog. Magn.* ad vocem ἐπιλλίζουσιν, (notante *Barnesio*), citat Ἀχαιοὶ.

Ver. 14. Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν.] *Al.* Τὸν δ' ἀπαμειβόμενος.

Ver. 17. —— χείσεται.] Χωρήσει· ὅθεν καὶ χειὰς, τὰς καταδύσεις τῶν ὀφθῶν. *Schol.*

Ver. 18. Ἀλλοτρίων φθονέειν.] *Al.* Ἀλλοτριοφθονέειν.

Ver. 19. —— ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.] Ita suprà ζ'. 188.

Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν.

Similitèr et *Æschylus*;

Θεῶν δὲ δῶρον ἐστὶν εὐτυχῆν βροτοῖς.
Septem contra Thebas, ver. 631.

Cæterùm *Eustathius* hoc, " ὄλβον δὲ θεοὶ " ὀπάζουσι," itemque illud, " ἡσυχίη δ' ἂν ἐ- " μοὶ εἴη." infrà *ver.* 22. ad sequentem Ulyssis de Procis victoriam futuramque ipsius prosperitatem referri vult. Minus rectè.

Digitized by Google

Αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι ὀΐω
Δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος·
Τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης· 25
Ὦ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
Γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην,
Κόπτων ἀμφοτέρῃσι, χαμαὶ δ' ἐκ πάντας ὀδόντας
Γναθμῶν ἐξελάσαιμι, συὸς ὥς ληϊβοτείρης.
Ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε 30
Μαρναμένους· πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
Οὐδοῦ ἐπὶ ξεστοῦ πανθυμαδὸν ὀκριόωντο.
Τοῖιν δὲ ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο,
Ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεε μνηστήρεσσιν· 35
Ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη·

"Cras: nequaquam enim te reversurum puto
"Iterùm in domum Laërtiadæ Ulyssis."
Hunc autem iratus allocutus est Irus mendicus; 25
"Papæ! ut hic vorax volubilitèr loquitur,
"Vetulæ camino-assuetæ similis; cui mala molirer,
"Verberans ambabus; in-terram autem omnes dentes
"Maxillis excuterem, suis sicut segetem-depascentis.
"Accingeſte nunc; ut omnes cognoscant et hi 30
"*Nos* pugnantes: quomodò verò tu cùm juniori viro pugnaveris?"
Sic hi quidem ante fores altas
Limine in polito animosè rixabantur.
Eos autem animadvertit sacra vis Antinöi;
Suavitèrque ridens allocutus est procos; 35
"O amici, haud quidem unquam aliquid anteà tale factum est:

Ver. 24. Δεύτερον ἐς μέγαρον.] *Al.* Αὖτις ἴσω μεγάρου.

Ver. 27. Γρηῒ καμινοῖ ἶσος.] Τὸ δὶ, "γρηῒ "καμινοῖ ἶσος," οἱ μὲν κατὰ τὸ πολύλαλον φασὶν, ὡς ἐν ῥητορικῷ δηλῶται λεξικῷ. Ἕτεροι δὶ τὸ μὲν Γρηῒ διὰ τὸ ῥυσὸν τοῦ προσώπου εἶπον· τὸ δὶ καμινοῖ, διὰ τὸ ἐπιφαινόμενον μέλαν, ὡς οἷον ἐκ τινὸς ἀσβόλης. *Eustath.* Prior interpretatio ad vocis ἶσος significationem aptior; alioqui enim εἴκελος potiùs dicendum fuisse videtur. Cæterùm *Aristarchus* et *Herodianus*, notante ibidem *Eustathio*, vocem καμινὼ exponunt τὴν καμινοῦτριαν, ἤτοι φρύτανιν κριθὰς πρὸς εὐχρειτίραν ἀλευροποιίαν.

Ibid. ——— μητισαίμην.] *Barnesius* edidit μητισαίμην· et in annotationibus, "Ita," inquit, "scribendum, Duplici σ, ob *Metrum*." Sed nihil opus. Nam μητισαίμην antepenultimam producit. Vide ad *Il.* ψ'. 312.

Ver. 29. ——— συὸς ὡς ληϊβο]τείρης.] Τῆς κατεσθίσης τὸ λήϊον, ὃ ἐστὶ τὸ σιτοφόρον χωρίον ἐὰν γὰρ εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξοδοντίζεται. *Schol.* Ἐν Σαλαμῖνι δὶ χλωρῷ σίτῳ ᾗ ληΐῳ κομῶντος, ἐὰν σῦς εἰσπεσοῦσα ἀποκείρῃ, νόμος ἐστὶ Σαλαμινίων τὺς ὀδόντας ἐκτρίβειν αὐτῆς· ᾗ τοῦτο εἶναι τὸ παρ' Ὁμήρῳ "συὸς ληϊβοτείρης" φασὶν. Οἱ δὶ ἑτέρως νοοῦσι, ᾗ λίγουσι, χλωρῷ σίτῳ τὴν σὺν γευσαμένην, ἀσθενεῖς ἔχειν τὺς ὀδόντας. *Ælian. de Animal. lib.* V. *cap.* 45. *ipso fine.* Verùm posterior ista explicatio satìs inepta.

Ver. 34. Τοῖιν.] *Al.* Τοῖσιν. Quod hoc quidem in loco perinde est. Vide ad *Il. α.* 566.

Ibid. ——— ἱερὸν μένος Ἀντινόοιο.] Χρησολογεῖ κατὰ ΣΘ οἰκεῖον ὁ Ποιητὴς τὸν κάκιστον Ἀντίνοον, ἐν τῷ "ἱερὸν μένος Ἀντινόοιο" ὡς ᾗ μετ' ὀλίγα "ἱερὴ ἷς Τηλεμάχοιο" φησὶν. Εἰ γὰρ ᾗ κακὸς ὁ Ἀντίνοος, ἀλλ' εἶχε τινὰ ἐφ' οἷς ἐχρῆν αὐτὸν ἐπαινεῖσθαι. *Eustath.* Vide suprà ad *α.* 29.

Ver. 35. ——— με]τεφώνει.] *Al.* μετεφώνει.

Digitized by Google

Οἴην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα·
Ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
Χερσὶ μαχέσασθαι· ἀλλὰ ξυνελάσσομεν ὦκα.
Ὣς ἔφαθ· οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
Ἀμφὶ δ' ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
Γαστέρες αἰδ' αἰγῶν κέατ' ἐν πυρί· τάσδ' ἐπὶ δόρπῳ
Κατθέμεθα, κνίσσης τε καὶ αἵματος ἐμπλήσαντες·
Ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
Τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω·
Αἰεὶ δ' αὖθ' ἡμῖν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
Πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
Ὦ φίλοι, οὔπως ἐστὶ νεωτέρῳ ἀνδρὶ μάχεσθαι
Ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ

" Qualem delectationem deus duxit ad hanc domum:
" Hospesque et Irus contendunt inter-sese
" *Usque*-ad manibus pugnandum: sed committamus ocyùs."
Sic dixit: illi autem omnes surrexerunt ridentes,
Circumque mendicos pannosos congregabantur.
Inter hos autem Antinöus locutus est, Eupitheï filius;
" Audite me, proci eximii; ut aliquid dicam;
" Ventres isti caprarum jacent in igne: quos in cœnam
" Deposuimus, pinguedine et sanguine impletos.
" Uter autem vicerit, superiorque fuerit,
" Eorum quem voluerit, ubi-surrexerit, ipse eligat:
" Semper autem deinceps inter nos convivabitur; neque quenquam alium
" Pauperem intùs misceri *nobis* sinemus mendicaturum."
Sic dixit Antinöus: illis autem placebat sermo.
Hos verò dolos-meditans allocutus est solers Ulysses:
" O amici, nequaquam *æquum*-est cum juniori viro pugnare
" Virum senem, calamitate labefactum; sed me venter

Ver. 37. Οἴην τερπωλὴν θεὸς ἤγαγεν.] Ὁ διὰ πάσης τῆς Ἰλιάδος συνθρωπὸς Ποιητής, ᾗ ὡς οἷον ἄγριος, μυρίας ἱλαρότητας ἐν Ὀδυσσείᾳ σοφίζεται, ὐ μόνον ἐν ἐπφράσεσι ᾗ ξενικαῖς διηγήσεσι ᾗ ἀνδρῶν τρυφώντων ἐκθέσεσι, ᾗ ἀοιδῶν αἷς οἱ ταύτου χαίρουσιν ἀλλὰ καὶ ἐν τῷ σκώπτειν ᾗ παίζειν, ὃ ᾗ ἐνταῦθα ποιεῖ μετὰ ᾗ κοιπτικῆς χάριτος. Τὶ γὰρ δεῖ ἀκπῶν ᾗ τὰ λοιπὰ οἷς, ὅσα ᾗ παιδας, ἡδέως τιτθεύει τὺς ἀπαλωτέρους καὶ ἁπλωτέρους ἀπροατὰς. *Eustath.* Vide suprà ad *ver.* 1.

Ver. 41. ——— κακοείμονας.] Κακὰ ἱμάτια περιβεβλημένους. *Schol.*

Ver. 44. Γαστέρες αἰδ' αἰγῶν κέατ' ἐν πυρί.] Οἰκεῖον τὸ ἄθλον, τοῖς διὰ γαστέρα δυσυχοῦσι. *Schol.*

Ibid. ——— τάσδ'.] Ita *Barnesius.* Al. τὰς δ'.

Ver. 53. ——— ἀλλὰ με γαστὴρ Ὀτρύνει κακοεργός.] Ἐν δὲ τῷ, " ἀλλά με γαστὴρ Ὀτρύνει " κακοεργός," ἀμφίβολον, ποίαν λέγει γαστέρα, ἤτοι τὴν ἑαυτοῦ, δι' ἣν πάσχειν εἶπε καὶ πρὸ μικροῦ, εἴτε τὴν ὀπτωμένην ᾗ πιμπλῶσαν ὡς ἐμφέρεται πρὸς ἔπαθλον. *Eustath.* Sed nulla omnino hæc ἀμφιβολία. Priorem enim veram esse explicandi rationem liquet ex epitheto κακοεργός. Vide suprà ad ρ'. 286.

Digitized by Google

Ὀτρύνει κακοεργὸς, ἵνα πληγῆσι δαμείω.
Ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον, 55
Μή τις ἐπ' Ἴρῳ ἦρα φέρων ἐμὲ χειρὶ παχείῃ
Πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἵφι δαμάσσῃ.
Ὡς ἔφαθ· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευεν.
Τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἷς Τηλεμάχοιο·
Ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ, 60
Τοῦτον ἀλεξασθαι, τῶν δ' ἄλλων μή τιν' Ἀχαιῶν
Δείδιθ· ἐπεὶ πλέονεσσι μαχήσεται, ὅς κέ σε θείνῃ.
Ξεινοδόκος μὲν ἐγὼν, ἐπὶ δ' αἰνεῖτον βασιλῆες
Εὐρύμαχός τε καὶ Ἀντίνοος, πεπνυμένω ἄμφω.
Ὡς ἔφαθ· οἱ δ' ἄρα πάντες ἐπήνεον· αὐτὰρ Ὀδυσσεὺς

" Instigat maleficus, ut plagis domer.
" Sed age nunc mihi omnes jurate firmum jusjurandum, 55
" Nè quis Iro gratificans, me manu robustâ
" Percutiat prævaricans, eique me violentèr domet."
Sic dixit: illi autem omnes abjurabant, sicut jubebat.
Inter eos autem rursùs locuta est sacra vis Telemachi;
" Hospes, si te jubet cor et animus generosus, 60
" Istum propellere; *fac*: cæterorum autem neminem Achivorum
" Time, quoniam cum-pluribus pugnabit, qui te percutiat.
" Hospitum-exceptor quidem ego; comprobant verò reges
" Eurymachusque et Antinöus, prudentes ambo."
Sic dixit: hi autem omnes comprobârunt: at Ulysses 65

Ver. 56. —— ἐπ' Ἴρῳ ἦρα φέρων.] Vide suprà ad γ'. 164.

Ibid. —— παχείῃ.] *Al.* βαρείῃ.

Ver. 58. —— ἀπώμνυον.] Vide suprà ad β'. 377. *Al.* ἐπώμνυον.

Ibid. —— ὡς ἐκέλευεν.] Post hunc versum in utrâque *Eustathii* editione sequitur;

Αὐτὰρ ἐπεὶ ῥ' ὄμοσαν τε, τελεύτησάν τε τὸν ὅρκον·

Quem versum omninò hîc restituendum contendit *Barnesius*. Ac occurrit quidem hic versus suprà β'. 378. κ'. 346. μ'. 304. ὁ. 437. et *Iliad.* ξ'. 280. Sed et potest sine sententiæ dispendio abesse.

Ver. 59. —— μετέειφ'.] *Al.* μετέφη.

Ver. 64. Εὐρύμαχος τε καὶ Ἀντίνοος.] Ita Vulgati. *Barnesius* autem ex utrâque *Eustathii* Editione et ipsius commentario edidit, Ἀντίνοος τε, καὶ Εὐρύμαχος· Quod scilicèt " *Principem Procerum* Antinöum *primò* " *nominari*" oporteat.

Ver. 65. —— αὐτὰρ Ὀδυσσεὺς Ζώσατο μὲν ῥάκεσιν περὶ μηδέα, φαῖνε δὲ μηρούς.]

Hæc fatus, duplicem ex humeris dejecit amictum; [ossa, lacertosque,
Et magnos membrorum artus, magna Exuit; atque ingens mediâ consistit arenâ. *Æn*, V. 421.

Ἰστέον δὲ (inquit *Eustathius*) ὅτι τὸ " Ζώσα- " το ῥάκεσιν" ἐμφαίνει, μὴ ζώνῃ χρᾶσθαι τοὺς πυγμάχους, καὶ οὕτως ἀναρίλλειν τὸ ἱμάτιον· ἀλλ' ἀποδυσαμένους, εἶτα ἱματίῳ ζώννυσθαι· ὡς ἐνταῦθα Ὀδυσσεὺς ἐζώσατο ῥάκεσιν· οὐ γυμνοῦ θεὶς, μηδέα μὲν καλύπτει, φαίνει δὲ μηρὸς καὶ ὤμους καὶ στήθεα καὶ βραχίονας. Quod tamen hinc non liquet. Videtur enim Ulysses pannis se hîc accinxisse, quòd cingulo careret: *Eurygalus* certè, pugnorum certamen initurus, cingulo utitur, *Iliad.* ψ'. 683. Cæterùm de hoc loco *Dionysius Halicarnassensis*; Ὁ δὲ τρῶτος ἐπιχειρήσας ἀποδυσῆναι τὸ σῶμα, καὶ γυμνὸς Ὀλυμπιάσι δραμὼν, ἐπὶ τῆς πεντηκοστῆς καὶ διακοσιοστῆς Ὀλυμπιάδος, Ἄκανθος ὁ Λακεδαιμόνιος ἦν. Τὰ δὲ πρὸ τούτων δι' αἰσχύνης εἶχον ἅπαντες Ἕλληνες ὅλα γυμνὰ φαίνειν ἐν τοῖς ἀγωνίαις τὰ σώματα, ὡς Ὅμηρος τεκμηριοῖ, μαρτύρων ἀξιοπιστότερος [fortè ἀξιοπιστότατος] τι καὶ ἀρχαιότατος ὤν, ζωννυμένους τοὺς ἥρωας ποιῶν. Τὴν γὰρ Αἴαντος καὶ Ὀδυσσέως πάλαιν ἐπὶ τῇ Πατροκλέους ταφῇ γινομένην ἀφηγούμενος, φησὶν (*Iliad.* ψ'. 710.) " Τὼ δὲ ζωσαμένω " βήσην ἐς μέσσον ἀγῶνα." Καὶ ἔτι σαφέστερον ἐν Ὀδυσσείᾳ τοῦτο ποιεῖ φανερὸν ἐπὶ τῆς Ἴρου καὶ Ὀδυσσέως πυγμῆς, ἐν τοῖσδε τοῖς ἔπεσι " — " αὐτὰρ Ὀδυσσεὺς Ζώσατο μὲν ῥάκεσιν περὶ " μηδέα &c." Τὸν δὲ πτωχὸν ἐκεῖνο βελόμενον μάχεσθαι, ἀλλ' ἀποδιδράσκοντα ἐπεσέφων, τοῖδε

Digitized by Google

Ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς 66
Καλούς τε, μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι,
Στήθεά τε, στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
Ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
Μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο· 70
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει·
Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.
Ὡς ἄρ' ἔφαν· Ἶρῳ δὲ κακῶς ὠρίνετο θυμός·
Ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον ζώσαντες ἀνάγκῃ, 75
Δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,

Cinxit quidem se pannis circum genitalia, ostendebat verò femora
Pulchraque, magnaque; nudati-sunt autem ei lati humeri,
Pectoraque, robustaque brachia: at Minerva
Propè astans membra auctavit pastori populorum
Proci verò omnes vehementer admirati sunt: 70
Sic autem aliquis dicebat intuitus propinquum alium:
"Certè citò Irus miser-Irus accersitam malum habebit:
"Qualem ex pannis senex coxam ostendit."
Sic utique dixerunt: Iro autem malè commovebatur animus:
Sed et sic famuli ducebant cinctum vi, 75
Timentem: carnes verò tremebant circum membra.
Antinous autem increpabat, verbumque dixit, et compellabat;
"Nunc quidem neque sis, jactator, neque natus fueris,

εἴρηκεν· "—— Ἀλλὰ καὶ ὣς μνηστῆρες ἄγον, "ζώσαντες ἀνάγκῃ, Δειδιότα." Τοῦτο δὴ τὸ ἴδιος ἀρχαῖον ἐν τοῖς Ἕλλησιν ὄν, οἱ φυλάσ[σον]τες μέχρι τοῦδε Ῥωμαῖοι δῆλοι εἰσὶν ὑ προσμαθόν[τες παρ' ἡμῶν ὕστερον, ἀλλ' οὐδὲ μεταβίμενοι σὺν χρόνῳ καθάπερ ἡμεῖς. *Antiquitat. Rom. lib.* VII.

Ver. 66. Ζώσατο μὲν ῥάκεσιν.] *Al.* Ζώσατο καὶ ῥάκεσιν.

Ver. 69. —— μέλε' ἤλδανε.] Ἤτοι εὐτραφῆ καὶ λιπαρὰ ἐποίει, εὐφύεσα τὰ μέλη. *Porphyr. Quæst. Homeric.* 10.

Ver. 72. Ἦ τάχα Ἴρος ἄϊρος.] Τὸ δὲ "Ἴρος ἄϊρος" ταυτὸν τῷ Ἴρος κακοῖρος, καθ' ὁμοιότητα τοῦ "κακοῖλιον ἐκ ὀνόματος." [*Odyss.* τ'. 269.] καὶ τοῦ, ὕπνος ἄϋπνος, παρὰ Σοφοκλεῖ· καὶ τῶν ὁμοίων. Ἢ καὶ ἄλλως ἄϊρος, ὁ μηκέτι ἰσόμενος Ἴρος, ἀλλὰ τιθηνόμενος *Eustath.* Vide et *Porphyr. Quæst. Homeric* 16. *sub fine.* Cæterùm *Meric. Casaubonus* hanc vocem alitèr exponit: "Nec illi "(*Scholiastes*), nec *Eustathius*," inquit, "rationem nominis explicant; ad quam respicere videtur Homerus, cùm addit, ἐ "πίσπαστον κακὸν ἕξει. Ego suspicor illum "ad significationem verbi ἀΐρω, vel ἀείρω, "alludere voluisse. Certè ἀϊρετὸν vel ἀϊδαί"ρετον (quod in Eustathio) planè idem "quod ἐπίσπαστον in hoc sensu, cum τῷ, κα"κὸν, junctum." *De nuperâ Homeri Editione, Dissertat.* I. Mirè admodùm.

Ver. 73. Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.] Hinc *Strabo, Geograph. lib.* I. *pag.* 28. *al.* 15. Οἵην ἐκ ῥακέων ὁ Βίων. Quem ad locum *Casaubonus* in annotationibus, citato hoc *Homeri* versu; "Quum "ἐπιγουνίδα," inquit, "Aristarchus expone"ret. τὸ ἐπάνω τοῦ γόνατος· Crates, τὴν ἐπι"μίδα. Chares verò, τὴν ἐφ' ὅλῳ τῷ σώματος "εὐσαρκίαν. Strabo ita παραδῶν, secutus vi"detur Cratetis expositionem: aut potiùs "Charetis, quam etiam alius Homeri lo"cus confirmat, ὀδ. ρ'." *Hesychius* autem cum *Aristarcho* vocem ἐπιγουνίδα exponit, τὸ ἐπάνω τοῦ γόνατος· λίγει δὲ τὸν μηρὸν, ἀφ' οὗ ἐπιδεικτέον τὴν τοῦ σώματος εὐεξίαν. Vide suprà ad ρ'. 225.

Ver. 75. —— δρηστῆρες.] Apud *Dionysium Halicarnassensem*, loco suprà ad *ver.* 65. citato, μνηστῆρες.

Ver. 78. —— μήτ' εἴης, βουγάϊε, μήτε γένοιο.] Τὸ δὲ, "μήτε εἴης, μήτε γένοιο," π[illegible]

Εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,
Ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν ἱκάνει. 80
Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
Αἴ κέν σ' οὗτος νικήσῃ, πρείσσων τε γένηται,
Πέμψω σ' Ἠπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνῃ,
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
Ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέϊ χαλκῷ, 85
Μήδεά τ' ἐξερύσας, δώῃ κυσὶν ὠμὰ δάσασθαι.
Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα·
Ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.

" Si profectò hunc tremis et times gravitèr,
" Virum senem, calamitate labefactum, quæ ipsum occupat. 80
" Sed tibi edicam, quod et perfectum erit;
" Si te hic vicerit, superiorque fuerit.
" Mittam te in-Epirum, conjectum in navem nigram,
" Ad Echetum regem, hominum perniciem omnium,
" Qui nasum abscindat et aures sævo ære, 85
" Genitaliaque evulsa det canibus cruda discerpenda."
Sic dixit: ei verò adhuc magis tremor subiit membra:
In medium autem eum duxerunt; illi verò ambo manus elevârunt.

τῷ, μήτε νῦν εἴπῃς, μήτε ἐγίνω (ἶδος γὰρ τοῖς δημαίνοις μιμεῖσθαι καὶ τὸ ἦθη γιγνοῖς, καὶ ἐπιφέρεσθαι μὴ ἂν γενίσθαι, εἰ καὶ ἀδύνατος ἡ ἀρετ) ἢ, μήτε εἴπῃς ἄρτι, ἀλλὰ τεθναίης, μήτε μὴν πάλιν ὕστερον γένοιο. *Eustath.*

Ibid. —— βυγάϊε.] Μεγάλως ἐπαιρόμενε, βοῦν ἔργα πολλῶν. *Schol.* Ὅτι δὲ —— ὁ βῦς πολὺ μέγεθος περιμφαίνει ἐν ταῖς συνθέσεσι, δηλοῖ καὶ ἡ "βῦ" ἐπίστασις, ἣν ἐκ τοῦ ζώου τούτου ἀλήθεται λέγουσιν· ἐξ ἧς ἐπιτάσεως καὶ ἡ βύθεμεσις, καὶ ἡ βύπτυπα, καὶ ὁ βέλμος, καὶ ὁ βαθύνας, καὶ ὁ βύπαις. *Eustath.* in commentario ad *Iliad.* ν'. 824.

Ver. 83. Πέμψω σ' Ἠπειρόνδε.] Αἴγυπτ δὲ ἐξ οὗ Ἠπειρον, χώραν ἰδίως ἔτι πολυωνύμων ὀνομάζεται κειμένην Ἰθάκης, μεγάλην ἀφ' ἧς καὶ Πύρρος Ἠπειρώτης ὕστερον, ἄρξας τῶν ἐκεῖ. *Eustath.*

Ver. 84. Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.] Ἔχετος ἦν μὲν εἷς Βοσπόρου, ἀφ' ἧ καὶ ἐν Σικελίᾳ πόλις Βόσπορος καλεῖται Σικελῶν δὲ τύραννος λέγεται. Τοῦτον τὸν μὲν ἐκχωρίοις κακὰ πάντα τρόπον εἰκάσθαι, τοὺς δὲ ξένους ἀπαρτῶν λαβόμενον [*Barnesius* edidit λαβόμενον] τοιαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τὸν μαχαῖρα εἰκάσαντας, ὅτι θέλων σφόδρα τιμᾶν τιμωρεῖσθαι καὶ ξένον περιβαλεῖν θανάτῳ, ἐκκόψαι αὐτῷ· [Ita *Barnesius* pro vulgato αὐτὰς] πολλὰς γὰρ μαχαιρὰς ἐξιφεῖν τοῦτον κακίας ἕνα τὸν λαὸν ἐκ ὀνομάσαν τὴν πικρὰν ταύτην τιμωρίαν, λίθοις δὲ αὐτὸν ἀναλῶν. *Schol.*

Ibid. —— Ἔχετον βασιλῆα.] Ὅρα δὲ καὶ ὅτι τὸν Ἔχετον δεῖν τύραννον εἰπεῖν, ὁ δὲ βασιλέα εἶπεν· ἀγνοεῖται γὰρ ἐπὶ Ὁμήρου ἡ τύραννος λέξις. *Eustath.* Similitèr *Dionysius Halicarnassensis*; Τὸν δὲ βιαίως καὶ παρανόμως ἄρχοντα Τύραννον μὲν ὁ καλεῖ, πιώτερον γὰρ τὸ ὄνομα· εἰδὼς δὲ τοῖς ἔργοις γίνεται, δείκνυσιν ἐν τούτοις. " Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων Ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέϊ χαλκῷ." Περὶ τῆς Ὁμήρου ποιήσεως, § 21. Vide *Gataheri Cinnum, sive Adversaria Miscellanea, lib.* I. *cap.* 1. *Barnesius* autem in annotationibus ad hunc locum; " Nota," inquit, " *Homerum* βασιλέα " vocare, non τύραννον illa enim Vox iis " temporibus extabat quidem, ut Hymn. " *Martis ver.* 5. Ἀντιβίωσι τύραννε." Ita ille. Sed rectiùs fortassè hinc colligas, Hymnum istum non *Homeri* esse, sed recentioris cujusdam auctoris Οὔτε γὰρ Ὅμηρος, (inquit *Scholiastes* ad *Sophocli. Oedip. Tyranni Epigrapheu*), ἔτε Ἡσίοδος. ἔτε ἄλλος ὧδὲς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει.

Ver. 87. —— ἔλλαβε.] *Al.* ἕλυθ.

Ver. 88. Ἐς μέσσον δ' ἄναγον.] Ἐν δὲ τῷ, " ἐς μέσον ἄναγον." inquit *Eustathius*, " ρητὴ ἡ πρόθεσις. At nescio annon eam hoc vi adduci. Vide ad *ver.* 75. Alioqui facilè scribere potuisset Poëta, Ἐς μέσσον δ' ἄναγον.

Ibid. —— τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.] Versiones vulgatæ, quas ferè secutus est *Barnesius*, reddunt, " *Hi autem ambas manus* " *elevaverunt.*" Sed rectiùs, ut opinor,

Digitized by Google

Δὴ τότε μερμήριζε πολύτλας δῖος Ὀδυσσεὺς,
Ἢ ἐλασεῖ, ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα, 90
Ἠέ μιν ἦκ' ἐλάσειε, τανύσσειέν τ' ἐπὶ γαίῃ.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίτ' Ἀχαιοί.
Δὴ τότ' ἀνασχομένω, ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ' αὐχένι ἔλασσεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω 95
Ἔθλασεν· αὐτίκα δ' ἦλθεν ἀνὰ στόμα φοίνιον αἷμα·
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, σὺν δ' ἤλασ' ὀδόντας,
Λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
Χεῖρας ἀνασχόμενοι γέλω ἔκθανον· αὐτὰρ Ὀδυσσεὺς
Εἷλκε δι' ἐκ προθύροιο, λαβὼν ποδός· ὄφρ' ἵκετ' αὐλὴν, 100
Αἰθούσης τε θύρας· καί μιν ποτὶ ἕρκίον αὐλῆς

Tum demùm deliberavit multa-passus nobilis Ulysses,
An feriret, adeò-ut ipsum anima linqueret illic lapsum; 90
An ipsum levitèr feriret, extenderetque super terram.
Sic autem ei cogitanti visum est satius esse,
Levitèr ferire, ut nè ipsum cognoscerent Achivi.
Tunc demùm *manibus*-elevatis, percussit quidem dextrum humerum
Irus; ille autem *ei* cervicem percussit sub aure, ossaque intùs 95
Fregit; statim autem venit per os ruber sanguis:
Decidit verò *is* in pulveribus vociferatus, collisitque dentes,
Calcitrans pedibus terram; at proci eximii
Manibus sublatis risu emoriebantur: verùm Ulysses
Extrahebat per vestibulum, prehensum pede; donec venit ad atrium, 100
Porticûsque fores; et ipsum ad septum atrii

---

istud ἄμφω de Viris intelligas. Vide et *Iliad.* ψ'. 686.

Constitit in digitos extemplò arrectus uterque,
Brachiaque ad superas interritus extulit auras. *Æn.* V. 426.

Ver. 90. Ἢ ἐλάσει'.] Ita edidit *Barnesius* ex versu sequente Ἠέ μιν ἦκ' ἐλάσειε. Rectè ut videtur. *Vulgg.* Ἢ ἐλάσει. *Al.* Ἢ ἐλάσοι.

Ver. 91. —— τανύσσειεν.] Ita iterùm rectè *Barnesius*; Quocum facit et MS. à *Tho. Bentleio* collatus. *Vulgg.* τανύειεν. Quod antepenultimam corripit. Vide ad *Il.* ε'. 58.

Ver. 93. —— ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.] Τεκμηραμένοι δηλαδὴ τὸν ἄνδρα ἐκ τῆς ὕτω βριαρᾶς ἐλάσεως. *Eustath.*

Ibid. —— Ἀχαιοί.] Οἱ μνηστῆρες· Ut rectè *Barnesius*. Vide suprà ad ε'. 513.

Ver. 94. Δὴ τότ' ἀνασχομένω, ὁ μὲν.] De hujusmodi Syntaxi, vide suprà ad μ'. 73.

Ver. 95. —— ἔλασσεν ὑπ' ὤατος, ὀστέα δ' εἴσω Ἔθλασεν· &c.] Pulcherrimè *rem* depingunt et quasi ob oculos ponunt hæc verba.

Ver. 96. —— ἦλθεν ἀνὰ στόμα.] *Al.* ἦλθε κατὰ στόμα.

Ver. 99. Χεῖρας ἀνασχόμενοι γέλω ἔκθανον.] Ὡσαύτως δὲ καὶ λυπουμένων διαφορᾶς ἐπιδείκνυσι, [Ὅμηρος], καὶ ἡδομένων ὁμοίως· ἄστε ὁ μὲν Ὀδυσσεὺς διηγούμενος, ὃν τρόπον τοὺς Κύκλωπας ἐξηπάτησεν, ἔφη, [suprà ί. 413.] "— ἐμὸν "δ' ἐγέλασσε φίλον κῆρ·" οἱ δὲ μνηστῆρες πεσόντα τὸν πτωχὸν ἰδόντες, "Χεῖρας ἀνασχὼν "μινοι γέλω ἔκθανον." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 16.

Ibid. —— γέλω.] Ἐν δὲ τῷ, "γέλω ἔθα-"νον," ἄδηλον —— εἴτε κατὰ ἰσοπαλάλληλον κλίσιν ἡ δισυλλαβίαν τῷ γέλῳ, εἴτε καὶ κατὰ ἀποκοπὴν ἐκ τοῦ γέλοῖ, ὅτι ὀ' ἂν ἔχοι τὸ ἴσον προσγεγραμμένον. *Eustath.* Ὁ χρὼς, τοῦ χρῶ, Ἀττικῶς, ὡς γέλως, γέλω. Οἱ δὲ ἀπὸ τοῦ χρὼς, χρωτὶ, ἀποκοπῇ τῆς "τι" συλλαβῆς. *Suidas*, ad voces Ἐν χεῖρ κεκαρμένος. Sed et γέλῳ *Dativus* simplicitèr esse potest ex γέλΘ', quæ vox apud Poëtam occurrit infrà ύ. 346.

Ἄσβεστον γέλοι ὄρσε ——.

Nisi ibi fortè vera sit lectio quam habet MS. à *Tho. Bentleio* collatus, Ἄσβεστον γέλω ὄρσε ——. Vide infrà ad *ver.* 211.

Digitized by Google

Εἷσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐνταυθοῖ νῦν ἧσο, κύνας τε σύας τ' ἀπερύκων,
Μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι, 105
Λυγρὸς ἐών· μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ', ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω·
Ἠδὺ γελώοντες, καί ἑ δεικανόωντ' ἐπέεσσιν· 110
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὅττι μάλιστ' ἐθέλεις, καί σοι φίλον ἔπλετο θυμῷ,
Ὅς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας·
Ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν Ἠπειρόνδε
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων. 115
Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κλεηδόνι θεῖος Ὀδυσσεύς·
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν
Ἐμπλείην πνίσσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
Ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας,
Καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε· 120

Statuit reclinatum; baculum autem ei injecit manui,
Et ipsum affatus verba alata dixit;
" Hîc nunc sede, canesque, suesque abarcens:
" Neque tu sanè hospitum et mendicorum dominus esto, 105
" Vilis cùm-sis; necubi aliquod malum etiam majus accipias."
Dixit utique; et circum humeros sibi turpem jaciebat peram,
Crebris locis laceram; tortile verò inerat lorum.
Retrò autem ipse ad limen profectus desidebat; illi autem iverunt intrò
Suavitèr ridentes, et eum blandè-compellabant verbis; 110
" Jupiter tibi det, hospes, et immortales dii alii,
" Quodcunque maximè vis, et tibi gratum est animo;
" Qui hunc insatiabilem à mendicando cessare-fecisti
" In populo: citò enim ipsum ducemus in-Epirum,
" Ad Echetum regem, hominum multatorem omnium." 115
Sic utique dixerunt; gaudebat autem omine nobilis Ulysses:
Antinöus verò ei magnum ventrem opposuit
Plenum pinguedineque et sanguine: Amphinomus verò
Panes ex canistro duos apposuit sublatos,
Et poculo aureo propinabat, dixitque; 120

Ver. 104. —— κύνας τε σύας τ'.] ita rectè *Barnesius* ex Editionibus quamplurimis. *Henricus Stephanus* malè, κύνας σύας τ'. Cæterùm MS. à *Tho. Bentleio* collatus hîc habet σύας τε κύνας τ'· quo modo et citat in commentario *Eustathius*.

Ver. 106. —— ἐπαύρῃ.] *Al.* ἐπαύρῃς.

Ver. 107. — ἀμφ' ὤμοισιν — βάλλετο.] " *Humeris sibi circumjiciebat.*" Hæc nimirùm propria verbi βάλλεσθαι in *Voce Mediâ* significatio. Vide suprà ad *i.* 491. et *i.* 296.

Ver. 110. —— γελώοντες.] *Al.* γελώωντες.

Ibid. —— καὶ ἑ δεικανόωντ'.] *Al.* καὶ δεικανόωντ'.

Ver. 115. Εἰς Ἔχετον βασιλῆα.] Vide suprà ad *ver.* 84.

Ver. 116. —— θεῖος.] *Al.* δῖος.

Ver. 117. —— ἄρα.] *Ut pollicitus erat* —, suprà *ver.* 46.

Ibid. —— παρὰ.] *Al.* πρὸς.

Digitized by Google

Χαῖρε, πάτερ, ὦ ξεῖνε· γένοιτό τοι ἔσπερ ὀπίσσω
Ὄλβος, ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
Τοιούτου γὰρ πατρὸς, ἐπεὶ κλέος ἐσθλὸν ἄκουον, 125
Νῖσον Δουλιχιῆα ἐὺν τ' ἔμεν, ἀφνειόν τε·
Τοῦ σ' ἐκ φασὶ γενέσθαι· ἐπητῆ δ' ἀνδρὶ ἔοικας.
Τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
Πάντων, ὅσσα τε γαῖαν ἐπὶ πνείει τε καὶ ἕρπει. 130
Οὐ μὲν γάρ ποτε φησὶ κακὸν πείσεσθαι ὀπίσσω,

"Salve, pater, ô hospes, adsit tibi in posterum saltem
"Felicitas; at nunc quidem malis teneris multis."
Hunc autem respondens allocutus est solers Ulysses;
"Amphinome, certè valdè mihi videris prudens esse;
"Tali enim patre *es*; quippè famam bonam audiebam, 125
"Nisum Dulichiensem bonumque esse, divitemque;
"Ex hoc te dicunt natum esse: ingenioso autem viro similis-es.
"Propterea tibi dicam, tu autem attende, et me audi:
"Nihil imbecillius terra nutrit homine
"Omnium, quotquot super terram spirant et serpunt. 130
"Etenim nunquam putat malum passurum esse se in posterum,

Ver. 121. Χαῖρε, πάτερ, ὦ ξεῖνε.] *Barnesius* edidit πατὴρ, quòd ea sit "*tutior*" lectio. Sed nihil opus. Vide ad *Il. ά.* 51.

Ibid. —— ἔσπερ ὀπίσσω.] Editiones nonnullæ hîc habent ἔστερ ὀπίσσω. Καὶ ἔχει ᾧ τῶτο (inquit *Eustathius*) τὴν αὐτὴν ἔννοιαν, ὡς ἰσοδυναμοῦντος τοῦ "ὡς" τῇ "ἐς" προθέσει. Vide suprà ad *ρ'.* 218. MS. etiam à *Tho. Bentleio* collatus hîc legit ἔστερ.

Ver. 125. Τοῖόν γὰρ πατέρος.] MS. à *Tho. Bentleio* collatus, Τοῖο γὰρ ᾧ πατρὸς. Quæ et proba lectio.

Ver. 126. Νῖσον Δυλιχῆα.] Τὸν ἀπὸ Δυλιχίου· *Schol.* Vide suprà ad *π'.* 395. 396.

Ver. 129. Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.] *Al.* Οὐθὲν ἀκιδνότερον.

Οὐ μὲν γὰρ τί τυ ἐστὶν ὀϊζυρώτερον ἀνδρὸς,
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.
Iliad. *ρ'.* 446.

Ὦ πόποι, ἦ δειλὸν θνητῶν γένος ——
Empedocles apud Clem. Alexand. Strom. III.

ubi citatur et hic *Homeri* versus. Καὶ ἀτυχῶν ὑδὲν ἀνθρώπῳ, ἀλλὰ πάντες ταυτὸ πεπόνθαμεν. Ἄστοτος γὰρ ἡ τύχη, (φησὶν ὁ Θεόφραστος), καὶ διὰ παρελίσθαι τὰ προσπεσόντα, καὶ μεταβάλλειν τὴν δοκοῦσαν εὐημερίαν, ἐθέλει καιρὸν ἔχουσα ταυτόν. Ταῦτα δὲ καὶ ἄλλα τοιαῦτα, καὶ παρ' ἑαυτὸν ἑκάστῳ λογίσασθαι ῥᾴδιον, καὶ ἄλλων ἀκούσαι παλαιῶν καὶ σοφῶν ἀνδρῶν ὧν πρῶτος μὲν ἐστὶν ὁ θεῖος Ὅμηρος, ἀπὸν, "Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώπου, "κ.τ.ἑ." *Plutarch. de Consolat. ad Apollonium.*

Ver. 130. Πάντων, ὅσσα τε γαῖαν ἐπὶ πνείει τε καὶ ἕρπει.] Apud *Plutarchum*, loco jam suprà adducto, citantur versus huic præcedens, sexque proximè sequentes, omisso hoc versu. Quin et verisimile videtur versum hunc hujus loci proprium non esse, sed ex *Iliad.* *ρ'.* 447. huc irrepsisse. Nam præcedente γαῖα τρέφει, parùm aptè sequitur γαῖαν ἐπὶ πνείει.

Ibid. —— ἐπὶ πνείει.] Ita edidit *Barnesius*, ut vocula ἐπὶ "æquè referri possit ad "πνείει, et ἕρπει." *Vulgg.* ἐπιπνείει.

Ver. 131. Οὐ μὲν γάρ ποτε φησὶ κακὸν πείσεσθαι.] Οἷα τῆς ἀγαθῆς ἐλπίδος ἐπαφιείσης αὐτὸν. *Eustath.* Similitèr *Æschylus*;

Ὅταν δ' ὁ δαίμων εὐροῇ, πεπαυμένος
Τὸν αὐτὸν αἶεὶ δαίμον' ἐρεῖν τύχης.
Persæ, ver. 603.

ubi *Scholiastes* hunc *Homeri* locum adducit. Similitèr et *Simonides*;

Οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
Fragm. εἰς τὸν θνητῶν βίον, ver. 10.

Nescia mens hominum fati sortisque futuræ,
Et servare modum, rebus sublata secundis!
Æn. X. 501."

Digitized by Google

Ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ, καὶ γούνατ' ὀρώρῃ·
Ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
Καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, 135
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

"Quamdiù felicitatem præbent dii, et genua vigent:
"Sed quandò demùm et mala dii beati perficiunt,
"Et hæc fert nolens reluctanti animo.
"Talis enim mens est terrestrium hominum, 135
"Qualem diem adducat pater hominumque deûmque.

Ver. 132. Ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ.] Νῦν, τοῖς ἀγαθοῖς παρέχωσιν εὐδαιμονίαν· ὁμοίως τῷ [infrà σ'. 114.] "ἀρετῶσι δὲ λαοὶ." *Schol.* Similitèr ferè *Eustathius*: Ἀρετὴν δὲ τὴν εὐδαιμονίαν λέγει καὶ εὐθηνίαν τοῦ βίου. *Stephanus* autem per ἀρετὴν hoc in loco, *vigorem corporis*, potiùs quàm *felicitatem*, intelligendum censet: *Thesaur. Ling. Græc.* ad vocem ἀρετὴ. Sed hoc, uti observat *Meric. Casaubonus*, *de nuperâ Homeri Edit. Dissertat.* II. cum sequentibus minùs congruit. Porrò *vigor* sequenti "γούνατ' ὀρώρῃ" denotatur.

Ibid. —— ἠ γούνατ' ὀρώρῃ.] Similitèr *Iliad.* λ'. 477.

—— ὄφρ' αἷμα λιαρὸν, καὶ γούνατ' ὀρώρῃ.

Et apud *Theocritum*;

—— οἷς γόνυ χλωρὸν. *Idyll.* XIV. *ver.* 70.

Ver. 133. —— τιλίωσι.] Apud *Plutarchum*, loco suprà ad *ver.* 129. citato, τιλίωσι. *Al.* τιλίωσι.

Ver. 134. Καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.]

Τληῖον γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν. *Iliad.* ω. 49.

"Quod autem," inquit *Mericus Casaubonus*, "τετληότι θυμῷ vertunt hîc *patienti animo*; "nihil à mente Poëtæ, nisi commodâ ex-"positione leniatur, fingi potest alienius. "—— Nemo mala sua patientèr ferentem "verè dicat miserum ——. Fateor apud "Homerum eam verbi notionem non se-"mel occurrere; sed nihil obstat, quin, ut "nomen (ut Grammatici loquuntur) *sub-"stantivum* τλήμων, aliàs *patientem*, aliàs *mi-"serum et ærumnosum* significat; ita et *par-"ticipium* τετληκὼς requirente id senten-"tiâ, eandem significationis latitudinem "admittat." *De nuperâ Homeri editione. Dissertat.* II.

Ver. 135. Τοῖος γὰρ νόος ἐστὶν &c.]

Tales sunt hominum mentes, qualis [*al.* quali] pater ipse
Jupiter auctiferas [*al.* auctiferus] lustravit lumine terras.

Cicero, apud Augustin. de Civitate Dei, lib. V. *cap.* 8. *et Casaub. de nup. Homer. edit. Dissertat*, II.

Τοῖος ἀνθρώποισι νῦς, ὦ Γλαῦκε παῖ Λεπτίνεω, Γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγει. *Archilochus* à *Menagio* emendatus in annotationibus ad *Diog. Laërt. in Pyrrhone, lib.* IX.

Porrò haud dissimilitèr *Euripides*;

Ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς Φρονεῖν λέγουσι; σῦ γὰρ ἐξηρτήμεθα, Δρῶμεν τι τοιαῦθ', ἅ' ν σὺ τυγχάνῃς θέλων. *Supplices, ver.* 734.

Et *Terentius*;

Omnibus nobis ut res dant sese, ita magni atque humiles sumus.
Hecyra, Act. III. *Scen.* iii. 20.

Virgilius denique;

Vertuntur species animorum; et pectora motus
Nunc alios, alios dum nubila ventus agebat,
Concipiunt ——. *Georgic.* I. 420.

Ver. 136. Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ.] Οἱ μὲν φιλόσοφοι ἐπιχέουσι ὅτι οἷον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην ἔχει τὴν ἡμέραν διατελοῦσιν οἱ ἄνθρωποι. Ὁ δὲ Ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ προσπίπτοντα, τούτοις ἐξομοιούμεθα. *Schol. Eustathius* priorem harum explicationum antiquiorem notat; ipse autem alteram sequitur: Ὁποῖα, inquit, ἂν ὦσι τὰ προσπίπτοντα, τοιοῦτος ἐστὶ καὶ ὁ νοῦς· ἐν εὐτυχίαις συνεξαιρούμενος· ἐν δὲ τοῖς ἀνάπαλιν, ταπεινούμενος. Quod et optimè cum præcedentibus convenit. "Ut ἦμαρ autem," inquit *Casaubonus*, *de nup. Homer. edit. Dissertat.* II. *sub fine*, "seu ἡμέρη, pro quocunque vitæ "statu, sive meliore sive deteriore, accipi-"atur; satis usitatum est. Et Homerus "ipse alibi in non dissimili sententiâ, δούλιον "ἦμαρ vocat *servitutem*:—Ἥμισυ γὰρ τ' ἀ-"ρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς Ἀνέρος, οὗτ' "ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι." [suprà ρ'. 322.] Porrò alii, notante itidem *Casaubono*, vocem Οἷον non ad ἦμαρ sed ad νόος referunt; ut sit, Τοῖος νόος ἀνθρώποισιν, οἷον [νόον scilicèt] ἐπ' ἦμαρ ἄγῃσι πατὴρ &c. Sed et hoc cùm reliquâ sententiâ minùs aptè congruit. Vide *Menagium, Observat. in Laërtii Pyrrhonem, lib.* IX.

Digitized by Google

Καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
Πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων,
Πατρί τ' ἐμῷ πίσυνος, καὶ ἐμοῖσι κασιγνήτοισι.
Τῷ μή τίς τοι πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη, 140
Ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν·
Οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
Κτήματα κείροντας, καὶ ἀτιμάζοντας ἄκοιτιν
Ἀνδρὸς, ὃν οὐκ ἔτι φημὶ φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν· ἀλλά σε δαίμων 145
Οἴκαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐκείνῳ,
Ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
Οὐ γὰρ ἀναιμωτεί γε διακρινέεσθαι ὀΐω
Μνηστῆρας, κἀκεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθοι.
Ὣς φάτο· καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον· 150
Ἀψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
Αὐτὰρ ὁ βῆ κατὰ δῶμα, φίλον τετιημένος ἦτορ,
Νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμῷ.

" Etenim ego quondam consuescebam inter homines beatus esse;
" Multa autem injusta feci, viribus et robori obsequens,
" Patreque meo fretus, et meis fratribus.
" Quare nequis utique omninò vir injustus sit; 140
" Sed ille silentio dona deorum habeat, quodcunque dent:
" Qualia video procos injusta machinantes,
" Pessessiones consumentes, et dedecorantes uxorem
" Viri, quem non ampliùs puto ab amicis et patriâ terrâ
" Diù abfuturum; valdè autem propè *esse:* sed te deus 145
" Domum subducat, neque occurras illi,
" Quandò redierit dilectam in patriam terram:
" Non enim sine-cruore utique diremptum ire puto
" Procos, et illum; postquam domum subierit."
Sic dixit; et libatione-factâ bibit dulce vinum; 150
Iterumque in manibus posuit poculum principi populorum.
Verùm is ivit per domum, charo afflictus corde,
Nutans capite; jam enim malum augurabatur animo.

Ver. 137. Καὶ γὰρ ἐγὼ ποτ' — Τῷ μή τις &c.] Haud dissimilitèr *Euripides;*

Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεὼν·
Οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεὶ·
Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν ἐκ εἰμ' ἔτι,
Τὸν πάντα δ' ὄλβον ἦμαρ ἓν μ' ἀφείλετο.
Hecub. ver. 282.

Ibid. —— ἔμελλον.] *Scholiastes* interpretatur, ἐφαινον, ἐνομιζόμην· et *Eustathius* ἔοικα. Vide suprà ad *ἀ.* 232.

Ver. 140. —— μή τίς τοι.] Apud *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 12. μή τις ποτὲ. Atque ita habet MS. à *Th. Bentleio* collatus.

Ver. 145. —— μάλα δὲ σχεδὸν [*Barnesius* edidit μάλα δὴ σχεδὸν· " *ut magis huic loco* " *congruum.*" Sed minùs rectè.

Ver. 148. —— ἀναιμωτὲ.] Ita edidit *Barnesius;* atque ita in Vulgatis scribitur hæc vox infrà *ω.* 531. *Al.* ἀναιμωτὶ.

Ver. 149. —— κἀκεῖνον.] *Al.* ἠ κεῖνον.

Ibid. —— ἐπεί κε μέλαθρον ὑπέλθοι.] Editiones nonnullæ, notante *Barnesio*, hîc habent ἐπέλθῃ· *Eustathius* autem et *Henricus Stephanus* legunt ὑπέλθοι. Quam lectionem et præfert *Barnesius*, quòd " *aptè clandestinum Ulys-* " *sis adventum significet.*" Attamen non videtur Poëta hoc in loco *adventum clandestinum*, sed adventum simplicitèr denotare voluisse.

Ver. 152. — κατὰ δῶμα.] *Al.* διὰ δῶμα.

Ver. 153. —— θυμῷ.] *Al.* θυμὸς.

Digitized by Google

Ἀλλ' οὐδ' ὣς φύγε κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη,
Τηλεμάχε ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι. 155
Ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνε ἔνθεν ἀνέστη.
Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
Κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
Μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
Θυμὸν μνηστήρων, ἰδὲ τιμήεσσα γένοιτο 160
Μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος, ἣ πάρος ἦεν.
Ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔτι πάρος γε,
Μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης.
Παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη, 165
Μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
Οἵτ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·

Sed neque sic fugit mortem: præpedivit nempè et hunc Minerva,
Telemachi sub manibus et hastâ fortitèr ut-domaretur. 155
Iterùm verò resedit in sede, undè surrexerat.
Cæterùm in mentem posuit dea cæsia-oculis Minerva
Filiæ Icarii, prudenti Penelopæ,
Procis se-ostendere, ut diffunderet maximè
Animum procorum, et honorata fieret 160
Magìs viroque et filio, quâm anteà erat.
Effusè autem risit, verbumque fecit, compellabatque;
" Eurynome, animus mihi cupit, nequaquam anteà quidem,
" Procis me-ostendere, invisis licèt omninò:
" Filio autem dicam verbum, quod utilius fuerit, 165
" Ut non prorsùs procis cum superbis versetur,
" Qui scilicèt benè quidem loquuntur, malè autem ponè cogitant."
Hanc autem rursùs Eurynome œconoma allocuta est;

Ver. 155. Τηλεμάχε ὑπὸ χερσὶ.] Infrà χ'. 92.

Ver. 157. Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεά.]

Hic mentem Æneæ genitrix pulcherrima misit. *Æn.* XII. 554.

Ver. 159. —— ὅπως πεπάσειε μάλιστα Θυμὸν μνηστήρων.] Τυτίσειν, ἵνα καὶ τοὺς μνηστῆρας διαχίῃ ἐλπιδοποιήσασα γάμου ὑποσχίσει. *Eustath.*

Ver. 160. —— ἰδὲ τιμήεσσα.] *Al.* καὶ τιμήεσσα. Quod et præfert *Barnesius.*

Ver. 162. Ἀχρεῖον δ' ἐγέλασσεν.] Οἷον ἐκ τῆς σπουδῆς. *Schol.* Τὸ δὲ " ἀχρεῖον ἐγέλασεν" ἀντὶ τοῦ ἄκαιρον καὶ πρὸς ἐδιμίαν χρείαν. Ἀτθικοὶ δέ, φασὶ, τὴν λέξιν ταύτην προπαροξύνουσιν, ἄχρειον λέγοντες. *Eustath.* Ita *Iliad.* β'. 269.

Ἀλγήσας δ', ἀχρεῖον ἰδὼν ——.

Et apud *Theocritum*;

Ἀχρεῖον κλάζοῦσα —. *Idyll.* XXV. *ver.* 72.

Atque hinc apud *Suidam*, Ἀχρειόγελως ἄνθρωπος, ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

Ver. 165. Παιδὶ δέ κεν εἴποιμι.] *Barnesius* edidit, Παῖδα δὲ κεν εἴποιμι. Rationibus ut opinor, haud satis idoneis.

Ver. 166. Μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν.] Ita apud *Demosthenem*;

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
Τοιοῦτος ἐστὶν οἷς περ ἥδεται ξυνών.
Orat. de Falsâ Legatione.

Ver. 167. Οἵτ' εὖ μὲν βάζουσι, κάκως δ' ὄπιθεν φρονέουσιν.]

Ὃς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονεῖ δ' ἕτερα.
Theogn. Gnom. ver. 96.

—— ἡδὺς τοῖς λόγοις φρονῶν κακῶς.
Euripid. Orest. ver. 908.

Vide suprà ad ρ'. 66.

Digitized by Google

Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
'Αλλ' ἴθι, καὶ σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε, 170
Χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς·
Μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
Ἔρχευ· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
Ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
Ἥρῳ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι. 175
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
Χρῶτ' ἀπονίπτεσθαι, καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
'Αγλαΐην γὰρ ἔμοιγε θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν,
Ὤλεσαν, ἐξ οὗ κεῖνος ἕβη κοίλης ἐνὶ νηυσίν. 180
'Αλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
Ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
Οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας· αἰδέομαι γάρ.
Ὡς ἄρ' ἔφη· γρηῦς δὲ δι' ἐκ μεγάροιο βεβήκει,

" Næ jam hæc quidem omnia, filia, appositè dixisti.
" Sed i, et tuo filio verbum dic, neque cela, 170
" Corpus ubi-tibi-laveris, et unxeris genas:
" Neque sic lachrymis fœdata circum faciem
" Vade; quoniam malum *est* lugere indiscriminatim semper.
" Etenim jam quidem tibi filius eâ-ætate, quem tu maximè
" Supplicabas immortalibus barbatum videre." 175
Hanc autem rursùs allocuta est prudens Penelope;
" Eurynome, nè hæc suadeas, solicita licèt,
" Corpus ut-mihi-lavem, et me-ungam unguento:
" Pulchritudinem enim mihi dii, qui Olympum habitant,
" Perdiderunt, ex quo ille ivit cavis in navibus. 180
" Sed mihi Autonöenque et Hippodamiam jube
" Venire, ut mihi astent in ædibus;
" Sola verò non intrabo ad viros; verceundor enim."
Sic dixit: vetula autem è domo exivit

Ver. 169. —— ἔειπες.] *Al.* ἔειπας.

Ver. 173. —— ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον ἀιεὶ.] Ita suprà δ'. 543.

Μηκίστι, Ἀτρέος υἱὲ, πολὺν χρόνον ἀσπιδιώτης
Κλαῖ', ἐπεὶ οὐκ ἄνυσιν τινα δήομεν ——.

" Nec sicci sint oculi, amisso amici, nec
" fluant: lachrymandum est, non plorandum." *Seneca*, *Epist.* 63. *sub initio.*

Ibid. —— ἄκριτον.] Vide ad *Il. α.* 309. 314.

Ver. 174. Ἤδη μὲν γάρ τοι παῖς τηλίκος.] Τῷ δὲ "τηλίκος" ἑρμήνεια τὸ, "γενειήσαντα ἰδέσθαι," ἤ τελειότητος δεῖγμα· καθ' ἣν χρησιμεύοι ἂν παῖς μητρί. *Eustath.* " Docet," inquit *Spondanus*, " majorem esse lætitiæ " quàm doloris causam Penelopæ, quòd " jam tali frueretur filio, qualem illa maximè optaverat." Rectè. Dna. *Dacier* autem alitèr exponit; "Eurynome," inquit, " ne cherche point à faire plaisir à Penelope, en lui disant que son fils est en âge " de lui donner de la consolation; mais " elle veut lui faire voir le besoin qu'elle " a de recourir au secours de l'art pour " s'embellir; et elle lui en donne une raison très forte, c'est que son fils est déja " homme fait, et par consequent qu'une " femme, qui a un fils de vingt ans, a besoin de quelque secours." Mirè admodùm, nè dicam ineptè.

Ver. 182. —— ὄφρα κέ μοι.] *Al.* ὄφρ' ἂν ἐμοὶ.

Ver. 183. — οὐκ εἴσειμι.] *Al.* ἐ παῖς' ἐμ,

Digitized by Google

Ἀγγελέουσα γυναιξί, καὶ ὀτρυνέουσα νέεσθαι. 185
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.
Εὗδε δ' ἀνακλινθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα
Αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ' ἄρα δῖα θεάων
Ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί· 190
Κάλλεϊ μὲν οἱ πρῶτα πρόσωπά τε καλὰ κάθηρεν
Ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
Χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
Καί μιν μακροτέρην καὶ πάσσονα θῆκε ἰδέσθαι·
Λευκοτέρην δ' ἄρα μιν θῆκεν πριστοῦ ἐλέφαντος. 195
Ἣ μὲν ἄρ' ὡς ἔρξασ' ἀπεβήσατο δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
Φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
Καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς, φώνησέν τε·

Nunciatura mulieribus, et hortatura ad-eundum. 185
Tunc demùm aliud cogitavit dea cæsia-oculis Minerva:
Filiæ Icarii dulcem somnum infudit.
Dormiebat verò *ea* reclinata: solutæ autem sunt ei compages omnes
Ibidem in lecto: interim verò præstantissima dearum
Immortalia dona dabat; ut ipsam admirarentur Achivi: 190
Pulchritudine quidem ei primùm vultusque pulchros purificavit
Divinâ, quali scilicèt pulchrè-coronata Venus
Ungit-se, quandò adeat Gratiarum chorum amabilem;
Et ipsam proceriorem et crassiorem reddidit conspectu;
Candidioremque ipsam fecit secto ebore. 195
Sic quidem ubi-fecisset, abiit nobilissima dearum.
Venerunt autem famulæ candidis-ulnis ex domo,
Cum-strepitu advenientes; hanc autem dulcis somnus dimisit;
Et *ea* abstersit-sibi manibus genas, et locuta est;

Ver. 188. —— λύθιν δὲ οἱ ἅψια πάντα.] Vide suprà ad γ. 794.

Ver. 190. —— Ἀχαιοὶ.] Vide suprà ad ε. 513.

Ver. 191. Κάλλεϊ μὲν οἱ πρῶτα.] Νῦν τὰ μύρα. Κάλλος γὰρ τὸ τῆς Ἀφροδίτης μύρον. *Schol.* et *Hesych.* Cæterùm apùd *Barnesium* legitur et Κάλλεϊ μὲν οἱ πρῶτα. Sed nihil opus.

Ibid. —— πρόσωπά τε καλὰ κάθηρεν.] Ita editi omnes, *Henricus Stephanus* autem, (quamvis conjecturæ suæ contra exemplarium fidem indulgere non sit ausus), "Non "dubitarem," inquit, "quin hîc legendum "esset πρεσώπατα pro πρόσωπα τε.——Ita "*Iliad.* η. scriptum habemus πρεσώπασι pro "πρεσώποις, versu 212. Μιδιάων βλοσυρῶπις "πρεσώπασι." Et MS. à *Tho. Bentleio* collatus legit πρεσώπαῖα. Atqui nusquam alibi apud *Homerum* occurrit hæc vox. Ideoque, pro πρῶτα, hoc in loco, legendum credidérim χρῶτα. Ita nimirùm aptè sequetur πρόσωπά τε· firmaturque hæc conjectura tum ex eo, quòd vox πρῶτα sententiæ hîc parùm congruere videatur; tum ex *ver.* 171. suprà, ubi similis sententia occurrit;

Χρῶτ' ἀπονιψαμένη, ᾧ ἐπιχρίσασα παρειάς.

Verùm cùm conjecturæ huic nulla faveant Exemplaria, Textum non muto. Cæterùm, *Eustathius* in commentario citat, πρόσωπα καλὰ κάθηρεν.

Ver. 193. —— εὖτ' ἂν ἴῃ.] *Al.* εὖτ' ἀνίῃ.

Ibid. —— χορὸν ἱμερόεντα.] *Al.* χορὸν εἰς ἐρόεντα.

Ver. 195. —— πριστῷ ἐλέφαντος.]

—— sectoque elephanto. *Æn.* III. 464.

Πριστὸς δὲ ἐλέφας, (inquit *Eustathius*), τὸ ἐλεφάντινον ἐστὶν, πρὸς διασολὴν τῷ ζώῳ. Vide autem ad *Il.* γ. 141.

Ver. 196. —— ἀπεβήσαῖο.] *Al.* ἀπεβήσεῖο.

Digitized by Google

Ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν· 200
Αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
Αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
Αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
Παντοίην ἀρετήν· ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν.
Ὡς φαμένη, κατέβαιν' ὑπερώϊα σιγαλόεντα, 205
Οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι δύο ἕποντο.
Ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναῖκων,
Στῆ ῥα παρὰ σταθμὸν στέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη. 210
Τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν·

« Certè me valdè ærumnosam mollis somnus coöperuit: 200
« Utinam mihi sic mollem mortem daret Diana casta
« Statim nunc; ut nè ampliùs lugens in animò
« Ævum corrumpam, mariti desiderans dilecti
« Omnigenam virtutem; quoniam præstantissimus erat Achivorum."
Sic locuta, descendebat ex cœnaculo splendido, 205
Non sola; simul hanc et famulæ duæ comitabantur.
At quandò demùm ad procos pervenisset nobilissima mulierum,
Stetit utique ad postes domûs fabrefactæ,
Genis obtendens nitida redimicula:
Ancilla autem ei honesta utrinque astitit. 210
Horum verò illic solvebantur genua; amore autem animo deliniti-sunt:

Ver. 202. —— ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν, Αἰῶνα φθινύθω.] Ita suprà ί. 152.

—— κατέβεστο δὲ γλυκὺς αἰὼν
Νόστον ὀδυρομένῳ ——.

Et *ver.* 160. *ejusdem libri*;

Κάμμορε, μὴ μοι ἔτ' ἔνθα ὀδύρεο, μηδὲ τοι αἰὼν
Φθινέτω ——.

Cæterùm *Barnesius* Αἰῶνα φθινύθω hoc in loco vertit, " In *longum tempus macerarer*." Quo sensu vox αἰὼν nusquam apud *Homerum* usurpatur.

Ibid. —— φθινύθω.] Vide ad *Il.* β'. 48.

Ver. 211. Τῶν δ' αὐτοῦ λύτο γούνατ'.] Καὶ Ὅμηρος ἀεὶ παράγει τὰς ἀρίστας οὔτε ἀγενεῖς, οὔτε μὴν ἀφόβους, ἢ ἀλύσας παντελῶς· ἐν τῷ μὴ ἄγαν δὲ τοῖς πάθεσι κρατεῖσθαι, τῶν φαύλων διαφέροντας ——. Φαίνεται δὲ ἐν κατωΐσεροις ἡ τοῦ μετρίου διαφορὰ· καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν, φέρει· " Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἠὲ " σίδηρος·" [infrà σ'. 211.]: τῶν δὲ μνηστήρων, τῆς αὐτῆς ἐρώντων, τῶν θεασαμένων αὐτὴν, " —— λύσε γάνατ', ἔρως δ' ἄρα θυμὸν ἔθελξε· " Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆν· " ναι." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 16. Vide suprà ad *ver.* 99. Cæterùm *Meibomius* hîc, notante *Barnesio*, legendum vult, Τῶν δ' αὖ λῦτο τὸ γούνατ'.

Vide ad *Il.* ώ. 1. et ad *ver.* 237. *hujus libri.*

Ibid. —— ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν.] Ὁ ἔρως, inquit *Barnesius*, ἀντὶ τοῦ ἔρως, ἔρωτος. Similitèr *Eustathius*; Τὸ δὲ " ἔρῳ" δοκεῖ λίαν ἐναι ἀπὸ εὐθείας τῆς, ὁ ἔρος. Et occurrit ipsa vox ἔρος hoc in sensu apud *Homerum*, *Iliad.* ξ'. 315.

Οὐ γὰρ πώποτε μ' ὧδε θεᾶς ἔρος ἐδὲ γυναικὸς,
Θυμὸν ἐνὶ στήθεσσιν περιπροχυθεὶς ἐδάμασσεν.

Et apud *Hesiodum*;

Ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
Λυσιμελὴς πάντων τε θεῶν, πάντων τ' ἀνθρώπων. *Theogonia*, *ver.* 120.

Et *Euripidem*:

Ἡ δ' ἐστὶν ἡ στείρουσα καὶ διδοῦσ' ἔρον.
Hippolyt. ver. 449.

Ἐδύνατο δὲ [addit *Eustathius*] καὶ ἐν τοῦ ἔρως, ἔρωτος, ἔρωτι, ἀποκτιόφθαι, καθ' ὁμοιότητα τοῦ " γέλω ἔπθαιον." Ἀλλ' ὁ δοκῶ γνωσὸν Ὁμήρῳ εἶναι τὸ ἔρως, ἔρωτος. Attamen occurrit vox ἔρως *Iliad.* γ'. 442.

Οὐ γὰρ πώποτε μ' ὧδε ἔρως φρένας ἀμφεκάλυψεν.

Et ξ'. 294.

Ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν.

Digitized by Google

Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
Ἡ δ' αὖ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα·
Παῖς ἔτ' ἐών, καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας· 215
Νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ, καὶ ἥβης μέτρον ἱκάνεις,
Καί κέν τις φαίη, γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς,
Ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φὼς,
Οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα.
Οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη, 220
Ὅς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτω.
Πῶς νῦν; εἴτις ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
Ἥμενος, ὧδε πάθοι ῥυσταπτύος ἐξ ἀλεγεινῆς,
Σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 225
Μῆτερ ἐμὴ, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
Αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
Ἐσθλά τε, καὶ τὰ χέρηα· (πάρος δ' ἔτι νήπιος ἦα·)
Ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·

Omnes verò optabant apud eam in lectis recumbere.
Hæc autem deindè Telemachum alloquebatur suum charum filium;
" Telemache, non ampliùs tibi mens integra, neque cogitatio:
" Puer adhuc cùm-esses, etiam magis in mente prudentia versabas: 215
" Nunc autem, quandò jam magnus es, et pubertatis limitem attigisti,
" Et aliquis diceret filium te esse beati viri,
" Magnitudinem et pulchritudinem intuens, alienus vir;
" Non ampliùs tibi mens est justa, neque cogitatio.
" Quale jam hoc facinus in ædibus factum est, 220
" Qui hospitem sivisti indignè-tractari ita.
" Quomodo nunc? Si quis hospes in nostris ædibus
" Sedens, sic pateretur vexatione ex gravi,
" Tibi dedecus opprobriumque inter homines foret."
Hanc verò rursùs Telemachus prudens contrà allocutus est; 225
" Mater mea, id quidem non indignè-fero quod irasceris:
" At ego animo intelligo et novi singula,
" Bonaque, et pejora; (anteà autem adhuc infans eram):
" Sed non possum prudentia omnia intelligere:

Vide suprà ad *ver.* 99. Cæterùm *Dionysius Halicarnassensis*, loco suprà citato, hìc legit; ἔρως δ' ἄρα θυμὸν ἔθελγεν.

Ver. 216. —— ἥβης μέτρον ἱκάνεις.] Τὸ ἀκμαῖον τῆς ἡλικίας. *Schol.*

Ver. 217. 218. Καὶ κέν τις φ'ς.] *Henricus Stephanus* versus hosce duos parenthesi includi vult. Sed, ut opinor, nihil opus.

Ver. 221. Ὅς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι.] Vide infrà ad *ver.* 232.

Ver. 222. —— εἴτις ξεῖνος.] *Al.* εἴτι ξεῖνος.

Ibid. et *ver.* 235. —— ἡμετέροισι.] *Al.* ὑμετέροισι.

Ver. 227. —— νοέω δ' οἶδα.] Vide ad *Il. α.* 37. et *ν.* 736.

Ver. 228. —— χέρηα.] MS. à *Tho. Bentleio* collatus, χέρεια. Atque ita in Vulgatis legitur infrà *α.* 310. ubi repetitur hic versus.

Ibid. —— πάρος δ' ἔτι.] *Al.* πάρος δὲ τι. Ut infrà *υ.* 310.

Ver. 229. —— οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι.]

Οὐδὲν δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.
Theogn. Gnom. ver. 898.

Digitized by Google

Ἐκ γάρ με πλήσσουσι, παρήμενοι ἄλλοθεν ἄλλος, 230
Οἷδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
Οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
Μνηστήρων ἰότητι· βίῃ δ' ὅγε φέρτερος ἦεν.
Αἴ γάρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι 235
Νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
Οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου·
Ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
Ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικώς,
Οὐδ' ὀρθὸς δύναται στῆναι ποσὶν, οὐδὲ νέεσθαι 240
Οἴκαδ', ὅπῃ οἱ νόστος· ἐπεὶ φίλα γυῖα λέλυνται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,

" Nam me perterrent assidentes aliundè alius, 230
" Hi mala cogitantes: mihi autem non sunt auxiliatores.
" Nequaquam tamen hospitis et Iri pugna facta est
" Procorum consilio: viribus autem hic potentior fuit.
" Utinam enim, Jupiterque pater, et Minerva, et Apollo,
" Ita nunc proci in nostris ædibus, 235
" Nutarent capitibus domiti, alii quidem in aulâ,
" Alii autem intra domum; solutaque essent membra cujusque;
" Uti nunc Irus ille ad atriienses fores
" Sedet nutans capite, ebrio similis;
" Neque erectus potest stare pedibus, neque reverti 240
" Domum, quà ei reditus *est*; quoniam chara membra soluta sunt."
Sic hi quidem talia inter se loquebantur.
Eurymachus autem verbis allocutus est Penelopen;
" Filia Icarii, prudens Penelope,

Ver. 232. Οὐ μὲν τοι ξείνυ γε καὶ Ἴρυ μῶλος ἐτύχθη Μνηστήρων ἰότητι.] Καὶ σημείωσαι τὴν τοῦ Τηλιμάχυ δεινότητα. Πηνελόπη μὲν γὰρ [suprà *ver.* 221.] αἰκισθῆναι ἀληθῶς τὸν ξένον ἵφη ὅτι σφίλας ἀφεὶς ὁ Ἀντίνοος ἔβαλεν αὐτὸν Τηλίμαχος δὲ τροσποιησάμενος λαθίσθαι, νοεῖ τὸν τῆς μητρὸς λόγον ἐπὶ τοῖς κατὰ τὸν Ἴρον καὶ τὸν ξένον, ἵφ' οἷς ὐκ ἐστὶν αἰκία τοῦ ξένυ. Ποιεῖ δὲ τοῦτο ἐπίτηδες· ἵνα παύσῃ τὸν θόρυβον, ὑπερποτολογησάμενος μὴ αἰκισθῆναι τὸν ξένον. *Eustath.* Eodem modo accipiunt Dna. *Dacier* et *Spondanus*. Attamen nullum hîc videtur *Telemachi* artificium. Nam quominùs et *Penelope* de *Ulyssis* et *Iri* certamine locuta intelligatur, nulla (ut opinor) satis idonea ratio.

Ver. 237. —— λελῦτο δὲ γυῖα ἑκάστυ.] Vulgati habent λέλυτο. Τὸ δὲ "λέλυτο δὲ γυῖα ἑκάστυ," ταυτὸν ἐστὶ τῷ λυθεῖεν, ὁριστικὸν μὲν ὄν, τεθὲν δὲ ἀντὶ εὐκτικοῦ. *Eustath.* Quod tamen ferri non potest. Quippè istâ ratione vox λέλυτο *medium* corripere omninò debuisset:

Σὴ δὲ βίη λέλυται ——· *Ilind.* Σ'. 103.

Τῖός μὲν δὴ τοι λέλυται ——. *ὡ.* 599.

Alii igitur (notante *Barnesio*) hîc λέλυτο legerunt. Sed rectius videtur quod addit *Eustathius*; "Ἴσως δὲ καὶ ἀπὸ λελύοιτο συγκίκοπται. Ac proindè scribendum erit λελῦτο. Atque hoc, uti notavit *Barnesius*, cum præcedente Νεύοιεν optimè congruit. Simili ratione ex δαινύοιτο fit δαινῦτο, *Il. ὡ.* 665. Vide et infrà ad *ver.* 247.

Ver. 238. —— ἐπ' αὐλείῃσι.] *Al.* ἐν αὐλείῃσι.

Ver. 240. Οὐδ' ὀρθὸς δύναται στῆναι.] *Al.* Οὐδ' ὀρθῶς στῆναι δύναται.

Digitized by Google

Εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ, 245
Πλέονές κεν μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
Ἠῶθεν δαινύατ· ἐπεὶ περίεσσι γυναικῶν,
Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Εὐρύμαχ', ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε, 250
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
Μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων. 255
Ἦ μὲν δὴ ὅτε τ' ἤιε λιπὼν κατὰ πατρίδα γαῖαν,

" Si omnes te viderent per Iasum Argos Achivi, 245
" Plures proci in vestris ædibus
" A-manè convivarentur; quoniam præstas mulieribus,
" Formâque, staturâque, et mente intùs æquâ."
Huic autem respondit deindè prudens Penelope;
" Eurymache, profectò meam virtutem, formamque, corpusque, 250
" Perdiderunt immortales, quandò ad Ilium navigabant
" Argivi; cum iis autem meus maritus erat Ulysses.
" Si ille utique reversus meum statum gubernaret,
" Major gloria esset mea et melior ita.
" Nunc verò tristor: tot enim mihi immisit mala deus. 255
" Certè quidem, quandò demùm ibat relictâ patriâ terrâ,

Ver. 245. —— ἀν' Ἴασον' Ἄργος.] Ἴασον Ἄργος, ἡ Πελοπόννησος, ἀπὸ Ἰάσου βασιλέως· ἢ ἡ Ἀχαΐα. *Hesych.* Τὴν γὰρ ὁμωνυμίαν τοῖς ἱστορικοῖς διαφέρεσθαι· τὴν μὲν Θεσσαλίαν Πελασγικὴν Ἄργος καλῶν· [*Il.* β'. 681.] — Τὸν δὲ Πελοπόννησον, " Εἰ δὲ κεν Ἄργος ἱκοίμεθ' " Ἀχαικὸν ——" [*Il.* ί. 141.] σημαίνων ἐνταῦθα ὅτι ἢ Ἀχαιοὶ ἰδίως ὠνομάζοντο οἱ Πελοποννήσιοι κατ' ἄλλην σημασίαν. Ἴασον τε Ἄργος τὴν Πελοπόννησον λέγει· " Εἰ πάντες σε ἴδοιεν " ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ," τὴν Πηνελόπην· ὅτι πλείους ἂν λάβοι μνηστῆρας· οὐ γὰρ τοὺς ἐξ ὅλης τῆς Ἑλλάδος ἐκεῖ· ἀλλὰ τοὺς ἐγγύς. *Strabo, Geograph. lib.* VIII. *pag.* 568. *al.* 369.

Ver. 246. Πλέονες κεν μνηστῆρες.] " Vel " πλείονες (inquit *Barnesius*) hîc habendum " pro *Amphimacro* ut δ'. *ver.* 485. Ταῦτα " μὲν δὴ οὕτω τελέω, γέρον, ὡς σὺ κελεύεις. " Vel certè, quamvis scribatur τρισυλλάβως, " in *Scansione* legendum πλέωες δισυλλάβως, " ὡς ——. Vel denique πλίονες legendum, " ut sit *Anapæstus* in *Primâ* sede." Atqui neque *Amphimacer* neque *Anapæstus* (ut opinor) hujusmodi in Carmine ferri potest. Vide suprà ad δ'. 485. et β'. 289. Equidem legendum potiùs Πλίονες, et pro *Spondeo* habendum crediderim; pronuntiando videlicèt Πλεῶνες, vel Πλᾶνες. Cùmque et MS. à *Tho. Bentleio* collatus Πλίονες hîc legit, hanc lectionem Textui inserui.

Ibid. —— ὑμετέροισι.] Ita *Barnesius* ex pluribus Editionibus; atque ita MS. à *Tho. Bentleio* collatus. *Henricus Stephanus* aliique malè, ἡμετέροισι.

Ver. 247. Ἠῶθεν δαινύατ'.] Quâ ratione ex δαινύοιτο fit δαινῦτο, *Iliad.* ώ. 665. ita " hîc (inquit *Barnesius*) δαινύατ' *Ionicè* pro " δαίνυντο, [δαινῦντο], quod ver *συγκοπὴν* pro " δαινύοιντο, quæ causa *Penultimam* produ- " cendi; ad ἴδοιεν enim respicit, *ver.* 245." Atque ita sensisse videtur *Scholiastes*, qui exponit Εὐωχοῖντο. Vide suprà ad *ver.* 237.

Ibid. —— περίεσσι γυναικῶν, Εἶδός τε, μέγεθός τε.] Ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία. ὥσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι· οἱ μικροὶ δ', ἀστεῖοι καὶ σύμμετροι, καλοὶ δ' οὐ. *Aristot. Ethic. lib.* IV. *cap.* 7. Θηλειῶν δὲ ἀρετὴ, σώματος μὲν, κάλλος καὶ μέγεθος· ψυχῆς δὲ, σωφροσύνη, &c. *Id. Rhetoric. lib.* I. *cap.* 5.

Ver. 255. —— ἦεν.] *Al.* ἦεν. Vide infrà ad *ver.* 256.

Ver. 253. —— ἀμφιπολεύοι.] *Al.* ἀμφιπολεύοι, et ἀμφιπολεύῃ.

Ver. 254. Μεῖζον κε κλέος εἴη.] *Al.* γε κλέος. " Quod (inquit *Barnesius*) meliùs sonat " quàm κε." Sed ad sententiam rectior particula κε.

Ver. 256. —— ὅτε τ' ἤιε λιπὼν.] Pronuntiabatur, uti notat *Barnesius*, ἦε. Quo modo et scribitur *Iliad.* μ'. 371.

Digitized by Google

Δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
Ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
Ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
Καὶ γὰρ Τρῶας φασὶ μαχητὰς ἔμμεναι ἄνδρας, 260
Ἠμὲν ἀκοντιστὰς, ἠδὲ ῥυτῆρας ὀϊστῶν,
Ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
Ἔκριναν μέγα νεῖκος ὁμοίου πτολέμοιο.
Τῷ οὐκ οἶδ', εἴ κεν μ' ἀνέσει θεὸς, ἤ κεν ἀλώω
Αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων. 265
Μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
Ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος.
Αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
Γήμασθ, ᾧ κ' ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.
Κεῖνός θ' ὡς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται. 270
Νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει

" Dextrâ in carpo prehensâ me manu allocutus est;
' O mulier, non enim puto benè-ocreatos Achivos
' Ex Trojâ benè omnes incolumes redituros:
' Etenim Trojanos aiunt pugnaces esse viros, 260
' Et jaculatores, et tractores sagittarum,
' Equorumque velocium conscensores; qui citissimè
' Decreverint magnam contentionem gravis-æquè belli.
' Ideò nescio, an me remittat deus, an capiar
' Illic in Trojâ: tibi autem hìc omnia curæ-sint. 265
' Memor-sis patris et matris in ædibus,
' Sicut nunc, vel adhuc magìs, me absente.
' At postquam jam filium barbatum videris,
' Nube, cui volueris, tuâ domo relictâ.'
" Ille utique sic dicebat; quæ sanè nunc omnia perficientur. 270
" Nox autem erit, quandò demùm odiosæ nuptiæ obvenient

Ver. 257. Δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν.]
Tum pater Evandrus dextram complexus euntis
Hæret, inexpletùm lachrymans, atque ita fatur. *Æn.* VIII. 558.

Ver. 258.—— ὀ γὰρ ὀΐω.] *Al.* ὀ γὰρ τ' οἴω. Porrò refertur istud γὰρ ad id quod elegantèr reticetur: "*Hæc tibi monenda ju-*" *dicavi; non ENIM &c.*"

Ver. 260. Καὶ γὰρ Τρῶας φασὶ.] Πιθανῶς ἐλπιδοποιεῖ τὰς μνησῆρας, ὅτι ἐν τοῖς ἄλλοις εἰκὸς ἀνηρῆσθαι αὐτὸν. *Schol.*

Ver. 262.—— οἵ κε τάχιστα Ἔκριναν μέγα νεῖκος.] *Barnesius* hìc subaudiendum existimat ἄν, "ut sit pro κρίνειαν." Sed nihil opus. Quod enim quærit, id jam antè in manibus habet, nempè particulam κε, quæ voci ἔκριναν vim *Modi Potentialis* tribuit. Ita *Iliad.* Θ'. 130.

Ἔνθα κε λοιγὸς ἔην ——.

Et ν'. 723.

Ἔνθα κε λιγυαλίως νηῶν ἀπὸ ᾧ κλισιάων
Τρῶας ἐχώρησαν ——.

Cæterùm rectè deindè addit *Barnesius*, errare *Conradum Ritterhusium*, qui hæc de priori bello *Trojano*, sub *Hercule* et *Laomedonte*, acceperit. Videtur nimirùm et is particulæ κε vim ignorâsse.

Ver. 268. Αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα.] Ἐν ᾧ προτρέπει, ἐν τούτῳ ἀποτρέπει· γραῦς γὰρ τότε ἐγένετο. *Schol.* Verùm hæc interpretatio subtilior videtur, et ab ipsius Poëtæ mente prorsùs aliena.

Ibid. —— γενειήσαντα.] Τῷ δὲ, γενειήσαντα, οὐκ εὐδηλον εἴτε γενειῶ ἐστιν ὁ ἐνέστως, εἴτε καὶ γενειάζω παράγωγον. *Eustath.* Male: Nam ex γενειάζω fieret γενειάσαντα, antepenultimâ correptâ. Vide ad *Il.* ά. 140.

Ver. 269. 288. Γήμασθ', —— γήμασθαι.] Vide suprà ad λ'. 272.

Ver. 270. Κεῖνος θ' ὡς ἀγόρευε.] Apud *Aristarchum*, notante *Barnesio*, Κεῖνος γὰρ ἀγόρευε.

Digitized by Google

Οὐλομένης ἐμέθεν, τῆς τε Ζεὺς ὄλβον ἀπηύρα.
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
Μνηστήρων οὐχ' ἥδε δίκη τοπάροιθε τέτυκτο·
Οἵτ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα 275
Μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐρίσωσιν·
Αὐτοὶ τοί γ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
Κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
Ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς, 280
Οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
Μειλιχίοις ἐπέεσσι· νόος δέ οἱ ἄλλα μενοίνα.
Τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι, 285

" Perditæ mihi, cujus utique Jupiter felicitatem abstulit.
" Sed hic gravis dolor cor et animum occupat:
" Procorum non hic mos olim fuit;
" Qui scilicèt præstantemque mulierem et divitis filiam 275
" Ambire velint, et inter se contendant;
" Ii ipsi sanè adducunt boves et pingues oves,
" Puellæ convivium amicis, et splendida dona dant:
" At non alienum victum impunè edunt."
Sic dixit: gavisus est autem multa-passus nobilis Ulysses, 280
Quòd eorum quidem dona attrahebat, mulcebat autem animum
Blandis verbis; mens verò ei alia agitabat.
Illam autem rursùs Antinöus allocutus est, Eupitheï filius;
" Filia Icarii, prudens Penelope,
" Dona quidem quicunque voluerit Achivorum huc ferre, 285

Ver. 272. Οὐλομένης ἐμέθεν.] Ἀπολλυμένης μᾶλλον, ἢ προδύσης τὴν κοίτην τῷ ἀνδρὸς. *Schol.* Malè. Nec meliùs *Eustathius:* Τὸ δὲ "ὀλο-"μένης" ἴσως μὲν ἐνιεργητικῶς ἐῤῥέθη, ὡς ἐν Ἰλιάδι, ἡ ὀλομένη μῆνις· ἐπεὶ καὶ νῦν αὕτη ἄλγια τοῖς μνηστῆρσι θήσει. Rectè autem deinceps adjicit; "Ἴσως δὲ καὶ παθητικῶς ἀντὶ τοῦ, τῆς παθούσης ὀλέθρια, καὶ ὡς ἀπῶν ἀνόλεθε. Διὸ ἐμπαιόνων ἐπάξαι· "τῆς τι Ζεὺς ὄλβον ἀπηύρα" ἤγουν ἂν ἀφῆκεν ἄνολεθον, ἤτοι δυσδαίμονα.

Ibid. —— τῆς τι.] *Cujus videlicèt* ——.

Ver. 274. —— οὐχ ἥδε δίκη.] Οὐχ οὕτω ὁ τρόπος. *Schol.*

Ver. 277. Αὐτοὶ τοί γ' ἀπάγουσι βόας.] Τὸ δὲ "ἀπάγουσι" ταυτὸν τῷ "ἄγουσι·" περιττὴ γὰρ ἡ προθεσις. *Eustath.* Nescio tamen annon eam hîc vim habeat præpositio ἀπὸ, ut dicantur Proci hi pecudes *de suis ipsorum stabulis depromptas afferre.*

Ver. 278. Κούρης δαῖτα φίλοισι.] *Al.* Κούρης δαῖτα φίλησιν.

Ibid. —— δῶρα.] MS. à *Tho. Bentleio* collatus, ἔργα.

Ver. 280. —— γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς, Οὕνεκα τῶν μὲν Ὑσ.] Πάλιν τῆς Πηνελόπης τοῖς μνηστῆρσι προσδιαλεγομένης ὑπ' ἀπανθρώπως, ἐκείνων δὲ αὐτῇ χαριζομένων ἱμάτια καὶ κόσμον ἄλλον, ἡδόμενος Ὀδυσσεὺς, "Οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ "θυμὸν" οἱ μὲν ἐπὶ τῇ δωροδοκίᾳ καὶ πλουτοξίᾳ χαίρει, τὸν παμφθείμενον ὑπερβάλλει μαστροπίᾳ Πολύκαρον —— οἱ δὲ μᾶλλον οἰόμενος ὑποχειρίους ἕξειν διὰ τὴν ἐλπίδα, καὶ τὸ μέλλον ἐπροσδοκῶντας· λόγον ἔχει τὸ ἡδόμενον αὐτῷ καὶ θαῤῥοῦν. *Plutarch. de audiendis Poëtis. Spondanus* alitèr accipit; scilicèt, "ut ex "eo gaudeat Ulysses, quòd licèt hæc dona "accipere Penelopen videat, tamen intelli-"gat nihilominùs, integrâ et constanti il-"lam esse mente."

Ver. 281. —— παρέλκετο.] *Al.* παρ' ἔλκετο.

Ver. 284. περίφρον.] *Al.* περίφρων.

Digitized by Google

Δέξασθ· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
Πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅς τις ἄριστος.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος·
Δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος. 290
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον
Ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
Χρύσειαι, κληῖσιν ἐϋγνάμπτοις ἀραρυῖαι.
Ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε,
Χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς. 295
Ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
Τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
Ἐκ δ' ἄρα Πεισάνδροιο, Πολυκτορίδαο ἄνακτος,
Ἰσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.

" Accipe; non enim bonum recusare donationem est:
" Nos verò neque ad opera priùs ibimus, neque usquam aliò,
" Quàm scilicèt tu ei nupseris Achivorum, quicunque optimus."
Sic dixit Antinöus; illis autem placebat sermo:
Donaque proindè allaturum præmiserunt præconem quisque. 290
Antinöo quidem tulit *Præco* magnum perpulchrum peplum
Varium; inerant autem fibulæ duodecim omnes
Aureæ, acubus benè-inflexis aptatæ.
Monile verò Eurymacho multâ-arte-elaboratum statim tulit,
Aureum, electris consertum, solem veluti. 295
Inaures autem Eurydamanti duo servi tulerunt,
Trinis-ocellis, exquisitas; gratia autem effulgebat multa.
A Pisandro verò, Polyctoride rege,
Collare tulit servus, perpulchrum ornamentum.

Ver. 286. —— ἐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστὶν] Ἡ γὰρ χάρις ἐχ ἧττον δοιμένη τῷ λαμβάνοντϑ· ἢ τῷ διδόντϑ, ἐξ ἀμφοῖν τελοῦται πρὸς τὸ καλὸν· ὁ δὲ μὴ δεξάμενος, ὥσπερ σφαῖραν εἰ φερομένην κατῄσχυνεν ἀτελῆ πεσοῦσαν *Plutarch. de Socratis Genio.* Vide et suprà ad δ'. 651.

Ver. 287. Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα.] Τοῦτο δὲ Ὁμήρου προσεκφώνησις, ὡς ἐδεῖς τῶν μνηστήρων ἐπφεύξεται τὸν ὅλεθρον. *Eustath.* Atqui Poëtam hoc voluisse vix crediderim. Vide suprà ad β'. 127.

Ver. 288. Πρὶν γε σε τῷ.] *Al.* Πρὶν γε σε φῳ, et Πρὶν σε γε τῷ.

Ver. 290. —— ἄρ'.] *Proindè* ——.

Ver. 292. —— δυοκαίδεκα πᾶσαι.] *Haud minùs quàm duodecim* ——. Vide suprà ad ί. 244. et ad *Ih σ'.* 373. 470.

Ver. 293. —— κληῖσιν ἐϋγνάμπτοις.] Καταχλεῖσιν, ἐς ἃς καθίεσαν τὰς περόνας. *Schol.*

Ver. 294. Ὅρμον.] Τὸν κατὰ τῷ τραχήλῳ περικείμενον χρυσῶν κόσμον. *Schol.*

Ver. 296. Ἕρματα.] Δῶρα, τῶν ὤτων κόσμον· ὅ ἐστι τὰ ἐνώτια. *Schol. ex MS.* à *Barnesio excerpt.*

Ver. 297. Τρίγληνα.] Τρίκορα κόσμια, ἐν ᾧ τὰ τριόφθαλμα τρίκοκκα. *Schol.*

Ibid. —— μορόεντα.] Τὰ μετὰ πολλῆ μόνῃ καποσκευάσματα κατεσκευασμένα. *Schol.* Aliter *Barnesius;* " Vocem autem *μορόεντα*," inquit, " hoc certè in loco, existimo non solum spectare ad Operis elegantiam exquisitam, aut Opificis industrium et elaboratum ingenium; verùm etiam ad talem tandem earundem gemmarum Retributionem, quam nacti sunt ab *Ulysse* manibus hi Proci." Mirè admodùm: cùm occurrat eadem vox *μορόεντα Il. ξ'.* 183. ubi hujusmodi explicationi nullus omninò locus.

Ver. 299. Ἰσθμιον.] Περιτραχήλιον· ἔνιοι δὲ παρίσθμιον· διάφορον δὲ τῷ ὅρμῳ· τὸ μὲν γὰρ προσέρχεται τῷ τραχήλῳ, ὁ δὲ ὅρμος κιχέλαται. *Schol.*

Digitized by Google

Ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν. 300
Ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώϊα δῖα γυναικῶν·
Τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
Τρεψάμενοι τέρποντο· μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν·
Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν. 305
Αὐτίκα λαμπτῆρας τρεῖς ἔστασαν ἐν μεγάροισιν
Ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν
Αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ·
Καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος· αὐτὰρ ὁ τῆσιν 310
Αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
Δμωαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
Ἔρχεσθε πρὸς δώμαθ', ἵν' αἰδοίη βασίλεια·
Τῇ δὲ παρ' ἠλάκατα στροφαλίζετε· τέρπετε δ' αὐτὴν
Ἥμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν. 315
Αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
Ἤντερ γάρ κ' ἐθέλωσιν ἐὔθρονον ἠῶ μίμνειν,
Οὔτι με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί.

Aliud autem alius donum Achivorum pulchrum tulit. 300
Ipsa quidem deindè ascendebat in cœnaculum nobilissima mulierum;
Cum eâ autem simul famulæ ferebant perpulchra dona.
Illi verò in saltationem et desiderabilem cantum
Conversi delectabant-se; manebantque dum vesper adveniret:
Eis autem se-delectantibus niger vesper advenit. 305
Statim lampadas tres statuerunt in ædibus
Ut lucerent; circùm autem ligna arida posuerunt,
Sicca dudùm, prædura, recèns fissa ære;
Et faces miscuerunt: alternatim verò succendebant
Famulæ Ulyssis multa-passi: at inter eas 310
Ipse generosus locutus est solers Ulysses;
"Famulæ Ulyssis, diù absentis regis,
"Ite ad ædes, ubi *est* veneranda regina:
"Apud eam verò pensa versate; et delectate ipsam
"Sedentes in domo; vel lanas carpite manibus. 315
"At ego his lumen omnibus præbebo.
"Etiamsi enim velint usque ad pulchro-solio auroram manere,
"Nequaquam me domabunt: multorum-patiens nempè valdè sum."

Ver. 300. —— ἔνεικεν.] *Al.* ἔδωκεν.
Ver. 302. Τῇ δ' ἄρ' ἅμ'.] *Al.* Τῇ δ' ἄρα.
Ver. 306. Αὐτίκα λαμπτῆρας.]

—— dependent lychni laquearibus aureis
Incensi: ——. *Æn.* I. 726.

Ibid. —— λαμπτῆρας.] Ἐσχάρας μετιούσας· ἢ τὰς χυτροπόδας, ἐφ' ὧν ἔπαιον. *Schol.* Ἰστέον δὲ ὅτι λαμπ[τῆρας λέγει ἃς νῦν οἱ ἀρ]χαιοὶ λυχνίας φασὶν· ἐφ' ὧν δᾳδὶς κείμεναι κατὰ δόρατον ἀνάπτονται· ἢ ξύλα ξηρὰ διὰ τὸ ἄπαπνον· ἢ ἐν ἄμφω ἀναμίξ. *Eustath.*

Ver. 315. —— εἴρια.] Τὸ δὲ εἴριον, Ὅμηρος μὲν προσαροξύνει, ὁμοίως τῷ λείριον. Οἱ δὲ ὕστερον παροξύνουσι, πρὸς ἀναλογίαν ἐτέρων παροξυ[τόνων δακ]τυλικῶν λέξεων. *Eustath.* ad *Iliad.* γ'. 388.

Digitized by Google

Ὣς ἔφαθ· αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
Τὸν δ' αἰσχρῶς ἐνένιπτε Μελανθὼ καλλιπάρηος, 320
Τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
Παῖδα δὲ ὡς ἀτίταλλε, δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·
Ἀλλ' οὐδ' ὡς σχέθε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης·
Ἀλλ' ἤγ' Εὐρυμάχῳ μισγέσκετο, καὶ φιλέεσκεν·
Ἦ ῥ' Ὀδυσῆ ἐνένιπτεν ὀνειδείοις ἐπέεσσι· 325
Ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσὶ,
Οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθὼν,
Ἠέ που ἐς λέσχην· ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις
Θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ 330
Τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώλια βάζεις.
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
Μή τις τοι τάχα Ἶρου ἀμείνων ἄλλος ἀναστῇ,
Ὅς τίς σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι,

Sic dixit: hæ autem riserunt, et se invicem intuebantur.
Eum autem turpiter objurgabat Melantho pulchra-genis, 320
Quam Dolius quidem gennit; curavit autem Penelope,
Filiamque velut enutriebat, dabatque oblectamenta animo:
Sed neque sic retinuit dolorem in animo Penelopes;
Sed ea cum-Eurymacho miscebatur, et *eum* amabat:
Quæ utique Ulyssem objurgabat contumeliosis verbis; 325
" Hospes miser, tu sanè aliquis mente exturbatus es;
" Neque vis cubare, æream in domum profectus;
" Vel aliquò in diversorium; sed hìc multa prædicas
" Confidentèr multos inter viros; neque quid animo
" Times: certè utique tibi vinum occupat mentem; vel sanè tibi semper 330
" Talis mens est; quare et vana loqueris.
" An exultas, quòd Irum vicisti erronem?
" *Cave*, nè quis tibi citò Iro melior alius insurgat,
" Qui te circum caput contusum manibus robustis

Ver. 320. et 325. —— ἐνίνιπτε.] *Al.* ἐνίνιπτε.

Ver. 323. —— σχίθε.] *Al.* ἴχε.

Ver. 325. —— ὀνειδείοις.] *Al.* ὀνειδίοις. Vide autem ad *Il* ά. 519.

Ver. 326. Ξεῖνε τάλαν.] Τὸ δὲ "ξεῖνε" ἴσως ἐπὶ ὕβρει φησὶν ἡ Μελανθὼ. *Eustath.* Minùs rectè. Erat enim hoc epitheton commune, quo ab omnibus appellabatur.

Ver. 327. —— χαλκήϊον ἐς δόμον ἐλθὼν.] Χαλκήϊος δὲ δόμος τὸ τῶν χαλκέων ἐργαστήριον, ἔνθα ἐσιόντες ἀκωλύτως οἱ πτωχοὶ, ἐκοιμῶντο παρὰ τῷ πυρὶ. *Eustath.*

Ver. 328 Ἠὲ που ἐς λέσχην.] Λέσχας ἔλεγον δημοσίας τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθίζοντο πολλοὶ. *Suidas* in voce Λέσχη· ubi et hunc *Homeri* locum adducit. Vide et *Pausaniam, Phoc. lib.* X. *cap.* 25. *sub initio.* Porrò hinc *Hesiodus*;

Πὰρ δ' ἴθι χαλκεῖον θῶκον, καὶ ἐπ' ἀλίῃ λέσχην.
Ἔργ. καὶ Ἡμερ. Il. 111.

Et *ver.* 118.

Ἐλπὶς δ' ἐπ' ἀσθὴ κεχρημένον ἄνδρα κορίζει,
Ἤμενον ἐν λέσχῃ ——

Ver. 329. Θαρσαλέως.] *Al.* Θερσάλεως.

Ver. 330. —— ἦ ῥά σε οἶνος ἔχει φρένας.]

Οἶνε σε πλῆθος πόλλ' ἀναγκάζει λαλεῖν.
Ephippus apud Athenæum, lib. II. *cap.* 2.

Ver. 331. —— μεταμώλια.] Apud *Eustathium*, μεταμωλία.

Ver. 332. Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας.] Καὶ τῷ ἀλύειν ποτὲ μὲν ἀντὶ τοῦ δάκνεσθαι καὶ ἀπορεῖσθαι κέχρηται· "Ὡς ἔφαθ· ἡ δ' ἀλύνε" "ἀπιξήσασα, τέρετο δ' αἰνῶς" [*Iliad.* ί. 352.] ποτὲ δὲ ἀντὶ τοῦ γανυσθαι καὶ χαίρειν· "Ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;" *Plutarch. de audiendis Poetis.* *Al.* ἀλύεις.

Digitized by Google

Δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ. 335
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
Κεῖσ' ἐλθὼν, ἵνα σ' αὖθι διαμελεΐστι τάμῃσιν.
Ὡς εἰπὼν, ἐτέεσσι διεπτοίησε γυναῖκας.
Βὰν δ' ἴμεναι διὰ δῶμα· λύθεν δ' ὑπὸ γυῖα ἑκάστης 340
Ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
Αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
Εἱστήκει ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
Ὥρμαινε φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη 345
Λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
Δύῃ ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
Κερτομέων Ὀδυσῆα· γέλων δ' ἑτάροισιν ἔτευξε·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 350
Ὄφρ' εἴπω, τά μέ θυμὸς ἐνὶ στήθεσσι κελεύει·
Οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·

"Domo emittat, fœdatum sanguine multo." 335
Hanc autem torvè intuitus allocutus est solers Ulysses;
"Certè cito Telemacho dicam, canis, qualia loqueris,
"Illuc profectus; ut te ibi membratim concidat."
Sic locutus, verbis perterruit mulieres.
Perrexerunt autem ire per domum; solutaque sunt subtùs membra cujusque
Timore: putabant enim ipsum vera dixisse. 341
At is apud lampades prælucens accensas
Stetit omnes intuens: alia verò ei cor
Agitabat mente suâ, quæ utique non irrita facta sunt.
Procos autem non omninò eximios sinebat Minerva 345
Contumeliâ abstinere acerbâ; ut adhuc magis
Subiret dolor cor Laërtiadæ Ulyssis.
His verò Eurymachus, Polybi filius, incipiebat loqui,
Incessens Ulyssem; risum verò sociis fecit;
"Audite me, proci inclytæ reginæ, 350
"Ut dicam, quæ me animus in pectoribus jubet:
"Non sine deo hic vir Ulysseam in domum venit:

Ver. 338. —— διαμελεΐστι.] Vide suprà ad l. 291.

Ver. 339. Ὡς εἰπὼν, ἐτέεσσι διεπτοίησε γυναῖκας.] Ἀνύει δὲ Ὀδυσσεὺς τῶν τὴν τε τῶν δυλίδων τέφραν, καὶ μάλιστα τὴν τῶν μνηστήρων· ἐπεὶ γὰρ αὐταὶ ἀπῆλθον, γνώσεται καὶ εἰσίστι τὴν ἐκείνων ὕβριν ἐπ' αὐτῷ. Ἔτι γε μὴν ὁ Ποιητὴς ὑπαλλαττόμενον ἔστω ποιήσει τῷ Ὀδυσσεῖ τὴν εὐθὺς ἐφεξῆς ὁμιλίαν, ἅτε κατὰ σχολὴν οὐ μόνον τῇ γυναικὶ ὁμιλήσει, ἀλλὰ καὶ τῇ Εὐρυκλείᾳ, τὸ ἀναγκαιότατον· κρύψει δὲ καὶ τὰ ὅπλα μετ' αὐτῆς κατὰ τάχος ἀλίκιον. Οὐδὲν γὰρ εἰκαίως ὁ Ποιητὴς παραῤῥίπτει, ἀλλὰ πρὸς μέθοδον τιθαστότητος καὶ οἰκονομίαν τῶν ἐφεξῆς. *Eustath.*

Ver. 342. —— αἰθομένοισιν.] Ita *Barnesius* ex utrâque *Eustathii* editione. Alii hîc habent αἰθομένοισιν.

Ver. 344. —— ἅ ῥ'.] *Quæ utique* ——. *Quæ, ut memorabitur* ——.

Ibid. —— γένοντο.] *Al.* γένοιντο.

Ver. 347. —— Λαερτιάδεω Ὀδυσῆος.] *Al.* Λαερτιάδην Ὀδυσῆα.

Ver. 349. —— ἔτευξε.] *Al.* ἔτευχε.

Digitized by Google

Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
Καὶ κεφαλῆς· ἐπεί οὐ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί.
Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον· 355
Ξεῖν', ἦ ἄρ κ' ἐθέλεις θητευέμεν, εἴ σ' ἀνελοίμην,
Ἀγροῦ ἐπ' ἐσχατιῇς, (μισθὸς δέ τοι ἄρκιος ἔσται,)
Αἱμασιάς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;
Ἔνθα δ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
Εἵματά τ' ἀμφιέσαιμι, ποσίν θ' ὑποδήματα δοίην. 360
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
Ἔργον ἐποίχεσθαι· ἀλλὰ πτώσσειν κατὰ δῆμον
Βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο 365
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,
Ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
Καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου

" Omninò mihi videtur facium splendor esse ipsius
" Et capitis; quoniam non ei sunt capilli nè pauci quidem."
Dixit utique; simulque allocutus-est Ulyssem urbium-vastatorem; 355
" Hospes, nunquid vis mercede-servire, si te suscipiam,
" Agri in extremitate, (merces autem tibi sufficiens erit),
" Sepesque colligens, et arbores proceras plantans?
" Illic autem ego cibum quidem perennem præberem,
" Vestimentaque circùm-induerem, pedibusque calceamenta darem. 360
" Sed quandoquidem sanè opera mala didicisti, non voles
" Opus adire; sed mendicare per populum
" Mavis; ut possis pascere tuum ventrem insatiabilem."
Hunc autem respondens allocutus est solers Ulysses;
" Eurymache, si enim nobis contentio operis fieret 365
" Tempore in verno, quandò scilicèt dies longi sunt,
" In herbâ; falcem quidem ego bene-flexam haberem,
" Et tu quoque talem haberes, ut experiremur opus

Ver. 353. Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτῷ Καὶ κεφαλῆς.] Ἐπίσης μοι δοκεῖ τὸ φαινόμενον σέλας τῶν δᾳδων εἶναι, καὶ αὐτῷ τῆς κεφαλῆς, ὡς ἐψιλωμένης. *Eustath.* Minùs rectè, ut opinor. Quippè vocem ἔμπης istâ in significatione apud *Homerum* vix usquam reperias. Vide infrà ad σ'. 37. ubi vox ἔμπης simili ferè in sensu occurrit.

Ver. 354. Καὶ κεφαλῆς.] *Al.* Καππεφαλῆς.

Ver. 356. —— ἐθέλεις.] *Al.* ἐθέλοις. Quæ et potior videtur lectio.

Ver. 358. Αἱμασιὰς.] Τοὺς περιβόλους τῶν τοίχων, τοὺς χάλικας. *Schol.* Ὁ δὲ Θρᾳκικὸς παράφρασις λίθους ἠρμήνευσε τὰς αἱμασιὰς, ἀπὸ τοῦ φυτεύων καὶ τοὺς λίθους ἐκλέγων. *Eustath.*

Ibid. —— λίθων.] Οἰκοδομῶν ἐκ συλλέκτων λίθων. *Schol.*

Ver. 359. Ἔνθα δ' ἐγὼν.] Apud *Eustathium*, Ἔνθα κ' ἐγὼ. Atque ita habet MS. à *Tho. Bentleio* collatus. Quæ et probà lectio.

Ver. 360. Εἵματα τ'.] *Al.* Εἵματα δ'.

Ver. 361. —— ἔμμαθες,] Vide suprà ad ρ'. 226.

Ver. 365. —— ἐν γὰρ νῶϊν.] Refertur istud γὰρ ad id quod elegantèr reticetur: " *Nè* " *me tam ignavum operisve inscientem arbitre-* " *ris; si ENIM, &c.*" Porrò reticetur et hujus sententiæ ἀπόδοσις· " *Si enim nobis —;* " *videres quantò ego tibi opere præstarem:*" aut aliquid simile. Cujusmodi de ἀποσιωπήσει, vide ad *Il.* ά. 135. et 340.

Ibid. —— ἔργοιο.] Τῷ κατὰ γεωργίαν. *Eustath.*

Ver. 367. Ἐν ποίῃ.] Ὁ Δημοσθενικὸς χόρτος *Schol.* Atqui vox ποίη alibi apud Poëtam " *herba* " simplicitèr significare videtur. Vide *Iliad.* ξ'. 347. *Odyss.* ί. 449.

Digitized by Google

Νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
Εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵ περ ἄριστοι, 370
Αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
Ἥλικες, ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνὸν,
Τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ,
Τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.
Εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων 375
Σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη, καὶ δύο δοῦρε,
Καὶ κυνέη πάγχαλκος ἐπὶ κροτάφοις ἀραρυῖα·
Τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
Οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
Ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής· 380
Καὶ πού τις δοκέεις μέγας ἔμμεναι, ἠδὲ κραταιὸς,
Οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
Εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
Φεύγοντι στείνοιντο δι' ἐκ προθύροιο θύραζε. 385
Ὣς ἔφατ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,

" Jejuni usque penitùs ad tenebras, herba autem adesset.
" Sive rursùs et boves essent agendi, qui utique optimi, 370
" Rutili, magni, ambo saturati herbâ,
" Æquales-ætate, pares-operi-sustinendo, quorum utique robur non imbecille,
" Arvum autem quatuor-jugerum esset, cederetque subtùs gleba aratro;
" Tunc me videres, an sulcum continuum proscinderem.
" Sive demùm et bellum alicundè moveret Saturnius 375
" Hodiè; at mihi scutum esset, et duæ hastæ,
" Et galea tota-ærea temporibus apta;
" Tunc me videres primis in pugnatoribus mixtum,
" Neque mihi ventrem exprobrans loquereris.
" Sed valdè contumeliosè-te-geris, et tibi animus est inclemens; 380
" Et quodammodo quidam videris magnus esse et fortis,
" Quoniam cum paucis et non bonis versaris.
" Sin Ulysses veniret, et accederet in patriam terram,
" Statim tibi portæ, etiam latæ licèt admodùm sint,
" Fugienti arctarentur per vestibulum foràs." 385
Sic dixit: Eurymachus verò iratus est ex-corde magìs,

Ver. 369. —— ἄχρι μάλα κνέφαος.] Ἤτοι ἄχρι βαθέας ἑσπέρας. *Eustath.*

Ver. 370. —— οἵ περ.] *Al.* ὥσπερ.

Ver. 373. Τετράγυον.] Τέσσαρας ἔχον γύας· γύον δὲ μέτρον γῆς. *Schol.*

Ver. 374. —— ὦλκα διηνεκέα.] Τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. *Schol.*

Ibid. —— προταμοίμην.] *Scholiastes* exponit simpliciter διακόψαιμι. *Eustathius* autem *Ulyssem* et hîc se *Eurymacho* præferre intelligit. Τὸ δὲ προταμοίμην, ἀντὶ τοῦ, πρὸ οὗ ἀροτριάσαιμι, ὡς εἰπεῖν προπόψαιμι· ὡς τὰ πάντα ἔχων ἴσα, ὅμως προβαλοίμην τῇ ἀρετῇ. Potior (ut opinor) *Scholiastis* interpretatio quia in hoc, ut et in sequenti exemplo, *ver.* 375. nullum inter se et *Eurymachum* certamen depingere videtur *Ulysses*, sed suas ipsius vires et animos solummodò exhibere.

Ver. 382. —— ἐκ ἀγαθοῖσιν.] *Al.* ἐνιδαυοῖσιν.

Ver. 384. 385. Αἶψα κε τοι τὰ θύρετρα — Φεύγοντι στείνοιντο.] Οὕτως παρασσόμενος διὰ τῶν θυρῶν φύγῃς, ὡς δοκεῖν στενοχωρεῖσθαι. *Schol.*

Ver. 385. — δι' ἐκ προθύροιο.] Apud *Eustathium* in commentario δι' ἐκ μεγάροιο.

Digitized by Google

Καί μιν ὑπόδρα ἰδὼν, ἔπεα πτερόεντα προσηύδα·
Ἄ δεῖλ', ἦ τάχα τοι τελέω κακὸν, οἳ ἀγορεύεις
Θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν· οὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἥ νύ τοι αἰεὶ 390
Τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώλια βάζεις.
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
Ὣς ἄρα φωνήσας, σφέλας εἵλετο· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα 395
Δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
Αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι, 400
Πρὶν ἐλθεῖν· τῷ κ' οὔτι τόσον κέλαδον μεθέηκεν.
Νῦν δὲ περὶ πτωχῷ ἐριδαίνομεν· οὐδέ τι δαιτὸς
Ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἷς Τηλεμάχοιο·
Δαιμόνιοι, μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ 405

Et ipsum torvè intuitus, verba alata dixit;
" Ah miser, certè citò tibi perficiam malum, qualia dicis
" Confidentèr multos inter virós, neque quid animo
" Times: certè utique vinum tibi mentem occupat; vel sanè tibi semper 390
" Talis mens est: quare et vana loqueris.
" An exultas, quòd Irum vicisti erronem?"
Sic utique locutus, scabellum sumpsit: at Ulysses
Amphinomi ad genua desidebat Dulichiensis,
Eurymachum veritus: hic autem pocillatorem percussit ad-manum 395
Dextram; gutturnium verò humi sonuit lapsum:
At ille ejulatu-edito cecidit supinus in pulveribus.
Proci verò tumultuati sunt per ædes obscuras:
Sic verò aliquis dicebat intuitus in propinquum alium;
" Utinam hospes errans alibi periisset, 400
" Antequam venisset: ita neutiquam tantum tumultum intulisset.
" Nunc autem de mendico contendimus: neque ulla convivii
" Boni erit voluptas; quoniam pejora vincunt."
Inter hos autem et locuta est sacra vis Telemachi;
" Miseri, insanitis, et non ampliùs tenetis animo 405

Ver. 389. Θαρσαλέως.] *Al.* Θαρσάλεος.

Ver. 391. —— μεταμώλια.] *Al.* μεταμώνια.

Ver. 392. Ἦ ἀλύεις.] Vide suprà ad *ver.* 332.

Ver. 393. —— εἵλετο.] *Al.* ἔλλαβεν.

Ver. 396. —— βόμβησε.] Vide ad *Il.* δ'. 125. et 455.

Ver. 401. Πρὶν ἐλθεῖν.] *Al.* Πρὶν τ' ἐλθεῖν.

Ver. 402. —— περὶ πτωχῷ.] *Al.* περὶ πτωχῶν.

Ver. 403. —— ἐπεὶ τὰ χερείονα νικᾷ.]

Ὅστις τὸ χεῖρον τ' ἐγαθοῦ μᾶλλον σθένει.
Sophocles, Philoctet. ver. 456. à *Barnesio* citatus.

Ver. 404. —— μετέειφ'.] *Al.* μετέφη.

Ver. 405. —— οὐκέτι κεύθετε θυμῷ βροτῶν ἀδὶ ποσῆτα.] Ἰτέον δὲ ἔστι τὸ « οὐκέτι κεύθετε

Βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
Ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
Ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔτιν' ἔγωγε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν. 410
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν,
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
Μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον 415
Δμώων, οἳ κατὰ δῶματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
Ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
Τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα. 420
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἐαδότα μῦθον ἔειπε.
Τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,

" Cibum, neque potum: deorum certè aliquis vos concitat.
" Sed benè epulati decumbite domum profecti,
" Quandò animus jubet; pello verò neminem ego."
Sic dixit: illi autem omnes mordicùs labris compressis,
Telemachum admirabantur, quòd audactèr loquebatur. 410
Ipsis verò Amphinomus concionatus est, et dixit,
Nisi illustris filius, Aretiadæ regis;
" O amici, haud jam quisquam super dicto æquo
" Contrariis verbis carpens sæviat:
" Neque omninò hospitem pulsate; neque quenquam alium 415
" Famulorum, qui in ædibus *sunt* Ulyssis divini.
" Sed agite, pocillator quidem incipiat poculis,
" Ut postquam-libaverimus, decumbamus domum profecti:
" Hospitem verò sinamus in ædibus Ulyssis
" Telemacho curæ-esse; hujus enim dilectam venit ad domum." 420
Sic dixit: illis autem omnibus gratum sermonem dixit.
Ipsis verò craterem miscuit Mulius heros,

" θυμῷ Βρωτὺν οὐδὲ ποτῆτα," ἀστίως ἐρρίθη διὰ τὸ τὰς μνηστῆρας μὴ κρύπτειν, ἀλλ' ἐκφαίνειν, ὡς οἱ ἐξεμῶντες τὰ ἐντὸς, οὕτω καὶ αὐτοὺς ὅπερ εἶφον ἔνδον βύλιμα, τὸ τὸν ξένον δηλαδὴ ὡς ἐρρίθη αὐτόθι ὀλίσθαι. *Eustath.* Minùs recte. Ideò enim, ut opinor, Procos reprehendit *Telemachus*, quòd non tranquilli et sine strepitu cibum et potum sumant.

Ver. 408. Ὁππότε.] *Al.* Εἴποτε.

Ibid. —— ἄνωγε.] Vide ad *Il.* Υ'. 322.

Ver. 409. —— ὀδὰξ ἐν χείλεσι φύντες.] Vide suprà ad *ά.* 381.

Ver. 413. 414. —— οὐκ ἂν δὴ τις ἐπὶ ῥηθέντι δικαίῳ —— χαλεπαίνοι.]

Τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
Euripid. Bacch. ver. 672.

Ver. 415. Μήτε τι.] *Al.* Μήτ' ἔτι.

Ver. 417. —— ἐπαρξάσθω δεπάεσσιν.] Ἀπὸ τοῦ πρώτου ἀρξάσθω. *Schol.* Vide ad *Il. ά.* 471. et suprà ad *ή.* 188.

Ver. 419. —— ἐνὶ μεγάροις Ὀδυσῆος.] *Al.* ἐνὶ μεγάροισιν ἔκηλον.

Ver. 420. Τηλεμάχῳ μελέμεν.] Ἐπιμελείας ἀξιοῦσθαι ὑπὸ Τηλεμάχου. *Schol.*

Ver. 422. —— Μούλιος ἥρως.] Ὅτι τὸν κήρυκα Μούλιον, ὃς θεράπων ἦν Ἀμφινόμοιο, ἥρωα καλέσας ὁ Ποιητὴς, ἐμφαίνει ἀδιαφορίαν κἀνταῦθα τοῦ ἥρως ὀνόματος, ὡς μὴ μόνον ἐπὶ τῶν μεγάλων ἀνδρῶν, ἀλλὰ καὶ θεραπόντων λεγομένου· καθάπερ καὶ κρείων ὁ Ἑστιατὴς ἐλέχθη, [*Odyss.* δ'. 22.] καὶ ὄρχαμος ἀνδρῶν ὁ Εὔμαιος. *Eustath.* Notandum autem *Praecones* apud Veteres.

Digitized by Google

Κήρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
Νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσι
Σπείσαντες μακάρεσσι, πίον μελιηδέα οἶνον. 425
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Βάν ῥ' ἴμεναι πείοντες ἐὰ πρὸς δώματ' ἕκαστος.

Præco Dulichiensis; famulus autem erat Amphinomi:
Distribuit verè deindè omnibus astando: illi autem diis
Ubi-libâssent beatis, biberunt dulce vinum. 425
At postquam libâssent, bibissentque, quantum volebat animus,
Perrexerunt utique ire decubituri suas ad domos quisque.

---

magno semper in honore habitos. Vide et suprà ad ξ'. 3. 22.

Ver. 425. Σπείσαντες.] *Al.* Λείψαντες.
Ver. 427. Βὰν ῥ' ἴμεναι.] *Al.* Βὰν δ' ἴμεναι.

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Τ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Τ'.

ΣΤΊΝ Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσσεὺς, καὶ πρὸς Πηνελόπην ἐκ Κρήτης εἶναι ὑποκρίνεται· γίγνεται δὲ αὐτῇ δι' ἐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν, τοὺς πόδας αὐτοῦ νίπτουσαν· καὶ κατὰ παρίκβασιν ὁ ποιητὴς διηγεῖται, ὡς ἐν Παρνασσῷ ὑπὸ συὸς ἐπλήγη κυνηγῶν.

Ἐπιγραφαί.

Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία· καὶ ὑπὸ Εὐρυκλείας ἀναγνωρισμός.

Ἄλλως,

Ταῦ δ' ἀναγνωρίζει ἐξ ἐλῆς γρηῦς Ὀδυσῆα.

Ἀ Ὑτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Μνηστῆρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχε, χρὴ τεύχε, ἀρήϊα κατθέμεν εἴσω
Πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι 5
Παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἐκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,

LIB. XIX.

AT in domo relinquebatur nobilis Ulysses,
Procis cædem cum Minervâ meditans:
Statim autem Telemachum verbis alatis allocutus est;
" Telemache, oportet arma martia deponere intùs
" Omnia prorsùs; at procos blandis verbis 5
" Palpare; quandò te percontentur *arma* desiderantes:
" *Dicentem*, Ex fumo deposui; quoniam non ampliùs illis similia sunt,

Ver. 4. —— χρὴ τεύχε' ἀρήϊα κατθέμεν ἔνδον.] Occurrunt versus huic proximè sequentes novem suprà π'. 286. &c. verùm eos huic loco aptiùs convenire arbitrati sunt Veteres, notante *Eustathio*; Ἔνθα (inquit) ᾗ κεῖται πρὸ ἑνὸς ἑκάστου τοίχου ἀστερίσκος δίχα ὀβελοῦ· ὡς ἐνταῦθα τῶν τοιούτων τοίχων ἀθετεῖσθαι πεμπόντων —— ὃ μὴν ἐκεῖ, [*Odyss.* π'. 286.] ὡς ἐπικρίνουσιν οἱ Παλαιοί. Similitèr *Scholiastes*; Οἱ ἀστερίσκοι ὅτι ἐνθάδε καλῶς, ὅτε ἐώρακε τὰ ὅπλα. *Barnesius* autem et Dna. *Dacier.* versus hosce utrobique aptissimè positos contendunt. Vide suprà ad π'. 284.

Digitized by Google

Οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεὺς,
Ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων, 10
Μήπως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Ἀλλήλους τρώσητε, καταισχύνητε δὲ δαῖτα,
Καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί·
Ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν· 15
Μαῖ, ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας
Ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
Καλὰ, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει,
Πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα·
Νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή. 20
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Αἴ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο,
Οἴκου κήδεσθαι, καὶ κτήματα πάντα φυλάσσειν.
Ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
Δμωὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον. 25
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

" Qualia quondam ad Trojam proficiscens reliquit Ulysses;
" Sed fœdata sunt, quantum ignis attigit vapor,
" Insuper autem et hoc majus in mentem injecit deus; 10
" Nè fortè vino-gravati, contentione concitatâ inter vos,
" Vos-invicem vulneretis, deturpetisque convivium,
" Et nuptiarum-ambitum; ipsum enim allicit virum ferrum."
Sic dixit: Telemachus verò dilecto obedivit patri:
Evocatamque allocutus est nutricem Eurycleam; 15
" Nutrix, age jam mihi contine in ædibus mulieres,
" Dum in thalamum deponam arma patris
" Pulchra, quæ mihi in domo neglecta fumus corrumpit,
" Patre absente; ego nempè adhuc infans eram:
" Nunc autem volo deponere, ubi non ignis attinget vapor." 20
Hunc autem rursùs allocuta est dilecta nutrix Euryclea;
" Utinam enim jam tandem, fili, prudentiam susciperes,
" Domum ad-curandam, et possessiones omnes servandas.
" Sed age, quænam tibi deindè comitans lumen portabit?
" Famulas nempè non sinebas præire, quæ præluceant." 25
Hanc verò rursùs Telemachus prudens contrà allocutus est;

Ver. 10. —— ἐνὶ φρεσὶν ἔμβαλε δαίμων.] Vide ad *Il. α.* 194.

Ver. 12. —— καταισχύνητε δὲ.] *Al.* καταισχύνητε τε· ut suprà π'. 293.

Ver. 13. —— αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.] Vide suprà ad π'. 294.

Ver. 16. —— ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας.] Ὅτι ἐς τοσοῦτον αἱ δμωαὶ τῷ Ὀδυσσέως ἄπιστοι, ὥστε οὐκ ἔχει ὁ Τηλέμαχος καταθέσθαι τὰ ὅπλα ἐν ἀσφαλεῖ, εἰ μὴ λάθοι αὐτὰς, πρὸς τὸ μὴ ἐξιστεῖν δηλαδὴ τοῖς μνηστῆρσι. *Eustath.*

Ver. 20. —— ἵξετ'.] *Al.* ἵκετ'. Ut suprà ver. 9.

Ver. 22. —— ἐπιφροσύνας ἀνέλοιο.] Φρόνιμος γένη. *Schol.*

Ver. 25. —— εἴας.] *Al.* εἴᾳς.

Ibid. —— προβλωσκέμεν.] Προϊέναι, πρόϊξιν ποιεῖσθαι. *Schol.*

Digitized by Google

Ξεῖνος ὅδ' οὐ γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε
Χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς.
Ὣς ἄρ ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Κλῆισσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων. 30
Τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
Ἐσφόρεον κόρυθάς τε, καὶ ἀσπίδας ὀμφαλόεσσας,
Ἔγχεά τ' ὀξύοντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
Χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.
Δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα· 35
Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἔμπης μοι τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
Εἰλάτιναί τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,
Φαίνοντ' ὀφθαλμοῖς, ὡσεὶ πυρὸς αἰθομένοιο.
Ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι. 40

" Hospes hic; non enim otiosum tolerabo, qui meum sanè
" Modium attingat, etiam longè qui-venerit."
Sic utique dixit: huic verò pennarum-expers fuit verbum.
Clausit autem januas ædium habitantibus-commodarum. 30
Tum verò impetu-facto Ulysses et illustris filius
Intrò-ferebant galeasque et scuta umbonibus munita,
Hastasque acutas; antè autem Pallas Minerva,
Auream lucernam tenens, lumen perpulchrum faciebat.
Tunc demùm Telemachus alloquebatur suum patrem statim; 35
" O pater, profectò magnum miraculum hoc oculis video;
" Omninò mihi parietes ædium, pulchraque intercolumnia,
" Abiegnæque trabes, et columnæ in-altum erectæ,
" Lucent oculis, tanquam igne ardente.
" Certè omninò aliquis deorum intùs, qui cœlum latum habitant." 40

Ver. 27. —— ὅς κεν ἐμῆς γε Χοίνικος ἅπτηται.] Τροφὰς λαμβάνει· τό τε μετρῶν καὶ τὸ μετρούμενον, χοῖνιξ. *Schol.* Eodem modo explicat *Eustathius*; Οὐδὲς ἀργὸς τραφήσεται παρ' ἐμοὶ. — Χοῖνιξ δὲ νῦν, ἡ τροφὴ δίσημος γὰρ ἡ λίξις, ἐπί τε σκεύους τοῦ μετροῦντος, καὶ τοῦ μετρουμένου πράγματος. Οὕτω δὲ καὶ ὁ μέδιμνος, καὶ τὸ τάλαντον, καὶ ὁ ξέστης. — Ἰσέον δὲ ὅτι τὸ "ἱκὼ χοίνικος μὴ πεθήσθω" τὸ Πυθαγόρειον, ἅτιν μὴ τρέφεσθαι ἀργὸν, ἐκ τοῦ ἡνθίνλος Ὁμηρικῶ χωρίω ὅρμηται. Vide et *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 7.

Ver. 29. —— τῇ δ' ἄπτερος ἔπλετο μῦθος.] Vide suprà ad ρ'. 57.

Ver. 30. Κλῆισσεν δὲ.] Ita edidit *Barnesius* ex *Odyss.* ω'. 165. infrà; ubi etiam in Vulgatis scriptum est ἐκλῆισσεν. Rectè: Fit enim ex κλῄζω, cujusmodi verba Aoristos primos et Futura corripiunt. Vide ad *Il.* α'. 140. *Vulgg.* hîc Κλῆισεν δὲ.

Ver. 32. Ἐσφόρεον.] *Barnesius* edidit Εἰσφόρεον.

Ver. 33. —— ὀξύοντα.] Vide ad *Il.* ι'. 50.

Ibid. —— πάροιθε δὲ Παλλὰς Ἀθήνη, Χρύσεον λύχνον ἔχουσα.] Τὴν δᾷδα πυρίως· τῷ δὲ παρ' ἡμῖν καλουμένῳ λύχνῳ τὸν ἥρωας χρωμένους ὁ Ποιητὴς ὑπ εἰσάγει· ᾗ ὅτι Ἡσίοδος μέμνηται. Ὀρθῶς δὲ στοιήκει τὴν Ἀθηνᾶν, φρόνησιν οὖσαν, καθαρὸν αὐτῷ παρέχειν τὸ φῶς· καὶ οἰκείως, διὰ τὸν ἄσβεστον Ἀθήνησι λύχνον. *Schol.* à *Barnesio* emendata. Vide *Pausan. Attic. lib.* I. *cap.* 26.

Ver. 34. Χρύσεον.] Pronuntiabatur Χρύσευον.

Ver. 37. 39. — τοῖχοι μεγάρων, — Φαίνοντ' ὀφθαλμοῖς.] Similitèr apud *Plautum*;

Ædes totæ confulgebant tuæ, quasi essent aureæ.

Amphitr. Act. V. *Scen.* i. *ver.* 44.

Ver. 37. —— μεσόδμαι.] Τὰ μεταξὺ τῶν κιόνων διαφράγματα· οἵ τινες ἦσαν παρὰ τοὺς τοίχους τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. *Schol.*

Ver. 38. —— ὑψόσ' ἔχοντες.] *Al.* ὕψος ἔχοντες.

Ver. 40. Ἦ μάλα τις θεὸς ἔνδον.] Similitèr ferè *Hippolytus* apud *Euripidem*;

Digitized by Google

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσεύς·
Σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε·
Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἱ Ὄλυμπον ἔχουσιν.
Ἀλλὰ σὺ μὲν κατάλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
Ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω· 45
Ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.
Ὣς φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροιο βεβήκει
Κείων ἐς θάλαμον, δαΐδων ὑπολαμπομενάων,
Ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι.
Ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο, καὶ ἠῶ ὀΐαν ἔμιμνεν. 50
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεὺς,
Μνηστῆρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠδὲ χρυσῇ Ἀφροδίτῃ·

Hunc autem respondens allocutus est solers Ulysses;
" Tace, et in tuâ mente retine, neque interroga:
" Hic sanè mos est deorum, qui Olympum habitant.
" Sed tu quidem cubitum-eas; ego verò relinquar hîc,
" Ut adhuc-magis famulas et matrem tuam provocem; 45
" Hæc verò me lamentans interrogabit de singulis."
Sic dixit: Telemachus verò ex domo discessit
Cubiturus in cubiculum, facibus illucentibus,
Ubi anteà cubabat, quandò ipsum dulcis somnus opprimebat:
Ubi sanè et tunc cubuit, et auroram divinam expectabat. 50
At in domo relinquebatur nobilis Ulysses,
Procis cædem cum Minervâ meditans.
Egrediebatnr autem è thalamo prudens Penelope,
Dianæ similis, et aureæ Veneri:

Ὦ θεῖον ὀδμῆς πνεῦμα· ——
Ἐς' ἐν δόμοισι τοῖόδε γ' Ἄρτεμις θὰ
Euripid. Hippol. ver. 1391.

Ibid. —— τις θεός.] *Al.* τις θεῶν· Ut pronuntietur videlicèt θῶν· notante *Barnesio.* Vide ad *Il. α.* 18.

Ver. 43. Αὕτη τοι δίκη ἐστὶ θεῶν.] Οὗτος ὁ τρόπος, τὸ, ὡς βούλονται, φαίνεσθαι. *Schol.* Rectiùs, ut videtur, *Eustathius*; Αὕτη θέμις θεῦ, ἐν τῷ ἐπιφαίνεσθαι, ποιεῖν ἅτω, καθὰ δηλαδὴ βλίπεις. Quod autem deinceps addit; Τινὲς δὲ γράφουσιν, Αὐτὴ τοι δίκη ἐστὶ θεῦ, τουτέστιν ἐκ ἄλλος τις ὁ ἔνδον ἄρτι θεὸς, ἢ αὐτὴ ἡ Δίκη, ἱσομένη σὺν ἡμῖν, ἢ ἢ ἔσα ἤδη· id verò, ut opinor, ferri non potest. Vide suprà λ'. 217. et infrà ω. 254. ubi similis phrasis occurrit.

Ibid. —— οἱ Ὄλυμπον ἔχουσιν.] " Hoc," inquit *Spondanus*, " dici existimo ad differentiam Deorum inferorum, quibus non " est peculiare ut luceant." Verùm hoc in loco istiusmodi distinctio plane est importuna.

Ver. 48. —— ὑπολαμπομενάων.] *Al.* ὑπὸ λαμπομενάων.

Ver. 53. Ἡ δ' ἴεν ἐκ θαλάμοιο.] Ὁ δὲ πολυφωνότατος ἁπάντων τῶν ποιητῶν Ὅμηρος, ὅταν μὲν ὥραν ἕψεως εὐμόρφῳ, ᾖ κάλλος ἡδονῆς ἐπαγωγὸν ἐπιδείξασθαι βούληται, τῶν τι φωνούντων τοῖς κρατίστοις χρήσεται, ᾖ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις· ᾖ ὁ κατασυκνώσει τοὺς ἀφώνοις τὰς συλλαβὰς, ὐδὲ συγκόψει τὰς ἠχὼ, παρατιθεὶς ἀλλήλοις τὰ δυείκφορα· πρᾷδίαν δ' τινὰ ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων, καὶ ῥίψει ἀλύπως διὰ τῆς ἀκοῆς· ὡς ἴχα τουτὶ " Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια, " Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ." *Dionys. Halicarn. περὶ συνθέσεως*, § 16.

Ver. 54. Ἀρτέμιδι ἰκέλη.] Vide suprà ad ε'. 37.

Ibid. —— ἠδὲ χρυσῇ Ἀφροδίτῃ.] MS. à *The. Bentleio* collatus, ἠὲ χρυσῇ Ἀφροδίτῃ Atque ita legitur apud *Eustathium*, in commentario; et apud *Dionysium*, loco suprà citato. Quæ et potior videtur lectio. Vide suprà ad ε'. 37.

Digitized by Google

Τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἕφιζε, 55
Δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἣν ποτε τέκτων
Ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε
Προσφυὲ ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.
Ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
Ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο· 60
Αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἤρεον, ἠδὲ τραπέζας,
Καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον.
Πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον· ἄλλα δ' ἐπ' αὐτῶν
Νήησαν ξύλα πολλὰ, φόως ἔμεν, ἠδὲ θέρεσθαι.
Ἡ δ' Ὀδυσῆ ἐνένιπτε Μελανθὼ δεύτερον αὖτις· 65
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
Δινεύων κατὰ οἶκον; ὀπιπτεύσεις δὲ γυναῖκας;
Ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
Ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Τὴν δ' ἄρ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς· 70
Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
Ἦ ὅτι οὐ λιπόω; κακὰ δὲ χροῖ εἵματα εἶμαι;

Ei juxta ignem quidem sedem deposuerunt, ubi utique insidere-solebat, 55
Circumcircà-ornatam ebore et argento; quam olim faber
Fecerat Icmalius, et subtùs scabellum pedibus posuerat
Aptum ex ipsâ; ubi magna injiciebatur pellis.
Illic desidebat deindè prudens Penelope.
Venerunt autem famulæ candidæ-ulnis ex domo: 60
Hæ autem panem quidem multum auferebant, et mensas,
Et pocula, undè scilicèt viri superbientes bibebant.
Ignem verò à foculis ad terram jecerunt; aliaque super ipsos
Cumulârunt ligna multa, ut lumen esset, et calefactio.
At Ulyssem increpabat Melantho secundò rursùs; 65
" Hospes, adhuc et nunc hîc molestus-eris per noctem
" Versans in domo? observabisque mulieres?
" Sed exi foràs, miser, et convivio juvare:
" Aut citò et torre percussus ibis foràs."
Hanc autem torvè intuitus allocutus est solers Ulysses; 70
" Improba, cur in me sic invehis irato animo?
" An quòd non niteo? mala autem corpori vestimenta indutus sum?

Ibid. —— χρυσῇ.] *Barnesius* edidit χρυσέῃ. Quod eodem modo pronuntiandum.

Ver. 55. — ἔνθ' ἄρ' ἕφιζε.] *Al.* ἐνθαδ' ἕφιζε.

Ver. 58. Προσφυὲ ἐξ αὐτῆς.] Ἤγιον προσπίφυκυῖαν καὶ ἡνωμένην τῇ κλισίῃ. *Eustath.*

Ibid. — ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.] Οὐ λίτα δαιδάλεον ὑπεστρωμένον ἔχουσα, ὐδὲ τάπητα μαλακῶ ἐρίῳ, κατὰ τὴν τρυφερὰν Ἑλένην, [suprà δ'. 124.] κῶας δὶ μέγα· κατὰ ἡρωϊκὴν καὶ τοῦτο ἀφίλειαν. *Eustath.* Vide suprà ad δ'. 45. et ρ'. 266.

Ver. 61. —— ἀπὸ μὲν σῖτον πολὺν ἤρεον, ἠδὲ τραπέζας.]

Postquam prima quies epulis, mensæque remotæ. *Æn.* I. 723.

Ver. 62. — δέπα.] *Barnesius* edidit δέπα'. Atque ita habet MS. à *Tho. Bentleio* collatus, infrà ὁ. 153.

Ver. 66. —— ἀνιήσεις.] Vide ad *Il.* ν'. 103. et ὁ. 24. Item infrà ad ὁ. 178.

Ver. 67. —— ὀπιπτεύσεις.] *Al.* ὀπιστεύσεις· et ὀπιστεύεις.

Ver. 72. Ἦ ὅτι οὐ λιπόω;] Editiones nonnullæ, notante *Barnesio*, hoc in loco legunt, Ἦ ὅτι τοι ῥυπόω.

Digitized by Google

Πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
Τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον 75
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ
Τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι.
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται·
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που. 80
Τῷ νῦν μή ποτε καὶ σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
Ἀγλαΐην, τῇ νῦν γε μετὰ δμωῇσι κέκασσαι,
Μή πώς τοι δέσποινα ποτεσσαμένη χαλεπήνῃ,
Ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
Εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε, καὶ οὐκέτι νόστιμος ἐστὶν, 85

" Mendicoque per populum? necessitas enim urget.
" Tales mendici et errones viri sunt.
" Etenim ego quondam domum inter homines habitabam 75
" Beatus divitem, et sæpè dabam erroni
" Tali, qualis esset, et cujuscunque rei indigens venisset.
" Erant verò *mihi* servi valdè multi, aliaque multa,
" Quibus scilicèt benè vivunt *homines*, et divites vocantur:
" Sed Jupiter perdidit Saturnius; voluit enim aliquâ-de-causâ. 80
" Ideò nunc *cave* nè aliquandò et tu, mulier, omnem amittas
" Pulchritudinem, quâ nunc sanè inter ancillas ornata es;
" Nè fortè tibi domina irata sæviat,
" Vel Ulysses venerit; adhuc enim et spei copia *est*.
" Sin ille quidem ita periit, et non ampliùs rediturus est, 85

Ver. 73. Πτωχεύω δ' ἀνὰ δῆμον.]
Ἐν τῷ πένεσθαι δ' ἐστὶν ἢ σ' ἀδοξία,
Κἂν ᾖ σοφὸς τὶς, ἢ σ' ἀτιμία βίου.
Euripid. Erectheus, *ver.* 16.

Ibid. —— ἀναγκαίη γὰρ ἐπάγει.]
Τὸ τῆς ἀνάγκης ἔς' ἀδήριτον σθένος.
Æschylus, *Prometh. ver.* 105.

" *Necessitate, quæ ultimum et maximum telum* " *est.*" *Liv. lib.* IV. § 28.

Ver. 75. 80. Καὶ γὰρ ἐγώ ποτε οἶκον —— Ἀλλὰ Ζεὺς ἀλάπαξε.] Similitèr *Euripides*;

Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν ἐκ εἰμ' ἔτι·
Τὸν πάντα δ' ὄλβον ἤμαρ ἓν μ' ἀφείλετο.
Hecuba, *ver.* 284.

Et *Ovidius*;

Nos quoque floruimus, sed flos erat ille caducus.
Trist. lib. V. *Eleg.* VIII. *ver.* 19.

Ver. 76. — δόσκον.] *Dare solebam* ——.
Ver. 77. — ὁποῖος ἔοι, ᾧ.] *Al.* ὁποῖος ἔοικεν.
Ver. 79. Οἷσιν τ'.] *Quibus videlicet* ——.
Ibid. — ᾧ ἀφνειοὶ καλέονται.] *Dio Chrysostomus* hoc ita videtur accipisse, ac si Poëta divites, vulgari æstimatione tantùm, non reverà felices dicere voluerit. Ποιητὴς, (inquit, *Orat.* 78. *sub initio*), ἐχ αὐτῇ γνώμῃ ἀποφαινόμενος, ἀλλὰ τὴν τῶν ἀνθρώπων ἐξηγούμενος δόξαν, [φησὶν], " Οἷοι [Οἷσιν] τ' εὖ " ζώουσι, ᾧ ἀφνειοὶ καλέονται" ὡς μόνον καλουμένων αὐτῶν ἀφνειῶν, ἀλλ' ἐκ ὄντων κατ' ἀλήθειαν. Quâ ratione dixit *Horatius*;

Non possidentem multa vocaveris
Rectè beatum ——.
Carm. lib. IV. *Od.* IX. 45.

Verùm istiusmodi explicatio huic loco minimè convenit.

Ver. 80. Ἀλλὰ Ζεὺς ἀλάπαξε.]
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλῃ·
Ἄλλοτε μὲν πλείειν, ἄλλοτε δ' οὐδὲν ἔχειν.
Theogn. Gnom. ver. 157.

Ver. 81. —— μή ποτε σὺ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς.] Τὸ δὲ " μή ποτε πᾶσαν ὀλέσσῃς ἀγλαΐαν" ᾧ τὸ, " μὴ πώς τοι δέσποινα " χαλεπήνῃ," [*ver.* 85.] συνῴδη ἔλλειψιν ἔχουσι τῷ " ὄφα," ἢ " δείδιθι," ἢ τοιούτῳ τινὶ. *Eustath.* Vide suprà ad τ'. 381.

Ibid. —— πᾶσαν.] *Al.* πάμπαν.
Ver. 82. —— τῇ.] *Al.* τὴν.
Ver. 84. —— ἔλθῃ.] *Al.* ἔλθοι.

Digitized by Google

Ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι
Τηλέμαχος· τὸν δ' οὔτις ἐνὶ μεγάροισι γυναικῶν
Λήθει ἀτασθάλλουσ'· ἐπεὶ οὐκέτι τηλίκος ἐστίν.
Ὣς φάτο· τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια·
Ἀμφίπολον δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν· 90
Πάντως, θαρσαλέη, κύον ἀδδεὲς, οὔτι με λήθεις
Ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
Πάντα γὰρ εὖ ἤδησθ, ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,
Ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
Ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι. 95
Ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·
Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
Ὄφρα καθεζόμενος εἴπῃ ἔπος, ἠδ' ἐπακούσῃ
Ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὣς ἔφαθ· ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα 100
Δίφρον εὔξεστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
Ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.

" At jam filius talis Apollinis utique voluntate
" Telemachus; hunc autem nulla in ædibus mulierum
" Latet perperàm-agens; quoniam non ampliùs tantillæ-ætatis est."
Sic dixit: eum verò audivit prudens Penelope;
Ancillam autem objurgabat, verbumque dixit, compellabatque; 90
" Omninò, audax, canis intrepida, non me lates
" Perpetrans magnum facinus, quod tuo capite perlues.
" Omnia enim benè nôsti, quoniam ex me audivisti ipsâ,
" Quòd hospitem eram in ædibus meis
" De marito interrogatura; quoniam multùm tristor." 95
Dixit, et Eurynomen œconomam sermone allocuta est;
" Eurynome, affer jam sedem, et pellem super ipsam;
" Ut sedens dicat verbum, et audiat
" Hospes ex me; volo enim ipsum interrogare."
Sic dixit: illa verò valdè festinantèr deposuit ferens 100
Sedem benè-politam, et ei pellem injiciebat:
Illic sedebat deindè multa-passus nobilis Ulysses.

Ver. 86. —— Ἀπόλλωνος γε ἕκητι.] Κυριώτερος γὰρ ὁ Διός. *Schol.* Vide infrà ad ι'. 71.

Ver. 88. 91. Λήθει —— λήθεις.] Vide suprà ad λ'. 101.

Ver. 92. —— ὃ σῇ κεφαλῇ ἀναμάξεις.] Πάντως ἑαυτῇ προσρίψεις· ἢ ἀναλήψεις. *Schol.* Similitèr *Eustathius*; Τὸ δὲ "ἀναμάξεις" ἀντὶ τοῦ προσρίψεις· σαφέστερον δὲ ἀντὶ τοῦ προσκυλινδήσεις ποιήσεις αὐτῇ τῇ σῇ κεφαλῇ. Καὶ ἔστιν εὑρεῖν τοιαύτην ἔννοιαν καὶ παρὰ τῷ Σοφοκλεῖ· ἔνθα φαίνεται ταῖς κεφουσυμένων κεφαλαῖς ἐκκομιζόντεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα· ὡς ἂν κεφαλὴν δῆθεν ἐκείνοις προσπομένου τοῦ κακοῦ.

—— κἀπὶ λυτροῖσιν κάρα
Κηλῖδας ἱξίμαξεν ——.
Sophocl. Electr. ver. 447.

Eodem modo explicat et Dna. *Dacier.* Poëta autem (ut opinor) hâc phrasi idem simplicitèr denotare vult ac infrà χ'. 217. "— σῷ δ' αὐτῷ κράατι τίσεις." *Tuo ipsius capite lues.* Occurrit porrò eadem phrasis apud *Herodotum*; Τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἔπρηξα, καὶ ἐμῇ κεφαλῇ ἀναμάξας φέρω. *Lib.* I. § 155.

Ver. 93. —— ἤδησθ', ἐπεὶ.] Ita ex utrâque *Eustathii* editione et ex *Oxoniensi* restituit *Barnesius*. *Vulgg.* ἤδησθα, ἐπεὶ.

Digitized by Google

Τοῖσι δὲ μῦθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σε πρώτον ἐγὼν εἰρήσομαι αὐτὴ,
Τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες; 105
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
Νείκεοι· ἦ γὰρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει·
Ὥστε τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
Ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων, 110
Εὐδικίας ἀνέχῃσι· φέρῃσι δὲ γαῖα μέλαινα
Πυροὺς, καὶ κριθὰς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
Τίκτει δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχει ἰχθῦς
Ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
Τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ· 115

Illis autem sermonem exordiebatur prudens Penelope;
" Hospes, hoc quidem te primùm ego percontabor ipsa,
" Quis? undè es virorum? ubinam tibi urbs et parentes?" 105
Hanc autem respondens allocutus est solers Ulysses;
" O mulier, nemo te hominum in immensâ terrâ
" Vituperaret: certè enim tua gloria ad cœlum latum pervenit;
" Sicut alicujus vel regis eximii; qui deo-similis
" Viris in multis et fortibus regnans, 110
" Jura sustentet; ferat autem terra nigra
" Tritica et hordea, graventurque arbores fructu;
" Pariunt verò robustæ pecudes; mare porrò præbet pisces,
" Ex prudenti-administratione; felicitèrque degunt populi sub ipso.
" Ideò me nunc alia quidem percontare tuâ in domo; 115

Ver. 109. 111. — ὅς τε θεουδὴς — Εὐδικίας ἀνέχῃσι.] Τουτέστι θεῖε λόγον ἔχων διάνοιαν, ἀ σκήπτρον, ἀδὲ κεραυνὸν, ἀδὲ τρίαιναν, ὡς ἔνιοι πλάττουσι ἑαυτοὺς καὶ γράφουσι, τῷ ἀνεφίκτῳ ποιοῦντες ἐπίφθονον τὸ ἀνόητον. *Plutarch.* πρὸς ἡγεμόνα ἀπαίδευτον. Cæterùm totum hunc locum imitatur *Hesiodus;*

Οἳ δὶ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
Ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίης,
— Τοῖσι τίθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·—
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· ὄρεσι δὲ δρῦς
Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελισσας·
Εἰροπόκοι δ' ὄϊες μαλλοῖς κα[αβεβρίθασι, &c.
Ἔργ. καὶ Ἡμερ. I. *ver.* 223. 230.

Vide *Platonem de Republ. lib.* II. ubi loca hæc *Homeri* et *Hesiodi* citantur.

Ver. 110. Ἀνδράσιν ἐν πολλοῖσι.] Apud *Platonem de Republ. lib.* II. itemque apud *Plutarchum*, loco jam suprà citato, omittitur hìc versus.

Ver. 111. —— φέρῃσι δὲ γαῖα μέλαινα Πυρὺς, &c.] Similitèr apud *Callimachum;*

Κείνοις εὖ μὲν ἄρουρα φέρει τάχυν, εὖ δὲ γενέθλη
Τιτραπόδων, εὖ δ' ὄλβος ἀέξεται ——.
Hymn. in Dian. ver. 130.

Ver. 112. —— βρίθῃσι.] Vide ad *Il.* ν. 343.

Ver. 113. Τίκτει — παρέχει.] Apud *Platonem*, Τίκτει — παρέχῃ. Quod et cum præcedentibus φέρῃσι, βρίθῃσι aptiùs congruit.

Ibid. —— ἔμπεδα.] *Al.* ἄσπετα.

Ibid. —— θάλασσα δὲ παρέχει ἰχθῦς.] Quamvis piscium copia hìc inter Populi feliciis et opulenti bona numeretur, nusquam tamen apud Poëtam eos ad edendum appositos memorari observat *Athenæus;* Ἑλλάσπονδον δὲ Ὅμηρος ἰχθυόεν]α προσαγορεύων, καὶ τὰς Φαίακας πλωτικωτάτους ποιῶν, καὶ ἐν τῇ Ἰθάκῃ ἐδῶδς λιμένας πλείους, καὶ νήσους προσεχοῦς πολλὰς, ἐν αἷς ἰχθύων ἐγίνετο πλῆθος καὶ ἀγρίων ὀρνίθων· καὶ ἐις εὐδαιμονίαν δὶ καταριθμῶν τὸ τὴν θάλασσαν ἰχθῦς παρέχειν· ὁμῶς τούτων οὐδὶν ὑδίνα ποιεῖ προσφερόμενον. *Lib.* I. *cap.* 8.

Ibid. —— παρέχει.] Vide ad *Il.* ζ. 62.

Ver. 114. Ἐξ εὐηγεσίης.] Τῆς εὐδαιμονίας· ἢ τῆς εὐαρχίας, παρὰ τὸ εὖ ἡγεῖσθαι· κακῶς δ' οἱ σὺν τῷ ρ γράφοντες εὐεργεσίης. *Schol.*

Ibid. —— ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.] Ἐκ ἀρετῆ καὶ εὐδαιμονία διέγωσιν. *Schol.* Ἐςὶ δὲ στρατηγίας μὲν ἔπαινος, ἡ τῶν πολεμίων καταστροφὴ· βασιλείας δὶ, ἡ τῶν ὑπηκόων εὐδαιμονία. *Themist. Orat.* X. *de Pace.*

Digitized by Google

Μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
Μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
Μνησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
Οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
Ἥσθαι· ἐπεὶ κάκιον πένθημεναι ἄκριτον αἰεί· 120
Μή τίς μοι δμωῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή·
Φῆ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Ξεῖν', ἤτοι μὲν ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε,
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον 125
Ἀργεῖοι· μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
Μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω·
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων·
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι, 130
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,

" Nè verò meum exquire genus et patriam terram,
" Nè mihi magìs animum impleas doloribus
" Recordanti: valdè enim sum ærumnosus; neque omninò me oportet
" Domo in alienâ lugentemque flentemque
" Sedere: quoniam malum *est* lugere indiscriminatim semper: 120
" Nequa mihi ancillarum succenseat, vel tu ipsa;
" Dicatque lachrymis-abundare gravatum me mentem vino."
Huic autem respondit deindè prudens Penelope;
" Hospes, profectò quidem meam excellentiam, formamque, corpusque,
" Perdiderunt immortales, quandò ad Ilium navigabant 125
" Argivi; cum iis autem meus maritus erat Ulysses.
" Si ille utique reversus meum statum gubernaret,
" Major gloria esset mea, et melior ita:
" Nunc autem tristor: tot enim mihi immisit mala deus:
" Quotquot enim insulis dominantur optimi, 130
" Dulichioque, Samæque, et nemorosæ Zacyntho,
" Quique ipsam Ithacam amœnam incolunt,

Ver. 116. Μηδ' ἐμὸν.] *Al.* Μηδὲ μοι.

Ver. 117. —— θυμὸν ἐνιπλήσῃς ὀδυνάων Μνησαμένῳ.]

Infandum, regina, jubes renovare dolorem. *Æn.* II. 3.

Ver. 122. Φῆ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ.] Ὁ γὰρ οἶνος ὁ πολὺς μάλιστα φαίνεται παρασκευάζειν τοιούτους, οἵους λέγομεν τοὺς μεθυγχολικοὺς εἶναι· ᾗ πλεῖστα ἤθη ποιεῖν [*Al.* ποιεῖ] πινόμενος, οἷον ὀργίλους, φιλανθρώπους, ἐλεήμονας, ἱσαμοὺς —— ὁ μὲν λάλους, ὁ δὲ κεκινημένους, ὁ δὲ ἀρίδακρυς· ποιεῖ γὰρ τινὰς ᾗ τοιούτους· δι' ὃ καὶ Ὅμηρος ἐποίησε, " Καί με " φησὶ δάκρυ πλώειν βεβαρημενον οἴνῳ." *Aristot. Probl. Sect.* 30. *haud longè ab initio.* Ubi notandum in transcursu *Aristotelem* versum hunc alitèr, ac in Vulgatis jam scriptum est, legisse; nisi fortè ille memoriâ tantùm citaverit.

Ibid. —— δακρυπλώειν.] Δακρύων πληθύειν. *Schol.* *Al.* δάκρυ πλώειν.

Ver. 125. —— εἰσανέβαινον.] *Al.* εἰς ἀνέβαινον.

Ver. 127. —— τὸν ἐμὸν βίον ἀμφιπολεύοι.] Τῷ ἐμῷ βίῳ προνοοῖτο. *Schol.*

Ver. 129. —— ἐπέσσευεν.] *Al.* ἐπέκλωσεν.

Ver. 130. Ὅσσοι γὰρ νήσοισιν.] Vide suprà ad α'. 122.

Ver. 131. Δουλιχίῳ τε, Σάμῃ τε.] Vide suprà ad ε. 246. et ο. 29.

Digitized by Google

Οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
Τῷ οὔτε ξείνων ἐμπάζομαι, οὔθ' ἱκετάων,
Οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν· 135
Ἀλλ' Ὀδυσῆα ποθεῦσα, φίλον κατατήκομαι ἦτορ·
Οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω·
Φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων
Στησαμένῃ μέγαν ἱστὸν ἐνὶ μεγάροισι ὑφαίνειν,
Λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' αὐτοῖς μετέειπον· 140
Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς,
Μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰσόκε φᾶρος
Ἐκτελέσω, (μή μοι μεταμώλια νήματ' ὄληται,)
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰσότε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο· 145
Μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
Αἴ κεν ἄτερ σπείρου κεῖται, πολλὰ κτεατίσσας.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα κεν ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστὸν,
Νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην. 150

" Hi me nolentem ambiunt, atteruntque domum.
" Ideò neque hospites curo, neque supplices,
" Neque omninò præcones, qui publici ministri sunt; 135
" Sed Ulyssem desiderans, charo contabesco corde:
" Hi autem nuptias urgent; ego verò dolos struo:
" Vestem quidem mihi primùm inspiravit in mentem deus
" Exorsa magnam telam in ædibus texere,
" Subtilem et immensam: statim autem inter illos dixi; 140
" Juvenes, mei proci, quandoquidem mortuus est nobilis Ulysses,
" Manete urgentes *licèt* meas nuptias, donec vestimentum
" Perfecero, (nè mihi vana fila pereant,)
" Laërti heroi sepulchrale, *in tempus* quo ipsum
" Fatum perniciosum corripuerit perennis mortis: 145
" Nequa mihi in populo Achivarum succenseat,
" Si sine vestimento jaceat, multa qui possedit.
" Sic dixi; illis autem persuasus est animus generosus.
" Tunc interdiù quidem texebam magnam telam,
" Noctu verò dissolvebam, postquam faces adhibueram. 150

Ver. 133. Οἵ.] *Barnesius* edidit Τοὶ.

Ver. 136. —— Ὀδυσῆα ποθεῦσα, φίλον κατατήκομαι ἦτορ.] Ἀμφίδολον, inquit *Eustathius*, εἴτε πρὸς τὸν Ὀδυσσέα, εἴτε πρὸς τὸ ἦτορ, κολληστέον τὸ φίλον. Vera autem posterior constructio; ut liquet ex locis innumeris ubi eadem phrasis occurrit.

Ver. 139. Στησαμένῃ —— ὑφαίνειν.] *Al.* Σεσαμένῃ — ὕφαινον.

Ver. 143. —— μεταμώλια.[*Al.* μεταμόνια.

Ver. 144. —— εἰσότε.] *Al.* ἐς ὅτε.

Ver. 149. Ἔνθα κεν ἠματίη.] MS. à *Tho. Bentleio* collatus, Ἔνθα καὶ ἠματίη· uti in vulgatis editum est suprà β'. 104. ubi idem versus occurrit. Ac verior videtur hæc lectio: Nam vocula κεν cum sententiâ (ut opinor) hoc in loco non convenit.

Ver. 150. Νύκτας δ' ἀλλύεσκον.] Hinc *Ovidius*;

Durat opus vatum, Trojani fama laboris,
Tardaque nocturno tela retexta dolo.
Amor. lib. III. *Eleg.* ix. 29.

Et *Propertius*, de eâdem *Penelope*;

Digitized by Google

Ὡς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
Ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
Μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
Καὶ τότε δή με, διὰ δμωὰς, κύνας οὐκ ἀλεγούσας,
Εἷλον ἐπελθόντες, καὶ ὁμοκλήσαντ' ἐπέεσσιν. 155
Ὡς τὸ μὲν ἐξετέλεσσα καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης·
Νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην
Μῆτιν ἐφευρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
Γήμασθ'· ἀσχαλάα δὲ πάϊς βίοτον κατεδόντων,
Γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα 160
Οἴκου κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζει.
Ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.

" Sic triennium quidem latebam ego et persuadebam Achivis:
" Sed quum quartus venit annus, et advenerunt horæ
" Mensibus exeuntibus, diesque multi circumacti-sunt,
" Utique tunc demùm me, per famulas, canes non curantes,
" Deprehenderunt supervenientes, et increpuerunt verbis. 155
" Sic illud quidem perfeci, etiam nolens, ex necessitate;
" Nunc verò neque effugere possum nuptias; neque ullum aliud
" Consilium invenio; valdè autem hortantur parentes
" Nubere; et ægrè fert filius victum devorantes,
" Cognoscens: jamjam enim vir *est* habilis maximè 160
" Ad domum curandam, cui utique Jupiter gloriam præbet.
" Sed et sic mihi dic tuum genus, undè sis;
" Non enim à quercu es olim-fabulosâ, neque à petrâ."

Conjugium falsâ poterat differre Minervâ,
Nocturno solvens texta diurna dolo.
Lib. II. *Eleg.* ix. 3.

Ver. 151. —— Ἀχαιοὺς.] Ἀντὶ τῦ, μνηστῆρας. Uti notavit *Barnesius*. Vide suprà ad ε'. 93.

Ver. 155. —— ὁμοκλήσαντ'.] MS. à *Tho. Bentleio* collatus, ὁμόκλησαν. Quæ fortè et verior lectio. Nam verbum ὁμοκλέω nusquam alibi apud Poëtam nisi Voce *Activâ* occurrit. Vide ad *Il.* Ψ'. 363. item ad α'. 51.

Ver. 158. —— μάλα δ' ὀτρύνουσι τοκῆες.] Vide suprà ad ὁ. 16.

Ver. 159. Γήμασθ'.] Vide suprà ad λ'. 272.

Ver. 160. —— οἷος τε μάλιστα Οἴκου κήδεσθαι.] Ita infrà φ'. 116. 117.

—— ὅτ' ἐγὼ κατόπισθε λιποίμην
Οἷός τ' ἤδη πατρὸς ἀέθλια κάλ' ἀνελίσθαι.

Cæterùm *Henricus Stephanus* hîc inter varias lectiones retulit οἷος τε, μέγας τε.

Ver. 161. —— τῷ τε Ζεὺς κῦδος ὀπάζει.] *Al.* κῦδος ὀπάζῃ. Cæterùm Dna. *Dacier* hîc legendum existimat ὀπάζοι· " C'est un souhait (inquit) que Penelope fait pour son " fils." Male omninò.

Ibid. —— κῦδος.] *Al.* ὄλβον. Atque ita legit MS. à *Tho. Bentleio* collatus.

Ver. 162. —— ὁππόθεν γένος, ὁππόθεν ἐσσὶ.]

Qui genus? undè domo? ——
Æn. VIII. 114.

Ver. 163. Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.] Οἱ γὰρ παλαιοὶ ὑπελάμβανον τὺς πρὸ ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γεγενῆσθαι, διὰ τὸ τὰς τικτούσας εἰς τὰ σιλίχνη καὶ σπήλαια ἐντιθέναι τὰ παιδία· ἐςὶ δὲ ὁ λόγος, ὁ γὰρ δὴ ἐκείνων εἶ σὺ —— πυθανὸν δὲ τὺς πέλας ἀνθρώπυς ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιῆσθαι πλησίον δρυῶν καὶ πετρῶν. *Schol.* Παροιμιώδης ὁ λόγος· καὶ —— καταφατικῶς μὲν ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης εἶναι τὺς λέγεται, ὅτι ἐκ ἐςὶ γένος αὐτῦ εἰπεῖν· ἀποφατικῶς δὲ φάμεν ὡς ἐκ ἐςὶ τις ἀπὸ δρυὸς παλαιφάτυ ἢ ἀπὸ πέτρης, ὅτι ἐκ ἂν ἔχοι σιγῆσαι πόθεν ἐςὶν. —— Ἐςὶ δὲ καὶ ἄλλως νοηθῆναι τὸ ῥηθὲν ὕτως· ἁπλύςερον· εἰπὲ μοι τὰ κατὰ σε· ὁ γὰρ ἂν εἴποις χρόνῳ μακρῷ ἀπεληλῆφθαι τὴν περὶ αὐτῶν μνήμην, ὡς τὰ ἐκ δρυὸς καὶ πέτρας παλαιὰ διηγήματα. *Eustath.* Hinc apud *Platonem*; "Η οἷει ἐκ δρυὸς ποθὲν, ἢ ἐκ πέτρας τὰς πολιτείας γίγνεσθαι; *De Republ. lib.* VIII. Sed et aliam adhuc hujus phrasis explicationem affert *Eustathius* ad

Digitized by Google

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος, 165
Οὐκ ἔτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
Ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
Πλείοσιν, ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
Ἧς ἀπέησιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων· 170
Ἀλλὰ καὶ ὣς ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Κρήτη τις γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
Καλὴ καὶ πίειρα, περίῤῥυτος· ἐν δ' ἄνθρωποι
Πολλοὶ, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.

Hanc autem respondens allocutus est solers Ulysses;
" O uxor veneranda Laërtiadæ Ulyssis, 165
" Nondum desines meum genus interrogare?
" Sed tibi enarrabo; certè quidem me doloribus utique dabis
" Pluribus, quàm teneor: hic enim mos, quandò à-patriâ
" Suâ absit vir tanto tempore, quanto ego nunc,
" Multas hominum per urbes errans, dolores patiens: 170
" Sed et sic dicam, quod me percontaris et interrogas.
" Creta quædam terra est, medio in nigro ponto,
" Pulchra et pinguis, circumflua; in eâ autem homines
" Multi, innumeri, et nonaginta urbes.

Odyss. χ'. 290. Τὸ ἀπὸ δρυὸς, (inquit) ἢ πέτρης εἶναι τινὰ, ὃ μόνον ἀρχαιοσονίαν παλαι[ά]τὴν σημαίνει Ὁμηρικώτερον, ἀλλὰ χ ἦθος ἀτέραμνον. Quo sensu (notante *Duporto, in Gnomologiâ* ad hunc locum), usurpatur apud *Plutarchum*; Καίτοι οὐδὲ αὐτὸς "ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης" ἐγενόμην. *Consolat. ad Uxor. haud longè ab initio.* Et apud *Theocritum*; "—— πέτρας ἀπόκομμ' ἀτεράμνων." *Idyll.* X. 7. Et *Ciceronem*; "Non enim est è saxo sculptus, aut è robore dolatus." *Academic, lib.* IV. Et in *Tusculanis*; "Non enim silice nati sumus." *Lib.* III. *cap.* 6. Verùm ista interpretatio huic *Homeri* loco non convenit. Porrò *Clemens Alexandrinus* versum hunc alio adjecto hemistichio citat;

Οὐ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, οὐδ' ἀπὸ πέτρης·
Ἀλλ' ἀνδρῶν γένος ἐσσὶ· ——.

Admonit. ad Gentes.

Vide et ad *Il.* χ'. 126.

Ibid. —— παλαιφάτου.] Παλαιὰ φατιζομένης, περὶ ἧς παλαιὰ μυθεύεται ——. Τινὲς δὲ παλαιφάγυ, ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγυον· παρὰ τοῦτο χ φηγὸς, ὡς φαγὸς τὶς οὖσα. *Schol. Etymologicon Magnum* et aliam hujus vocis interpretationem affert; Παλαιφαμένος, ἀντὶ τοῦ τῆς πάλαι τετιμημένης δρυὸς. Porrò apud *Hesychium*, notante *Barnesio*, legitur et παλαιφύτου.

Ver. 166. —— ἀπολλήξεις.] *Al.* ἀπολήξεις, et ἀπολλήξῃς.

Ver. 170. Πολλὰ βροτῶν ἐπὶ ἄστ' ἀλώμενος.] Vide suprà ad *α*. 3.

Ver. 172. Κρήτη τις γαῖ' ἐστὶ, μέσῳ ἐνὶ οἴνοπι πόντῳ.]

Creta Jovis magni medio jacet insula ponto. *Æn.* III. 104.

Ver. 174. Πολλοὶ, ἀπειρέσιοι.] Ἐπήνεσε τὴν πολλοὶ, τὸ ἀπειρέσιοι, αὐξήσεως ἕνεκεν. *Schol.*

Ibid. —— χ ἐννήκοντα πόληες.] In *Iliade* ἑκατόμπολιν τὴν Κρήτην vocat Poëta;

"Ἀλλοι δ', οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο. *Il.* β'. 649.

Quâ de re *Eustathius*; Ἐνενηκοντάπολις δὲ νῦν Κρήτη, ἡ ἐν Ἰλιάδι ἑκατόντπολις, κατὰ στρατιωτικὴν ἀναγραφῆναι γὰρ φασὶ δέκα πόλεις ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ Ἰλίου, ὅτι Λύκῳ αὐτὸν ἀπήλαυνεν, ὃν δὲ θετὸν παῖδα ὄντα, φύλακα τῆς βασιλείας καταλιπὼν δράκοντα θρέψαι, ὡς ὁ Λυκόφρων φησὶ· τὰς δὲ τοιαύτας δέκα πόλεις προσκτισθῆναι φασὶν ὕστερον μετὰ τὰ Τρωικά. —— "Ἕτεροι δὲ οὐχ ὡρισμένως ἐκεῖ νοεῖ τὴν ἑκατόνπολιν, ἀλλ' ἁπλῶς τὴν πολύπολιν. Καὶ εἴωθεν ὥσπερ ποτὲ λαμβάνεσθαι τὸ ἑκατὸν, διὰ τὸ πρεσβεῖον τοῦ ἑνὸς ἀριθμοῦ κατὰ τὸ "ἑκατὸν θύσανοι," χ "ἑκατὸν πόλεων πτολίεθρον." "Ὡς τι ἑκατόντπολις Κρήτη, ἡ πολύπολις. Similitèr *Scholiastes* ad *Il.* β'. 649. et ad hunc locum. Vide et *Strabonem, Geograph. lib.* X. *pag.* 735. *al.* 479. ubi de hâc re plura. *Virgilius Iliadem* secutus est;

Centum urbes habitant magnas ——.
Æn. III. 106.

Digitized by Google

Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοὶ, 175
Ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί.
Τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις· ἔνθα τε Μίνως
Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,

" Alia autem aliorum lingua mixta: insunt quidem Achivi, 175
" Insunt verò indigenæ-Cretenses magnanimi, insunt et Cydones,
" Doriensesque trifariàm-divisi, eximiique Pelasgi.
" Apud hos autem est Cnossus magna urbs; ubi scilicèt Minos
" Novennalis regnabat Jovis magni confabulator,

Ver. 175. Ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη.] Προφυλάξασιν, ἵνα μή τις αὐτὸν ἐλέγξῃ, διὰ τὸ μὴ χρήσασθαι τῇ διαλέκτῳ αὐτῶν. *Schol.* Sed hoc longiùs petitum.

Ibid. —— ἐν μὲν Ἀχαιοὶ, Ἐν δ' Ἐτεόκρητες, &c.] Vide *Diodorum Siculum, Hist. lib.* V. *haud longè à fine*; et *Strabonem, Geograph. lib.* X. *pag.* 728. *al.* 475.

Ibid. —— ἐν μὲν Ἀχαιοὶ.] Μεῖλα τὰ Ἰλιακὰ Ταλθύβιος ἐκ Μυκηνῶν ἤγαγεν ἀποικίαν. *Schol.*

Ver. 176. —— Ἐτεόκρητες.] Οἱ αὐτόχθονες Κρῆτες· ἢ οἱ Ἰθαγενεῖς. *Schol.*

Ibid. —— ἐν δὲ Κύδωνες.] *Strabo*, loco suprà citato, et hos *Cretæ* indigenas fuisse arbitratur: Τοὺς μὲν ὧν Ἐτεοκρήτας καὶ τοὺς Κυδώνας αὐτόχθονας ὑπάρξαι εἰκὸς· τοὺς δὲ λοιπὸς, ἐπήλυδας.

Ver. 177. Δωριέες τε τριχάϊκες.] Τριχῇ διαιρεθέντες· οἱ μὲν γὰρ Εὔβοιαν κατῴκισαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην. *Schol.* Alii autem, (uti et notat *Scholiastes*), vocem τριχάϊκες alitèr accipiunt. Κορυθαίολος, ὁ συνεχῶς κινῶν τὴν κόρυθα· ὁ μετατιθεὶς, ἐπὶ τοῦ Ἄρεος, ἔφη, [*Iliad.* χ'. 132.] "Ἴσος Ἐνυαλίῳ κορυθαΐκι." —— Ἐκ δὲ τοῦ "κορυθάϊκι," λύσας τὸ, "Δωριέες τε τριχάϊκες·" οἱ συνεχῶς τὰς τρίχας διὰ τὸ δραστικὸν κινοῦντες, καρηκομοῦντες ἐφάνησαν. *Porphyr. Quæst. Homeric.* 3. *ipso fine.* Eodem modo exponit *Etymologicon Magnum*; locum autem deinceps ex *Hesiodo* affert, ubi altero sensu usurpatur hæc vox: Ἡσίοδος δὲ, διὰ τὸ τριχῇ αὐτοὺς οἰκῆσαι· οἷον, "—— πάντες δὲ τριχάϊκες καλέονται, Οὔνεκα "τρισσὴν γαῖαν ἐκὰς πάτρης ἐδάσαντο." Τρία γὰρ Ἑλληνικὰ ἔθνη τῇ Κρήτῃ ἐπῴκησαν, Πελασγοὶ, Ἀχαιοὶ, Δωριεῖς, *Etymolog. Magn.* ad vocem Τριχάϊκες. Vide et *Strabonem, Geograph. lib.* X. *pag.* 729. *al.* 475.

Ibid. —— δῖοί τε Πελασγοὶ.] Vide *Strabonem, lib.* V. *pag.* 337. 338. *al.* 220. 221.

Ver. 178. Τοῖσι.] *Al.* Τῆσι.

Ibid. —— ἔνθα τε Μίνως Ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής.] Μυθολογεῖται τὸν Εὐρώπης καὶ Διὸς [Ita ex MS. *Barnesius*, pro vulgato τοῦ Διὸς] Μίνωα ἐν Κρήτῃ οἰκοῦντα διὰ ἐνιαυτίας ἀφικνεῖσθαι πρὸς τὸν πατέρα παιδευθησόμενον· καὶ ὡς παρὰ σοφιστὴ μανθάνειν τὰ δέοντα, ἃ μὴ ἀλλὰ καὶ τοῦ χρόνου τὰς ἀποδείξεις διδόναι, ἂν μεμαθήκοι ἐν τῇ πρόσθεν ἐνιαυτηρίδι παρὰ τοῦ Διός· ὅθεν καὶ τῶν πάντων αὐτῶν βασιλέα καταστῆσαι· τῇ τε γνώμῃ καὶ τῇ κρίσει διενεγκεῖν, ὥστε ἐν ᾅδου δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν. Ἡ δὲ ἱστορία παρὰ Πλάτωνι. *Schol.* Vide *Platonem in Minoe*; et *Strabonem, lib.* X. *pag.* 730. *al.* 476. *lib.* XVI. *pag.* 1105. *al.* 762.

Εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
Euripid. Hippolyt. ver. 98.

ubi *Scholiastes* hunc *Homeri* locum adducit.

Ver. 179. Ἐννέωρος.] Οἱ μὲν, ὅτι διὰ ἐννέα ἐτῶν τῷ πατρὶ συνῆν Διΐ, παρ' αὐτῷ ἐμάνθανεν, ἥτινα δὴ δίκαια· οἱ δὲ, ὅτι ἐνιαυτὴς ὢν, βασιλεύειν ἤρξατο· οἱ δὲ, ὅτι ἐπ' ἐννέα ἔτη ἐβασίλευσεν, ὁμιλητὴς γενόμενος τοῦ Διός· οἱ δὲ, ὅτι ἐπ' ἐννέα ἔτη παρὰ τῷ πατρὶ ἐπαιδεύθη· φασὶ δὲ ἕτεροι, ὡς ταῖς τῶν βασιλέων γνώμαις ἐ ράδιως πείθοντα οἱ ὑποτεταγμένοι· ἀνιόντα ἐν αὐτὸν ἐς τὴν Ἴδην διὰ ἐνιαυτίας συνθεῖναι νόμους, καὶ φέροντα διαζεβεῦσθαι ὡς ὑπὸ τοῦ Διὸς εἶεν διδομένοι. *Schol. Plato* autem, loco jam suprà citato, vocem Ἐννέωρος exponit δι' ἐνάτου ἔτους, *nono quoque anno.* Quam et veram omninò explicationem contendit *Casaubonus* in annotationibus ad *Strabonem, lib.* X. *pag.* 730. *al.* 476. " Atque hoc (inquit) est " quod alii tradunt Minöem nono quoque " anno solitum leges emendare et ἐπανορθοῦν." Vide et *Davisii* annotationes ad *Ciceronis Tusculana, lib.* II. § 13.

Ibid. —— Διὸς μεγάλου ὀαριστής.] Ἔστιν οὖν τοῦτο Ὁμήρου ἐγκώμιον εἰς Μίνω διὰ βραχέων εἰρημένον, οἷον ἐδ' εἰς ἵνα τῶν ἡρώων ἐποίησεν Ὅμηρος. —— Τὸ γὰρ, Διὸς ὄντα παῖδα, μόνον ὑπὸ Διὸς πεπαιδεύσθαι, οὐκ ἔχει ὑπερβολὴν ἐπαίνου. *Plato in Minöe.* Οὐδὲν γὰρ ἧττον τῷ βασιλεῖ προσῆκον ὡς τὸ τῆς δίκης ἔργον. —— Καὶ τοὺς βασιλεῖς Ὅμηρος φησὶν, ἐκ ἰλικόλεις, ἐδὲ ναῦς χαλκήρεις, ἀλλὰ θέμιστας παρὰ τοῦ Διὸς λαμβάνοντας, ῥύεσθαι καὶ φυλάσσειν. Καὶ τοῦ Διὸς, ἐ τὸν πολεμικώτατον, ἐδὲ τὸν ἀδικώτατον καὶ φοινικώτατον τῶν βασιλέων, ἀλλὰ τὸν δικαιότατον, ὀαριστὴν καὶ μαθητὴν προσηγόρευκεν. *Plutarch, in Demetrio.*

Ibid. —— ὀαριστὴς.] Ὁμιλητὴς. *Schol.* Συν-

Digitized by Google

Πατρὸς ἐμοῖο πατὴρ, μεγαθύμου Δευκαλίωνος. 180
Δευκαλίων δέ μ' ἔτικτε, καὶ Ἰδομενῆα ἄνακτα·
Ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
Ὤχεθ' ἅμ' Ἀτρείδῃσιν· ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
Ὀπλότερος γενεῇ· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
Ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα· 185
Καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἷς ἀνέμοιο,
Ἱέμενον Τροίηνδε, παραπλάγξασα Μαλειῶν·
Στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
Ἐν λιμέσιν χαλεποῖσι· μόλις δ' ὑπάλυξεν ἀέλλας.
Αὐτίκα δ' Ἰδομενῆα μετάλλα, ἄστυδ' ἀνελθών· 190
Ξεῖνον γάρ μιν ἔφασκε φίλον τ' ἔμεν, αἰδοῖόν τε.
Τῷ δ' ἤδη δεκάτῃ ἢ ἑνδεκάτῃ πέλεν ἠὼς
Οἴχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
Τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
Ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων· 195
Καί οἱ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
Δημόθεν ἄλφιτα δῶκα, καὶ αἴθοπα οἶνον ἀγείρας,

" Patris mei pater, magnanimi Deucalionis. 180
" Deucalion nempè me genuit, et Idomeneum regem:
" Sed ille quidem in navibus rostratis ad Ilium
" Abiit unà cum Atridis; mihi verò nomen inclytum Æthon,
" Junior natu; ille etenim prior et melior.
" Illic Ulyssem ego vidi, et hospitalia dedi: 185
" Etenim eum ad Cretam deduxit vis venti,
" Euntem ad Trojam, ubi abegisset à Maleis:
" Statuit autem in Amniso, ubi scilicèt specus Lucinæ,
" In portibus difficilibus: vix autem evasit procellas.
" Statim verò Idomeneum quærebat, ad urbem profectus; 190
" Hospitem enim ipsum dicebat dilectumque esse, reverendumque.
" Ei autem jam decima vel undecima erat Aurora
" Digresso cum navibus rostratis Ilium versus.
" Illum quidem ego ad ædes ducens benè hospitio-excepi,
" Accuratè tractans, multis in domo suppetentibus; 195
" Et ei, cæterisque sociis, qui unà ipsum comitabantur,
" De-publico farinas dedi, et generosum vinum collectum,

ωσιας ἐν τῷ Διὸς εἶναι τὸν Μίνω [σημαίνει]. Οἱ γὰρ ὅαρεσι, λόγοι εἰσὶ· ᾗ ὁαριστὴς, συνουσιαστὴς ἐστὶν ἐν λόγοις. *Plato, loco suprà citato.*

Ver. 188. —— Ἀμνισῷ.] Ἀμνισὸς, πόλις καὶ ποταμὸς Κρήτης. *Schol. Al.* Ἀμνισσῷ.

Ibid. —— ὅθι τε σπέος Εἰλειθυίης.] Μίνω δὲ φασὶν ἐπινεύσῃ χρήσασθαι τῷ Ἀμνισῷ, ὅπου τὸ τῆς Εἰλειθυίας ἱερὸν. *Strabo, lib.* X. *pag.* 730. *al.* 476.

Ibid. —— Εἰλειθυίης.] Τῆς ἀφωρισμένης ἑαῖς τικτούσαις θεᾶς. *Schol.*

Ver. 190. —— μετάλλα.] *Al.* μετάλλαιν.

Ver. 191. —— γάρ μιν.] *Al.* γάρ οἱ.

Ver. 192. —— δεκάτῃ ἢ ἑνδεκάτῃ.] Φιλοδόμοι, ἐπὰν λέγωσι τὶ μὴ εἰδέναι ἀληθῶς, πιθανώτεροι δοκοῦσι εἶναι. *Schol.*

Ver. 195. —— φιλέων.] Vide ad *Il. α.* 338. et *υ.* 304.

Ver. 197. Δημόθεν ἄλφιτα δῶκα.] Τὸ δὲ Δημόθεν δοῦναι ἄλφιτα καὶ οἶνον, καὶ ἐξῆς, δηλοῖ ἔθος εἶναι ξενίζειν δημοσίᾳ τοὺς ἀξίους. Οὕτω δ' Ἀλκίνοος, [suprà *ν.* 13. 14.] ᾗ οἱ σὺν αὐτῷ ἄριστοι, ἀνδρακὰς δόντες δῶρα τῷ Ὀδυσσεῖ, ἔστερον ἀγειρόμενοι κατὰ δῆμον, ἐποίησαν τὸ χρέον τὰ ἐκεῖ. *Eustath.*

Ibid. —— ἀγείρας.] *Al.* ἀείρας.

Digitized by Google

Καὶ βοῦς ἱερύσασθαι· ἵνα πλησαίατο θυμόν.
Ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
(Εἴλει γὰρ Βορέης ἄνεμος μέγας, οὐδ' ἐπὶ γαίῃ 200
Εἴα ἵστασθαι· χαλεπὸς δέ τις ὤρορε δαίμων·)
Τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος πέσε· τοὶ δ' ἀνάγοντο.
Ἴσκεν, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
Τῆς δ' ἄρ' ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς·
Ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν, 205
Ἣν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ·
Τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·

" Et boves ad-mactandum, ut explerent-sibi animum.
" Illic duodecim quidem manebant dies nobiles Achivi;
" (Coërcebat enim *eos* Boreas ventus magnus, neque in terrâ 200
" Sinebat stare; infestus verò aliquis excitavit deus:)
" Tertiodecimo autem ventus cecidit: illi verò avehebantur."
Ita fingebat, mendacia multa dicens veris similia:
Illi autem audienti fluebant lachrymæ, liquefiebatque cutis:
Sicut autem nix liquefit in summis montibus, 205
Quam scilicèt Eurus liquefecit, postquam Zephyrus diffuderit;
Liquescente autem eâ fluvii implentur fluentes:

Ver. 200. Εἴλει γὰρ Βορέης.] Versiones plerasque reddunt, " *Flabat enim Boreas.*" Sed minùs rectè: Ut liquor ex aliis locis ubi vox Εἰλέω occurrit. Vide *Iliad.* β'. 294. δ'. 215. *Odyss.* μ'. 210. χ'. 460.

Ver. 201. —— ὤρορε.] Vox ὤρορε hoc in loco non est à Perfecto ὤρορα, sed ab Aoristo ὤρορον. Alioqui non constaret Temporum ratio. Vide ad *Il.* ά. 37.

Ver. 203. Ἴσκεν, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.]

Ἴσμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα.
Hesiod. Theogon. ver. 27.

Obscuris vera involvens ————.
Æn. VI. 100.

Facit illud verisimile quod mendacium est.
Plaut. Pseudol. Scen. IV. *ver.* 10.

Καὶ γὰρ ἡ ποιητικὴ χάριν ἔσχε καὶ τιμὴν τοῖς πεπραγμένοις ἐοικότα λέγειν· ὡς Ὅμηρος ἔφη, "Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα." *Plutarch. de Gloriâ Atheniensium.* Porrò *Strabo* hoc ad *Homeri* Poësin in universum transfert: Οὕτω δὴ (inquit) τὸν τε Ἰλιακὸν πόλεμον γιγνόμενα παραλαβὼν ἐκόσμησε ταῖς μυθοποιίαις, καὶ τὴν Ὀδυσσέως πλάνην ὡσαύτως. Καὶ μηδενὸς δὲ ἀληθοῦς ἀγάπτειν καινὴν τερατολογίαν, ἐκ Ὁμηρικῶν. Προσπίπτει γὰρ, ὡς εἰκὸς, ὡς πιθανώτερον, ἂν ᾖ τῷ τὴς ψευδοῖτο, εἰ καταμίξειε τι καὶ αὐτῶν, τῶν ἀληθινῶν· ὅπερ καὶ Πολύβιος φησὶ περὶ τῆς Ὀδυσσέως πλάνης ἐπιχειρῶν. Ταῦτά δ' ἐστὶ καὶ τὸ, "Ἴσκε, ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα" ὅτι γὰρ πάντα ἄλλα πολλὰ εἶπε· δὸ' ἂν ἦν ἐτύμοισιν ὁμοῖα. *Geograph. lib.* I. *pag.* 37. 38. *al.* 20. Διδίδαχε δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν ὡς δεῖ. *Aristot. de Poëtic. cap.* 24.

Ibid. Ἴσκεν.] Οἱ μὲν γλωσσογράφοι ἀντὶ τοῦ "ἔλεγεν" ἐκδέχονται· οἱ δὲ ἀκριβέστεροι ἀντὶ τοῦ "ἤϊσκεν" ὃ ἐστὶν εἰκάζειν, ἀπεικονίζειν πρὸς ἀλήθειαν. *Eustath.* Posteriori sensu occurrit hæc vox *Iliad.* λ'. 798. π'. 41. *Odyss.* δ'. 279. Alteri autem sensui favere videtur χ'. 31. infrà;

Ἴσκεν ἕκαστος ἀνὴρ ————.

Vide *Apollon. Argonaut. lib.* II. 240. III. 396. item *lib.* I. 834. ubi *Scholiastes*; Τὸ δὲ "ἴσκεν" ἐστάθη μὲν ἀντὶ τοῦ "ἔλεγε." παρὰ δὲ Ὁμήρῳ, ἀντὶ τοῦ "ὁμοίου."

Ver. 204. 205. 207. 208. —— τήκετο δὲ —— Ὡς δὲ χιὼν κατατήκετ' —— Τηκομένης δ' ἄρα —— Ὡς τῆς τήκετο.] De hujusmodi vocis unius repetitione, *Hermogenes*; Ταυτότητι ὀνομάτων χρησόμεθα, —— ὅταν τοῦ πράγματος ἓν ὄνομα ἢ τὸ ἐναργέστατον· τότε γὰρ ἐ δεῖ χορηγίαν ζητεῖν τὴν ἀφανίζουσαν τὴν ἐνάργειαν τοῦ πράγματος· ἐὰν δὲ τὴς παραλάβῃ, ἐπίδειξιν μὲν ἄκαιρον ἐποίησατο, τὴν χρείαν δὲ ἀπολώλεκε τῆς συγγραφῆς. Ὅμηρος, "Ὡς δὲ "χιὼν κατατήκετ' Ὅς." Οὔτε τὸ λέγεται, ὅτε τὸ χέεται, ὅτε τὸ λύεται, ὅτως ἁρμόζει, ὡς τὸ "τήκεται." Ὄψις γὰρ ἐστὶ χιόνος ἀναλισκομένης ἢ τηκεδών. *Hermog.* περὶ μεθόδου δεινότητος, *cap.* 4. Quandò è contrario multiplici et compositâ verborum copiâ utendum sit, vide ad *Il.* λ'. 279.

Ver. 206. —— καταχεύῃ.] *Al.* καταχεύῃ.

Digitized by Google

Ὡς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
Κλαιούσης ἑὸν ἄνδρα παρήμενον· αὐτὰρ Ὀδυσσεὺς
Θυμῷ μὲν γοόωσαν ἐὴν ἐλέαιρε γυναῖκα, 210
Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἔστασαν, ἠὲ σίδηρος,
Ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.
Ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπεν·
Νῦν μὲν δή σευ, ξεῖνέ γ', οἴω πειρήσεσθαι, 215
Εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισιν
Ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
Εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῖ εἵματα ἕστο,
Αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 220
Ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα

Sic ejus liquefiebant pulchræ genæ lachrymas fundentis,
Flentis suum virum assidentem: at Ulysses
Animo quidem lugentem suam miserabatur uxorem, 210
Oculi autem tanquam cornua stabant, aut ferrum,
Immoti in palpebris; dolo nempè ille lachrymas occultabat.
Illa verò postquam satiata est lachrymoso luctu,
Iterùm ipsum verbis respondens allocuta est;
" Nunc quidem demùm te, hospes, puto *me* experturam, 215
" An verè profectò illic cum eximiis sociis
" Hospitio-exceperis in ædibus meum maritum, sicut dicis.
" Dic mihi, qualia quædam circa corpus vestimenta indutus erat,
" Ipseque qualis erat; et socios; qui eum comitabantur."
Hanc autem respondens allocutus est solers Ulysses; 220
" O mulier, difficile tanto tempore seorsùm cùm-abfuerim

Ver. 208. Ὡς τῆς τήκετο.]

Liquitur, et quondam Zephyris et solibus ictæ
Solvuntur teneræ, vere tepente, nives.
Consolat. ad Liv. August. (Ovidio vulgò ascript.) *ver.* 101.

Farinas hordeaceas conficientes et triticeas, medullam virorum.
Cæteræ quidem dormiebant, postquam triticum moluerant;
Una verò nondum cessabat; debilissima autem erat: 110
Quæ sanè molam ubi stitisset, verbum dixit, signum regi;
" Jupiter pater, qui utique diis et hominibus imperas,
" Certè valdè tonuisti à cœlo stellato,
" Neque usquam nubes est; portentum utique alicui hoc ostendis:
" Perfice nunc et mihi miseræ verbum, quod dicam: 115
" Proci postremùmque et ultimùm die hoc
" In ædibus Ulyssis capiant convivium desiderabile;
" Qui jam mihi labore tristi genua solverunt,
" Farinas conficienti; nunc ultimò cœnent."
Sic utique dixit: gaudebat autem omine nobilis Ulysses, 120
Jovisque tonitru: putabat enim *se* ulturum sontes.
Cæteræ verò famulæ in ædibus pulchris Ulyssis
Congregatæ accendebant in foco indefessum ignem.

Ver. 108. —— ἀλείατα.] Ἄλεπε, τὸ ἀπὸ τριῶν ἄλευρον· καθάπερ ἄλφιτον, τὸ ἀπὸ κριθῆς. *Eustath.* *Al.* ἀλέφατα.

Ver. 112. Ζεῦ πάτερ, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις.]

O pater, ô hominum Divûmque æterna potestas. *Æn.* X. 18.

Ver. 113. —— βρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος, Οὐδὲ ποθι νέφος ἐστί.]

—— cœlo ceciderunt plura *sereno*
Fulgura ——. *Virgil. Georgic.* I. 487.

—— namque Diespiter
Igni corusco nubila dividens,
Plerumque *per purum* tonantes
Egit equos, volucremque currum.
Horat. Carm. Lib. I. *Od.* xxiv. 5.

Fulgura fallaci micuerunt crebra *sereno*.
Lucan. Pharsal. I. 580.

Vide suprà ad *ver.* 102.

Ibid. —— οὐρανοῦ ἀστερόεντος.]

—— stellantis regia cœli. *Æn*, VII. 210.
—— cœlum stellis fulgentibus aptum.
Æn, XI. 202.

Ver. 119. —— δειπνήσειαν.] Vide suprà ad δ'. 535.

Ver. 121. —— τίσασθαι.] Similitèr infrà *ver.* 169. τισαίατο· Vide ad *Il.* δ'. 257. *i.* 508. Item ad γ'. 28.

Ver. 122. —— ἀκάματον πῦρ.]

—— flammæ atque incendia vires
Indomitas ——. *Æn.* V. 680.

Digitized by Google

Τηλέμαχος δ' εὐνῆθεν ἀνίστατο ἰσόθεος φώς,
Εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ· 125
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀπαχμένον ὀξέϊ χαλκῷ.
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, πρὸς δ' Εὐρύκλειαν ἔειπεν·
Μαῖα φίλη, πῶς ξεῖνον ἐτιμήσασθ' ἐνὶ οἴκῳ
Εὐνῇ καὶ σίτῳ; ἢ αὔτως κεῖται ἀκηδής; 130
Τοιαύτη γὰρ ἐμοὶ μήτηρ, πινυτὴ περ ἐοῦσα,
Ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
Χείρονα, τὸν δέ τ' ἀρείονα ἀτιμήσασ' ἀπεπέμπει.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
Οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόῳο. 135
Οἶνον μὲν γὰρ πῖνε καθήμενος, ὄφρ' ἔθελ' αὐτός·
Σίτου δ' οὐκέτ' ἔφη πεινήμεναι· εἴρετο γάρ μιν.
Ἀλλ' ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
Ἡ μὲν δέμνι' ἄνωγεν ὑποστορέσαι δμωῇσιν·
Αὐτὰρ ὅγ', ὥς τις πάμπαν ὀιζυρὸς καὶ ἄποτμος, 140
Οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
Ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν

Telemachus autem è lecto surrexit deo-par vir,
Vestes indutus: circumque ensem acutum posuit humero; 125
Pedibusque sub nitidis ligavit pulchros calceos;
Sumpsitque validam hastam, præfixam acuto ære.
Stetit autem super limen profectus, et Eurycleam allocutus est;
" Nutrix dilecta, quomodo hospitem honorâstis in domo
" Lecto et cibo; an temerè jacet neglectus? 130
" Talis enim mihi mater, prudens licèt sit,
" Temerè alterum honorat articulatè-loquentium hominum
" Deteriorem; meliorem verò inhonoratum dimittit."
Hunc autem rursùs allocuta est prudens Euryclea;
" Nè illum nunc, fili, insontem accuses. 135
" Nam vinum quidem bibebat *is* sedens, quamdiù volebat ipse:
" Cibum autem non ampliùs dixit *se* appetere; interrogabat enim ipsum.
" Sed quandò demùm cubitûs et somni meminit,
" Illa quidem cubilia jussit substernere ancillas:
" At is tanquam aliquis omninò ærumnosus et infortunatus, 140
" Noluit in lectis et in stragulis dormire,
" Sed in crudâ bubulâ-*pelle*, et pellibus ovium

Ver. 124. —— εὐνῆθεν ἀνίστατο ὅτ.] Consurgit senior, tunicâque inducitur artus: [plantis:
Et Tyrrhena pedum circumdat vincula
Tum lateri atque humeris Tegeæum sublligat ensem. Æn. VIII. 457.

Ibid. — ἰσόθεος φώς.] Sic apud *Ovidium*;
Æquandi superis —— viri.
Et Pont. lib. I. *Epist.* ii. *ver.* 120.

Ver. 125. —— ὤμῳ.] *Al.* ὤμῳ, et ὤμοις.

Ver. 129. —— πῶς ξεῖνον.] *Al.* τὸν ξεῖνον.

Ver. 131. —— ἐμοὶ.] *Al.* ἐμὴ.

Ver. 132. Ἐμπλήγδην.] Ἐκπληκτικῶς· ἢ ἀκρίτως, καὶ ὡς ἐν τύχῃ, ἐμφαλόζωστα τοῖς πράγμασι. *Schol.* Καὶ ἄλλως δὲ, ἐμπλήγδην, τὸ δίκην ἐμπλήκτου τινὸς· ἔμπληκτος δὲ, ὁ ἄστατος, καὶ οἱονεὶ ἴσω πεπληγμένος, καὶ ἀστατοῦν φύσιν φρενῶν. *Eustath.*

Τοιοῖδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν.
Sophocl. Ajax, ver. 1376.

Digitized by Google

Ἔδραθεν ἐν προδόμῳ· χλαῖναν δ' ἐπιέσσαμεν ἡμεῖς.
Ὡς φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροιο βεβήκει,
Ἔγχος ἔχων· ἅμα τῷ γε κύνες πόδας ἀργοὶ ἕποντο. 145
Βῆ δ' ἴμεν εἰς ἀγορὴν μετ' ἐϋκνήμιδας Ἀχαιούς·
Ἡ δ' αὖτε δμωῇσιν ἐκέκλετο δῖα γυναικῶν
Εὐρύκλει', Ὤπος θυγάτηρ Πεισηνορίδαο·
Ἀγρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,
Ῥάσσατέ τ'· ἐν δὲ θρόνοισ' εὐποιήτοισι τάπητας 150
Βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
Πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας,
Καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ' ὕδωρ
Ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι·

" Dormivit in vestibulo; lænam verò injecimus nos."
Sic dixit: Telemachus autem ex domo egressus est,
Hastam habens: unàque eum canes pedibus veloces sequebantur. 145
Perrexit verò ire in concionem ad benè-ocreatos Achivos:
Ancillas autem demùm hortabatur nobilissima mulierem
Euryclea, Opis filia Pisenoridæ;
" Agite, aliæ quidem domum verrite festinantes,
" Aspergiteque; et in sedilibus fabrefactis tapetes 150
" Injicite purpureos: aliæ verò spongiis mensas
" Omnes abstergite: purgate autem crateras,
" Et pocula rotunda fabrefacta: aliæ verò petituræ aquam
" Ite ad-fontem, et afferte citò euntes:

Ver. 148. Ἔδραθεν ἐν.] *Al.* Ἔδραθ' ἐν.

Ver. 149. Ἀγρεῖθ'.] *Scholiastes* interpretatur Συναθροίζεσθε. *Eustathius* alitèr, Τὸ δὲ Ἀγρεῖτε (inquit) —— ταυτὸν τῷ, σπουδαίως ἄγετε· καὶ ὡς ἀστεῖν, ἄγετε ῥᾷον. Διὸ καθάπερ Ἄγε, καὶ Ἄγετε· παρακελευσματικῶς, οὕτω νῦν μὲν Ἀγρεῖτε· ἐν δὲ Ἰλιάδι ἐνικῶς [*Iliad.* ε'. 765.] " Ἄγρει μὲν οἱ ἔπορσον Ἀθηναίην " Atque hoc quidem in sensu sæpè apud Poëtam usurpatur Ἄγρει numero *singulari*: vide *Iliad.* η'. 459. λ'. 512. ξ'. 271. *Odyss.* φ'. 176. In *plurali* autem hoc tantùm in loco occurrit.

Ibid. —— δῶμα κορήσατε ποιπνύσασαι Ῥάσσατε τ'· &c.] Similitèr *Anaxandrides* Poëta, apud *Athenæum*;

Ἀλλὰ ξενῶνας οἴγε, καὶ ῥᾶνον δόμους,
Στρώννυ τε κοίτας, καὶ πυρὸς φλίζον μύγας,
Κρατῆρα τ' αἶρε, καὶ τὸν ἥδιστον κίρα.
Athen. lib. II. *cap.* 9. *ipso initio.*

Ver. 150. Ῥάσσατε.] Ῥάπατε. *Schol.* Θέμα δὲ τοῦ Ῥάσσατε, Ῥάζω· ἐξ ἓν ἐν τοῖς ἑξῆς, [*ver.* 354. *hujus libri*,] " τοῖχοι ἐρράδαται·" ὁμοίως τῷ, ὠνεμάδαται, καὶ τοῖς τοιούτοις. *Eustath.* Quod reprehendens *Barnesius*, ex Ῥαίνω, ῥάσσατε omninò deductum contendit. " A ῥαίνω," inquit, " Fut. ῥανῶ, *Æoliâ* ῥάσω, duplicatione *Ionicâ* ῥάσσω." Atqui observavit *Heraclides* apud *Eustathium*, in commentario ad *ver.* 354. *hujus libri*, ἐρράδαται à ῥαίνω deduci non posse. Λέγει δ' ἐκεῖνος (inquit *Eustathius*) καὶ ὡς ἐκ τοῦ ἐστὶν ἀπὸ τοῦ Ῥαίνω γενέσθαι τὸ ἐρράδαται· ἦν γὰρ ἄν, φησὶν, ἐρράναται τοῖχοι. Vide ad *Il.* β'. 314.

Ver. 152. —— ἀμφιμάσασθε.] Vide ad *Il.* ρ'. 564.

Ver. 153. —— δίσα ἀμφικύπελλα.] Vide ad *Il.* ά. 584. MS. à *Tho. Bentleio* collatus, δίπα'.

Ibid. —— τετυγμένα.] Vide ad *Il.* ζ'. 188.

Ver. 154. —οἴσετε.] Τὸ δὲ " οἴσετε," ποιητικῶς κανονίζεται, ὡς παρατατικὸς ἀπὸ μέλλοντος ἀναδραμόντος ἀς ἐνεστῶτα. Οἴσω γὰρ, ὁ παρατατικὸς, οἴσον, τὸ τρίτον, οἴσε· τὸ παρατατικὸν ὁμοφώνως, οἴσε· ὁ πληθυντικὸν τὸ, οἴσετε. *Eustath.* Atque analogiâ quidem haud dissimili sæpè usurpare videtur Poëta verba δύσομαι, βήσομαι, βήσετο, &c. Vide autem ad *Il.* ά. 109. Occurrit eadem vox *Iliad.* γ'. 103. ά. 718. et apud *Theocritum*, *Idyll.* XXIV. 48. Porrò fuerunt, teste *Barnesio*, qui δίσετε ubique legendum statuerint. Sed nullo profectu. Nam, uti ipse annotat, occurrit apud *Homerum* οἴσε in *Imperativo*, numero *singulari*; ubi isti emendationi locus nullus est;

Digitized by Google

Οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο, 155
Ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή.
Ὡς ἔφαθ'· αἱ δ' ἄρα τῆς μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον·
Αἱ δ' αὐτοῦ κατὰ δώματ' ἐπισταμένως πονέοντο.
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες· οἱ μὲν ἔπειτα 160
Εὖ καὶ ἐπισταμένως κέασαν ξύλα· αἱ δὲ γυναῖκες
Ἦλθον ἀπὸ κρήνης· ἐπὶ δέ σφισιν ἦλθε συβώτης,
Τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι·
Καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι,
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισι· 165
Ξεῖν', ἦ ἄρτι σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,

" Non enim diù proci abérunt à domo; 155
" Sed valdè manè venient; quoniam et omnibus festus-dies."
Sic dixit: illæ autem ei omninò quidem auscultârunt et paruerunt.
Viginti quidem iverunt ad fontem nigrum-aquis,
Aliæ verò illic in ædibus scitè operabantur.
Ingressi autem sunt proci eximii: hi quidem deindè 160
Benè et scitè findebant ligna; mulieres verò
Venerunt à fonte: illis verò supervenit subulcus,
Tres porcos adducens, qui erant inter omnes optimi:
Et hos quidem sivit per septa pulchra pasci;
Ipse verò demùm Ulyssem allocutus est blandis *verbis*; 165
" Hospes, an jam te magìs Achivi respiciunt,

Οἷσι θέμις, &c. ———. *Odyss.* χ'. 106.
Οἷσι θέμιστ, γερῦ, πάντων ἄπορ· οἷσι δέ μοι σῦς. *Ibid.* 481.

Et apud *Callimachum*;

——— φέρε τάχυν· οἷσι θεμισμὸν. *Hymn. in Cererem*, *ver.* 137.

Ver. 155. Οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται.] Ita edidit *Barnesius* ex *Eustathio*, qui et in contextu et in commentario hoc modo legit. Ita porrò habet MS. à *Tho. Bentleio* collatus. Et simili ferè loquendi ratione utitur Poëta suprà σ'. 301. 302.

——— οὐδ' ἔτι σῆλε φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπεσσεῦται ———.

Vulgati hîc legunt, Οὐ γὰρ δὴ μνηστῆρες ἀπέσσονται. Ad sententiam minùs rectè.

Ver. 156. ——— ἐπεὶ καὶ πᾶσιν ἑορτή.] Ταύτην τὴν ἡμέραν ἑορτὴν καὶ νεμηνίαν παραπίθεται Ἀπόλλωνος ἱερὸν· ἵνα τῶν ἀνδρῶν περὶ τὴν ἑορτὴν καταγινομένων, εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. *Schol.* Ita infrà φ'. 258.

Νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
Ἁγνὴ ———.

Et *ver.* 276. *hujus libri*;

Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
Ἤγον· τοὶ δ' ἀγίροντο παρηκομόωντες Ἀχαιοὶ
Ἄλσος ὑπὸ σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.

Ver. 159. ——— κατὰ δώματ'.] Ita edidit *Barnesius* ex *Eustathii* commentario. Quæ et probabilior videtur lectio. Vide *Odyss.* ε'. 492. 531. σ'. 416. ύ, 298. 331. *Vulgg.* κατὰ δῶμα.

Ver. 160. Ἐς δ' ἦλθον.] MS. à *Tho. Bentleio* collatus, Ἐκ δ' ἦλθον.

Ibid. ——— μνηστῆρες ἀγήνορες.] Vir eruditus *Tho. Bentleius* in uno MS. reperit δεκτῆρες ἀγήνορες, in altero, δεκτῆρες Ἀχαιοὶ quæ et potior videtur lectio; tum quia sequens, κέασαν ξύλα, Servorum quàm Procorum magis proprium videtur opus: tum quia Procorum ingressûs meminit Poëta infrà *ver.* 248.

Ver. 161. ——— αἱ.] *Al.* καὶ.

Ver. 163. ——— οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.] Ita edidit *Barnesius* ex *ver.* 174. infrà; atque ita legitur in MS. à *Tho. Bentleio* collat. Firmatur porrò hæc lectio ex *Iliad.* ι. 2. ύ. 409. ubi similis phrasis occurrit. Vulgati hîc habent, οἳ ἔσαν ἐν πᾶσιν ἄριστοι.

Ver. 166. ——— ἦ ἄρτι.] *Al.* ἦ ἄρ τι.

Ibid. ——— μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν.] Περισσῶς ἐρῶσιν. *Schol.*

Ibid. ——— Ἀχαιοὶ.] Vide suprà ad ρ'. 513.

Digitized by Google

Ἠέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τοπάρος περ;
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Αἴ γὰρ δὴ, Εὔμαιε, θεοὶ τισαίατο λώβην,
Ἣν οἵδ' ὑβρίζοντες, ἀεικέα μηχανόωνται
Οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος, αἰπόλος αἰγῶν,
Αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
Δεῖπνον μνηστῆρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες·
Καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισι·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα,
Ἀνέρας αἰτίζων; ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
Πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω,
Πρὶν χειρῶν γεύσασθαι· ἐπεὶ σύ περ οὐ κατὰ κόσμον

" An te ignominiâ-afficiunt in ædibus, sicut anteà scilicet!"
Hunc autem respondens allocutus est solers Ulysses;
" Utinam enim jam, Eumæe, dii ulciscerentur contumeliam
" Quâ isti insultantes, indigna machinantur
" Domo in alienâ, neque pudoris portionem habent."
Sic hi quidem talia inter se loquebantur.
Prope autem ipsos venit Melanthius, custos caprarum,
Capras agens, quæ inter omnes excellebant greges,
Cænam procis; duo autem unà comitabantur pastores;
Et has quidem religavit sub porticu sonorâ;
Ipse verò demùm Ulyssem allocutus est convitiis;
" Hospes, adhuc et nunc hîc molestus-eris in domo
" A-viris petens? at non exibis foras?
" Omninò non ampliùs nos diremptum-iri puto,
" Priusquàm manus *invicem* gustaverimus; quia tu scilicèt non decentèr

---

Ver. 170. —— ἀεικέα.] *Al.* ἀτάσθαλα. ut infrà *ver.* 370.

Ver. 171. —— οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν.] *Scholiastes* exponit, Οὐδ' ὀλίγον αἰδοῦνται. Similitèrque reddit Versio *Wetsteniana*; " *Neque pudoris* vel *particulam habent.*" Et *Barnesius*; " *Neque pudoris partem*, i. e. tan-" tillum *habent.*" Attamen vox μοῖρα isto in sensu vix usquam reperietur. Sensus opinor, est simplicitèr; " *Neque pudoris* " *portionem* (qualis nimirùm cæteris homi-" nibus inesse solet) *habent.*"

Ver. 176. Καὶ τὰς μὲν κατέδησεν.] *Eustathius* et *Henricus Stephanus* in exemplaribus nonnullis τὰς μὲν legi testantur. Malè, ut notat *Barnesius*, propter illud quod legitur suprà *ver.* 174. Αἶγας ἄγων. Αἳ πᾶσι μετέπρεπον ——. Nisi et ibi legas, Οἳ πᾶσι μετέπρεπον ——.

Ibid. —— κατέδησεν.] *Barnesius* ex *Eustathio* edidit κατέδησαν· et in annotationibus, " Referendum (inquit) ad δύω νομῆες· ἕποντο, " γὰρ ἅμ' ἕποντο· αὗτος δὲ Μελάνθιος αὖτ' " Ὀδυσῆα &c." Sed præstat vulgata lectio. Ita enim aptè inter se ex adverso respondent ista " τὰς μὲν," et " Αὐτὸς δ':" quo modo et suprà *ver.* 164. et 165.

Καὶ τὸς μὲν ῥ' εἴασε ——.
Αὐτὸς δ' ——.

Firmaturque porrò hæc lectio ex *ver.* 189. 190. infrà, ubi eadem sententia occurrit.

Ver. 178. —— ἀνιήσεις.] Vide ad *Il.* ὁ. 24. Cæterùm deducta (ut opinor) hæc vox non ex ἀνιάζω, (indè enim fieret ἀνιάσεις penultimâ correptâ); sed ex ἀνιάω· undè ἀνιᾶται *Odyss.* ὁ. 334. et ἀνιηθεὶς, ἁ. 133. γ'. 177. et *Iliad.* β'. 291. Vide ad *Il.* ἁ. 67. et 140.

Digitized by Google

Αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν.
Ὣς φάτο· τὸν δ' οὔτι προσέφη πολύμητις Ὀδυσσεὺς,
Ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῖσι δ' ἐπὶ τρίτος ἦλθε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν, 185
Βοῦν στείραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας·
(Πορθμῆες δ' ἄρα τούς γε διήγαγον, οἵτε καὶ ἄλλους
Ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·)
Καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
Αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην, ἄγχι παραστάς· 190
Τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
Ἡμέτερον πρὸς δῶμα; τέων δ' ἐξ εὔχεται εἶναι
Ἀνδρῶν; ποῦ δέ νυ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
Δύσμορος· ἦτε ἔοικε δέμας βασιλῆϊ ἄνακτι.
Ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους, 195
Ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσονται ὀϊζύν.
Ἦ, καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστάς·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Χαῖρε, πάτερ, ὦ ξεῖνε, γένοιτό τοι ἔσπερ ὀπίσσω

" Petis: sunt autem et alia convivia Achivorum."
Sic dixit: hunc autem nihil allocutus est soleis Ulysses,
Sed tacitè movit caput, mala profundè-cogitans.
His autem tertius supervenit Philoetius princeps virorum, 185
Bovem sterilem procis agens, et pingues capras:
(Portitores verò hos trajecerunt, qui utique et alios
Homines deducunt, quicunque ipsis advenerit):
Et hæc quidem benè religavit sub porticu sonorâ:
Ipse autem demùm interrogabat subulcum, propè astans; 190
" Quis jam hic hospes nuper venit, subulce,
" Nostram ad domum? ex quibus verò se profitetur esse
" Viris? ubinam autem ei genus et patria terra?
" Infelix; certè similis-est corpore regi imperatori.
" Sed dii malis-mergent multivagos homines, 195
" Quandò etiam regibus destinabunt ærumnam."
Dixit; et dextrâ complectabatur manu astans;
Et ipsum affatus verba alata dixit;
" Salve, pater, ô hospes, adsit tibi in posterum saltem

Ver. 182. Αἰτίζεις.] *Al.* Αἰτίζοις.
Ibid. —— ἄλλαι.] *Al.* ἄλλοθι. Atque ita in commentario citat *Eustathius*.
Ver. 185. —— ὄρχαμος ἀνδρῶν.] Vide suprà ad ξ'. 3. 22.
Ver 187. Πορθμῆες.] Πορθμεῖς πάντως λεγόμενοι, ὡς διὰ πορθμῶν, ὅ ἐστι τινῶν πόρων θαλάσσης, τοὺς περαιουμένους ἄγοντες. *Eustath.*
Ibid. —— ἄρα.] *Ut soliti erant* ——.
Ver. 188. —— εἰσαφίκηται.] *Al.* εἰσαφίκοιτο.
Ver. 192. —— τέων δ' ἔξ εὔχεται εἶναι.] Ita edidit *Barnesius*. *Vulgg.* ἐξεύχεται.
Ver. 195. —— θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους.]
Ὣς γὰρ ἐπικλώσαιο θεοὶ δειλοῖσι βροτοῖσι
Ζώειν ἀχνυμένους ——. *Iliad.* ω. 525.
Ibid. —— δυόωσι.] Εἰς κάκωσιν μεταβάλλωσιν. *Schol.*
Ver. 196. Ὁππότε καὶ.] *Al.* Ὁππότε περ.
Ibid. —— ἐπικλώσονται.] *Al.* ἐπικλώσωσιν.
Ver. 199. —— πάτερ.] *Barnesius* edidit πατὴρ. Sed nihil opus. Vide ad *Il.* ά. 51.
Ibid. —— ἔσπερ ὀπίσσω.] *Al.* ὥσπερ ὀπίσσω. Vide suprà ad ν'. 121.

Digitized by Google

Ὄλβος· ἀτὰρ μὰν τῶν γε κακοῖς ἔχεαι πολέεσσιν. 200
Ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
Οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτὸς,
Μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
Ἴδιον, ὡς ἐνόησα, δεδάκρυσται δέ μοι ὄσσε
Μνησαμένῳ Ὀδυσῆος· ἐπεὶ κἀκεῖνον ὀΐω 205
Τοιάδε λαίφε' ἔχοντα κατ' ἀνθρώπους ἀλάλησθαι,
Εἴπου ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
Εἰ δ' ἤδη τέθνηκε, καὶ εἰν ἀΐδαο δόμοισιν,
Ὤ, μοι ἔπειτ' Ὀδυσῆος ἀμύμονος, ὅς μ' ἐπὶ βουσὶν
Εἷσ' ἔτι τυτθὸν ἐόντα, Κεφαλλήνων ἐνὶ δήμῳ· 210
Νῦν δ' αἱ μὲν γίνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως

" Felicitas; at nunc quidem malis teneris multis. 200
" Jupiter pater, nullus te deorum perniciosior alius;
" Non parcis viros, postquam jam generâsti ipse,
" Miscere malo et doloribus tristibus.
" Sudavi, ut animadverti; lachrymisque oppleti sunt mihi oculi
" Recordanti Ulyssis; quoniam et illum puto 205
" Tales pannos habentem inter homines vagari;
" Sicubi adhuc vivit, et videt lumen solis.
" Sin jam mortuus est, et in orci ædibus,
" Hei mihi deindè ob Ulyssem eximium; qui me bobus
" Præfecit, adhuc parvulus cùm essem, Cephallenorum in populo! 210
" Nunc autem hæ quidem fiunt innumeræ, neque aliter

Ibid. —— ἴσκε ἐπίσσω Ὄλβος· ἀτὰρ μὰν τῶν γε κακοῖς.]

Flebile principium melior fortuna sequetur. *Ovid. Metam. lib.* VII, *v.* 518.

—— Non, si malè nunc, et olim

Sic erit. — *Horat. Carm. lib.* II. *Od.* x. 17.

Ver. 200. —— ἔχεαι πολέεσσιν.] Ita edidit *Barnesius* ex *ε'*. 122. suprà, ubi idem versus occurrit, et in vulgatis scriptum est πολέεσσιν. Atque ita hîc legit MS. à *Tho. Bentleio* collatus. *Vulgg.* hoc in loco, πολλοῖσιν.

Ver. 202. 203. Οὐκ ἐλεαίρεις ἄνδρας —— Μισγέμεναι κακότητι.] *Barnesius* et Versiones vulgatæ reddunt, " *Non misereris viros* — " *Miseri malo.*" Sed potiùs vertendum censui, " *Non parcis viros* —— *miscere malo.*" Nam vox Μισγέμεναι (ut opinor) activa est, sicut ἀρχέμεναι, ἐλκέμεναι, ἐρέμεναι, τιμέμεναι, &c.

Ver. 202. —— ἐπὴν δὴ γείνεαι αὐτὸς.] Καθ' ὅ, Πατὴρ ἀνδρῶν τε θεῶν τε. *Schol.*

Ver. 204. Ἴδιον, ὡς ἐνόησα.] *Scholiastes* et *Eustathius* vocem Ἴδιον, quæ apud *Homerum* hoc tantùm in loco occurrit, exponunt, Ἴδωσα, ἠσθόμην· ut sit videlicèt *Imperfectum* ex Ἰδίω· Quæ expositio firmatur ex *Aristotele*: Ὥστε ἤδη τινὲς ἴδισαν αἱματώδη θρῶσα. *De historiâ Animalium, lib.* III. *cap.* 19. Et ex *Aristophane*:

Οὐκ ἂν ἐξίδοιεν εἰς θαυμάσιον ——.
Aves, vor. 793.

Dna. *Dacier* verò Ἴδιον hoc in loco ex Adjectivo Ἴδιος esse existimat; sententiamque ita mirè admodùm exponit: " Philetius, " en voyant cet étranger si malheureux, se " plaint de la cruauté de Jupiter qui plonge " les hommes dans des malheurs épou- " vantables; et il se confirme dans ce sen- " timent, en faisant reflexion à ce qui est " arrivé à Ulysse. Ἴδιον ὡς ἐνόησα depend " de ce qui précede, *Et l'exemple domestique* " *que nous en avons, me revient dans l'es-* " *prit.*"

Ver. 207. —— καὶ ἐρᾷ φάος ἠελίοιο.] Mirè hîc *Eustathius*; Τὸ δὲ, " ζώει, καὶ ἐρᾷ φάος," πρὸς ἀπείλημμα καὶ τῶν κείνοις, ὡς πολλῶν ζώντων μὲν, μὴ βλεπόντων δὲ. Ac si locum hîc habere posset istiusmodi distinctio.

Ver. 209. —— ἐπὶ βουσὶν.] *Al.* ἐνὶ βουσὶν.

Ver. 211. —— ἄλλως.] *Al.* ἄλλῳ.

Digitized by Google

Ἀνδρί γ' ὑποσταχύωτο βοῶν γένος εὐρυμετώπων·
Τὰς δ' ἄλλοι με κέλονται ἀγινέμεναι σφίσιν αὐτοῖς
Ἔδμεναι· οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
Οὐδ' ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη 215
Κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
Αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
Πόλλ' ἐπιδινεῖται· μάλα μὲν κακὸν, υἷος ἐόντος,
Ἄλλων δῆμον ἱκέσθαι, ἰόντ' αὐτῆσι βόεσσιν,
Ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα 220
Βουσὶν ἐπ' ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
Καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
Ἐξικόμην φεύγων· (ἐπεὶ οὐκέτ' ἀνεκτὰ πέλονται)·
Ἀλλ' ἔτι τὸν δύστηνον ὀΐομαι, εἴποθεν ἐλθὼν
Ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη. 225
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Βουκόλ', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας,
Γινώσκω δὲ καὶ αὐτὸς, ὅ τοι πινυτὴ φρένας ἵκει,
Τοὔνεκά τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·

" Viro utique succresceret boüm genus latis-frontibus:
" Has autem alii me jubent ducere sibi ipsis
" Ad-edendum; neque omninò filium in ædibus curant,
" Neque vindictam timent deorum; cupiunt enim jamdudùm 215
" Possessiones dividere diù absentis regis.
" At mihi hoc animus in pectoribus charis
" Plerumque volvit: valdè quidem malum, filio existente,
" Aliorum populum adire, euntem cum ipsis bobus,
" Viros ad alienos; hoc verò durius, hic manentem 20
" Bobus alienis assidentem dolores pati.
" Et jam olim ad alium magnanimorum regum
" Exivissem fugiens, (quoniam non ampliùs tolerabilia sunt);
" Sed adhuc illum infelicem expecto; sicundè reversus
" Virorum procorum dispersionem per ædes faciat." 225
Hunc autem respondens allocutus est solers Ulysses;
" Bubulce, quandoquidem neque malo neque insipienti viro similis-es,
" Cognosco autem et ipse, quòd tibi prudentia mentem occupat,
" Ideò tibi dicam, et insuper magnum jusjurandum jurabo:

Ver. 212. ——— ὑποσταχύοιο.] *Al.* ὑποσταχύοιτο, et ὑποσταχύωτο.

Ver. 213. ——— ἀγινέμεναι.] Vide suprà ad *ver.* 202.

Ver. 215. Οὐδ' ὄπιδα τρομέουσι θεῶν.] Vide suprà ad ξ'. 82. et ad *Il.* π'. 388.

Ver. 218. Πόλλ' ἐπιδινεῖται.] Ἐν τοῖς στήθεσιν ἀνακυκλεῖ ὁ λογισμὸς, πολλὰς τροφὰς λαμβάνει. *Schol.*

Ver. 219. Ἄλλων.] *Al.* Ἄλλον notante *Eustathio.*

Ibid. ——— αὐτῆσι.] *Al.* αὐτοῖσι.

Ver. 222. Καί κεν δὴ.] Vide ad *Il.* ξ'. 433. et 504.

Ver. 227. Βουκόλ', ἐπεὶ οὔτε κακῷ.] Pronuntiabatur ἐπ' οὔτε, vel ἐπιλοῦτε tribus syllabis: Uti et notavit *Barnesius.* Ita *Iliad.* ι'. 777.

Μίλλω, ἐπεὶ οὔ τοι ἐμὲ πάμπαν ἔοικας.

Vide et ad *Il.* ι'. 533.

Ver. 228. ——— ὅ τοι.] *Al.* ὅτι.

Ibid. ——— πινυτὴ.] *Al.* πινυτὴς.

Digitized by Google

Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίή τε τράπεζα, 230
Ἰστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ἦ σέθεν ἐνθάδ' ἐόντος ἐλεύσεται οἴκαδ' Ὀδυσσεύς·
Σοῖσιν δ' ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ' ἐθέλῃσθα,
Κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσι.
Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ· 235
Αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
Γνοίης, οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.
Ὡς δ' αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. 240
Μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
Ἤρτυον· αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,

" Sciat nunc Jupiter primùm deorum, hospitalisque mensa, 230
" Larque Ulyssis eximii, quem adveni,
" Certè, te hîc præsente, veniet domum Ulysses;
" Tuisque oculis videbis, si volueris,
" Interfici procos, qui hîc dominantur."
Hanc autem rursùs allocutus est boûm bubulcus vir; 235
" Utinam enim hoc, hospes, verbum perficeret Saturnius!
" Cognosceres, qualis mea potentia et manus sequerentur."
Sic autem paritèr Eumæus supplicavit omnibus diis,
Ut-rediret Ulysses prudens suam ad domum.
Sic hi quidem talia inter se loquebantur. 240
Proci autem Telemacho mortemque fatumque
Struebant: at iis sinistra venit avis

Ver. 231. Ἰστίη τ' Ὀδυσῆος.] Ita edidit *Barnesius* ex *Eustathio*, ex *Etymolog. Magn.* et ex *Odyss.* τ'. 304. ubi idem versus occurrit. Cum *Barnesio* porrò hîc facit MS. à *Tho. Bentleio* collatus. *Al.* Ἑστίη τ' Ὀδυσῆος.

Ver. 233. —— αἴ κ' ἐθέλῃσθαι·] Ἰστέον δὲ ὅτι τὸ, εἴπερ ἐθέλοις, ἀπόπειρα ἐστὶν Ὀδυσσέως τῆς Φιλοίτιον, ὁποίαν φθάσας προεῖδοκίμασεν [suprà τ'. 305.] ἐν ἐπηκόῳ τοῦ υἱοῦ. *Eustath.* Sed hoc nimis longè videtur petitum.

Ver. 235. —— ἐπιβουκόλος.] Ἐπιβουκόλον, inquit *Eustathius*, φησὶ, κατὰ πλουσιωτέρους προθύτους. *Barnesius* voculam ἐπὶ "*Superiorem*" in illo Officio" denotare existimat. "Ita," inquit, "μ'. *ver.* 131. ἐπιποιμένες, "*Pastores præcipui*; et ἐπίπορος." At rectius videtur quod addit *Eustathius*: Δοκεῖ — ἐπιβουκόλος εἶναι ὁ ἐπὶ βοῦ τεταγμένος· ἔστιν, ὁ ἐπὶ τῶν βοῶν, οἷς ἐπιστατῶν αὐταῖς. Οὕτω δὲ καὶ ἐπίπορος· ὁ ἐπὶ φυλακῇ τεταγμένος.

— Ὀδυσῆος ἀμύμονος, ὃς μ' ἐπὶ βοῦν
Εἷσ' ἔτι τυτθὸν ἐόντα —. Suprà *ver.* 209.

Ver. 237. Γνοίης οἵη.] MS. à *Tho. Bentleio* collatus, Γνοίης χ', οἵη. Quæ fortè et verior lectio. Ita enim in omnibus legitur infrà φ'. 202. ubi repetitur hic versus; atque ita hîc legisse videtur *Eustathius*: quippè in commentario citat, Γνοίης ἂν οἵη &c.

Ibid —— οἵη ἐμὴ δύναμις.] " Pro ἐμὴ," inquit *Henricus Stephanus*, " fortassè rectiùs " legeretur ἐμοὶ. Firmatur autem vulgata lectio ex φ'. 202. infrà, ubi idem versus occurrit.

Ibid. —— χεῖρες ἕπονται.] *Al.* χεῖρες ἕπωνται· et χεῖρες ἄαστοι.

Ver. 241. —— θάνατον τε μόρον τε.] " Nec illa quidem ejusdem significationis " repetitio ignava et frigida videri debet;

" Μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατον τε μόρον τε.
" Ἤρτυον. ——————.

" quòd bis idem θάνατον καὶ μόρον dixerit. " Indignitas enim moliendæ tam acerbæ " tamque injustæ necis, mirandâ mortis " iteratione defleta est." *Gellius*, *lib.* XIII. *cap.* 23. Vide suprà ad λ'. 611.

Vir. 242. —— ἤλυθεν ὄρνις.] Vide suprà ad ὁ. 160.

Digitized by Google

Αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο, καὶ μετέειπεν·
Ὦ φίλοι, οὐχ' ἡμῖν συνθεύσεται ἥδε γε βουλὴ, 245
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.
Ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Ἐλθόντες δ' ἐς δῶματ' Ὀδυσσῆος θείοιο,
Χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
Οἱ δ' ἱέρευον ὄις μεγάλους καὶ πίονας αἶγας, 250
Ἱέρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην·
Σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων· ἐν δ' ἄρα οἶνον
Κρητῆρσιν κερόωντο· κύπελλα δὲ νεῖμε συβώτης.
Σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
Καλοῖς ἐν κανέοισιν· ἐωνοχόει δὲ Μελανθεύς. 255
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
Ἐντὸς ἐϋσταθέος μεγάρου, παρὰ λάϊνον οὐδὸν,

Aquila altivolans; tenebat verò timidam columbam.
Illis autem Amphinomus concionatus est, et dixit;
" O amici, haud nobis perficietur hoc sanè consilium, 245
" Telemachi cædes: sed recordemur convivii."
Sic dixit Amphinomus: illis verò placebat sermo.
Ubi autem venissent in ædes Ulyssis divini,
Lænas quidem deposuerunt in sedilibusque soliisque;
Ipsi autem mactabant oves magnas, et pingues capras; 250
Mactabant etiam porcos, et bovem armentalem:
Viscera verò assata distribuebant; vinumque deindè
In crateribus miscebant: pocula autem distribuit subulcus.
Panem verò ipsis distribuit Philœtius, princeps virorum,
Pulchris in canistris: vinum autem fundebat Melanthius. 255
Illi verò ad cibos paratos appositos manus porrigebant.
Telemachus autem Ulyssem sedere fecit, astutias versans,
Intra benè-fundatam domum, apud lapideum limen,

Ver. 250. Οἱ δ' ἱέρευον ὄις.] Παραγνωστέον, inquit *Scholiastes*, ὅτι μόνας τὰς μητέρας θεοῖς θύουσας ἐκ οἴδεν. *Eustathius* autem hunc unicum locum à Veteribus exceptum testatur: Σημειοῦνται δ' (inquit) ἐν τοῖς ῥηθεῖσιν οἱ Παλαιοὶ, ὡς ἐνθάδε ἐ μόνον οἱ μνηστῆρες ἱερεύουσιν ὄις, καὶ τὰ ἑξῆς, ὡς ἐρρέθη· ἀλλαχοῦ δὲ τῆς Ὁμηρικῆς ταύτης ποιήσεως ἐκ εὕρηνται ὕτω ποιοῦντες. Attamen de Procis hunc ipsum versum sequentemque usurpat Poëta suprà ε'. 180. 181. de iisdemque dicitur ξ'. 93. 94.

Ὅσσαι γὰρ νύκτες τε ἐ ἠμέραι ἐκ Διὸς εἰσὶν,
Οὔπω ἓν ἱερεύω· ἱερήϊον, ἠδὶ δύ' οἶω.

Ibid. —— μεγάλους.] *Al.* μεγάλας.

Ver. 251. Ἱέρευον δὲ σύας.] Pronuntiabatur, ut videtur, Ἱρευον· quo modo sæpè et scripta occurrunt Ἱρεὺς, ἱρὰ· et ἱρεύσουσι *ver.* 3. *hujus libri*; Uti et notavit *Barnesius*.

Ver. 252. —— ἐστήσαντες.] Vide suprà ad β'. 300. et ad *Il.* ά. 466.

Ibid. —— ἐν δ' ἄρα.] *Al.* ἐν δὲ τε.

Ver. 258. Κρητῆρσιν κερόωντο.] Ita *Barnesius* ex veteribus exemplaribus. *Al.* Κρητῆρι. Quod et ferri posset. Vide ad *Il.* ά. 51.

Ibid. —— κερόωντο.] *Al.* κιρόσαντο.

Ver. 254. 255. Σῖτον δὲ σφ' ἐπένειμε — Καλοῖς ἐν κανέοισιν.]

—— Cereremque canistris
Expediunt ——. *Æn.* I. 701.

Ver. 255. —— ἐωνοχόει.] *Al.* ἐωνοχόει.

Digitized by Google

Δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν·
Πὰρ δ' ἐτίθει σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευεν 260
Ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
Κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ὀφέλλω
Πάντων μνηστήρων· ἐπεὶ οὗτοι δήμιός ἐστιν
Οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος· ἐμοὶ δ' ἐκτήσατο κεῖνος. 265
Ὑμεῖς δὲ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
Καὶ χεῖρας· ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.
Ὣς ἔφαθ· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός· 270
Καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοὶ,
Τηλεμάχου· μάλα δ' ἡμιν ἀπειλήσας ἀγορεύει.

Sellâ turpi appositâ, parvâque mensâ:
Apposuit verò *ei* viscerum partes, infuditque vinum 260
In poculo aureo, et ipsum sermone allocutus est;
" Illic nunc sede inter viros vinum-bibens:
" Convitia verò tibi ipse ego et manus abarcebo
" Omnium procorum; quoniam nequaquam publica est
" Domus hæc, sed Ulyssis; mihi autem acquisivit ille. 265
" Vos verò, proci, continete animum à-convitio,
" Et manus; ut nè aliqua lis et contentio oriatur."
Sic dixit: illi autem omnes mordicùs labris compressis
Telemachum admirabantur, quòd audactèr loquebatur.
Inter hos autem Antinŏus locutus est, Eupitheï filius; 270
" Et molestus quantumvis sit, accipiamus sermonem, Achivi,
" Telemachi; valdè autem nobis minatus loquitur.

Ver. 259. Δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν·] Observârunt hîc Veteres, res tenuissimas atque etiam humillimas aptissimè et pulcherrimè depingere Poëtam. Φανερὸν μὴν ἐκ τὰ χαμαίζηλα τῶν ὀνομάτων ἰσχυότατα ἐμπιεῖν τῷ λόγῳ· ὡς ἔχει τὸ, "Δίφρον ἀεικέλιον ὑπ." *Aristid. Quintil. de Musicâ, lib.* II. *pag.* 84. Ἰσχνὸν δὲ [σλάσμα ἐστὶ] τὸ ἐκ τῆ ὕλη τῶν πραγμάτων μικρὸν, ἐκ τῆ λέξει κατισχνωμένον. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 9. Cæterùm de voce ὀλίγην, hoc in loco, ita *Eustathius* in commentario ad *ί.* 515. Τὸ ὀλίγος, — τὸν μικρὸν ἐσήμανεν· ὃ φαίνεται — ἐκ ἐν τῇ "ὀλίγην τε "τράπεζαν." — Πάντως δὲ ταυτὸν, ὀλίγον ἐ τῶν, καὶ συνθὲν, καὶ μικρὸν. *Aristoteles* autem et vocem ὀλιγὴν, et vocem ἀεικέλιον, vim hîc singularem habere contendit. Si quis nimirùm hoc in loco substitueret, "Δίφρον μεχθηρὸν καταθὲς, μικρὰν τε τρά-"πεζαν·" τὸ ἀμφότερον ὅσον διαφέρει ἐπὶ τῶν ἐπῶν, θεωρείσθω·—τὸ μὲν φαίνεται καλὸν, τὸ δ' εὐτελὲς. *Poëtic. cap.* 22. Vide suprà ad *l.* 515. et ad *π'.* 1.

Ibid. —— παραθεὶς.] Apud *Eustathium* in commentario, καταθὲς· atque ita legit *Aristoteles* loco jam suprà citato.

Ver. 260. —— μοῖρας.] Apud *Eustathium*, μοῖραν.

Ver. 261. Ἐν δέπαϊ χρυσέῳ.] Pronuntiabatur χρυσῷ. Vide ad *Il. ν'.* 523.

Ver. 267. Καὶ χεῖρας.] *Eustathius* in commentario citat, χειρῶν. Quo modo et in pluribus Codicibus scriptum reperit Vir eruditus *Tho. Bentleius.*

Ver. 271. —— Ἀχαιοὶ.] Vide suprà ad *ρ'.* 513.

Ver. 272. —— ἡμιν ἀπειλήσας.] Ἐν δὲ τῷ, "μάλα δ' ἡμιν ἀπειλήσας," προσεπιστῆται τὸ ἡμιν, ὡς ἐ ἀλλαχῦ. κατὰ συζυγὴν τῆς ληγούσης, ἀναπιμφθίγ[ος τῦ σύνω λόγῳ ἐγκλίσεως. *Eustath.* Vide suprà ad *θ'.* 569. et *π'.* 372.

Digitized by Google

Οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· τῷ κέ μιν ἤδη
Παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ' ἀγορητήν.
Ὣς ἔφατ' Ἀντίνοος· ὁ δ' ἄρ' οὐκ ἐμπάζετο μύθων. 275
Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
Ἦγον· τοὶ δ' ἀγέροντο καρηκομόωντες Ἀχαιοὶ
Ἄλσος ὑπὸ σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος·
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα. 280
Πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν θέσαν, οἵ' πονέοντο,
Ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἀνώγει
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
Λώβης ἴσχεσθαι θυμαλγέος· ὄφρ' ἔτι μᾶλλον 285
Δύῃ ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
Ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ, ἀθεμίστια εἰδὼς,
(Κτήσιππος δ' ὄνομ' ἔσκε, Σάμῃ δ' ἐνὶ οἰκία ναῖεν)·

" Non enim Jupiter sivit Saturnius: alioquin ipsum jam
" Compescuissemus in ædibus, canorus licèt sit concionator."
Sic dixit Antinöus: ille verò non curabat verba. 275
Præcones autem per urbem deorum sacram hecatomben
Ducebant: congregabantur autem comantes Achivi
Luco sub umbroso longè-jaculantis Apollinis.
Hi antem postquam assaverant carnes superiores, et detraxerant,
Partibus divisis, convivabantur celebri convivio. 280
Ulyssi verò partem apposuerunt, qui ministrabant,
Æqualem, sicut ipsi scilicèt sortiebantur: sic enim jussit
Telemachus, dilectus filius Ulyssis divini.
Procos autem non omninò eximios sinebat Minerva
Contumeliâ abstinere acerbâ; ut adhuc magìs 285
Subiret dolor cor Laërtiadæ Ulyssis.
Erat verò quidam inter procos vir, nefaria doctus,
(Ctesippus autem nomen erat; in Same verò domum habitabat);

Ver. 273. —— εἴασε.] *Barnesius* edidit, scribendumque contendit, εἴασεν. Sed vide ad *Il.* δ. 42.

Ver. 276. 277. Κήρυκες δ' ἀνὰ ἄστυ —— τοὶ δ' ἀγίροντο καρηκομόωντες Ἀχαιοὶ.] Poëta hîc, observante *Eustathio*, de universo populo *Ithacensi* loquitur; ad *Procos* redit *ver.* 279. Ἀχαιοὶ δὲ νῦν, οἱ κατὰ τὴν Ἰθάκην — καὶ κήρυκες δὲ, οἱ κατὰ τὴν Ἰθάκην δημόσιοι ἐνταῦθα νοοῦνται, οἳ καὶ ταῖς θυσίαις ἐπήργον ——. Οὕτω μὲν οἱ τοῦ δήμου ἐτίλων τὴν ἑκατόμβην οἱ δὲ μνηστῆρες ἐν τοῖς τοῦ Ὀδυσσέως " δαίνυντο ἐρικυδέα δαῖτα." (*ver.* 280.)

Ver. 277. —— καρηκομόωντες.] Sic apud *Virgilium*;

—— *Crinitus* Iopas.
Æn. I. 740.

Ver. 278. —— ἑκατηβόλου Ἀπόλλωνος.] Vide suprà ad *Il.* ά. 75.

Ver. 279. —— ἐρύσαντο.] *Al.* κάδ' ἐρύσαντο.

Ver. 281. —— οἵ' πονέοντο.] *Al.* οἵ ῥ' ἐπίνοντο.

Ver. 284. —— ἀγήνορας.] Vide suprà ad ά. 106.

" *Ver.* 286. Δύῃ ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.] Rectè *Eustathius*; Ἦγον ἵνα ἐπαισθάνῃ λύπης τὸν Ὀδυσσέα κατὰ καρδίαν. Malè autem deinceps adjicit; "Η ἀντιστ[ω]μία τὴν καρδίαν τοῦ Ὀδυσσέως. Ac si non æquè facilè et scribere potuisset *Homerus*, si id rectius fuisset, κραδίην Λαερτιάδεω Ὀδυσῆος.

Ver. 288. —— Σάμῃ δ' ἐνὶ οἰκία ναῖεν.] Vide suprà ad ά. 29.

Ibid. —— ναῖεν.] *Henricus Stephanus* inter varias lectiones retulit ναίων.

Digitized by Google

Ὅς δή τοι κτεάτεσσι πεποιθὼς πατρὸς ἑοῖο,
Μνάσκετ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα· 290
Ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
Μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
Ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
Ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται. 295
Ἀλλ' ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον· ὄφρα καὶ αὐτὸς
Ἠὲ λοετροχόῳ δώῃ γέρας, ἠέ τῳ ἄλλῳ
Δμώων, οἳ κατὰ δῶματ' Ὀδυσσῆος θείοιο.
Ὡς εἰπὼν, ἔρριψε βοὸς πόδα χειρὶ παχείῃ,
Κείμενον, ἐκ κανέοιο λαβών· ὁ δ' ἀλεύατ' Ὀδυσσεὺς, 300
Ἦκα παρακλίνας κεφαλήν· μείδησε δὲ θυμῷ

Qui jam possessionibus fretus patris sui,
Ambiebat Ulyssis diù absentis uxorem: 290
Qui scilicèt tunc inter procos superbos dixit;
" Audite me, proci eximii; ut aliquid dicam;
" Partem quidem jam hospes habet dudùm, sicut decet,
" Æqualem; non enim honestum *est* privare, neque justum,
" Hospites Telemachi, quicunque has ædes advenerit. 295
" Sed age, ei et ego dem hospitale-donum; ut et ipse
" Vel balneatori det munus, vel alicui alii
" Famulorum, qui *sunt* in ædibus Ulyssis divini."
Sic locutus, projecit bovis pedem manu robustâ,
Jacentem, ex canistro sumptum: evitavit verò Ulysses 300
Levitèr declinato capite; subrisit autem animo

Ver. 289. —— πατρὸς ἑοῖο.] *Al.* θεσπεσίωνος. Atque ita in commentario citat *Eustathius.*

Ver. 294. —— ὁ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον, ξένους.]

Καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ:
Euripid. Heraclid. ver. 255.

Ibid. —— ἀτέμβειν.] " Ἀτέμβειν," inquit *Duportus, Gnomolog. Homeric.* ad hunc locum, " hìc est βλάπτειν, ἀδικεῖν, ὑβρίζειν· " alibi ἀμέρδειν, στερίσκειν, ἀποστερίζειν cum " genit. Μή τις οἱ ἀτεμβόμενος κίοι ἴσης. " (*Il.* λ'. 704.)" Immò verò hoc in loco, posteriori isto in sensu planè usurpatur hæc vox: Ut liquet tum ex præcedente, " Μοῖ- " ραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν. " Ἴσην." tum ex sequente, " Ἀλλ' ἄγε οἱ " ἐγὼ δῶ ξείνιον." Priori sensu, ut opinor, nusquam apud Poëtam occurrit. Porrò in *Etymologico Magno* ἀτεμβεῖν scribi notat *Barnesius.*

Ver. 297. —— λοετροχόῳ.] Νῦν, τῷ τὰ λουτρὰ παρέχοντι, ἢ παρασκευάζοντι. *Schol.*

Ver. 298. Δμώων, οἳ κατὰ δῶματ' Ὀδυσσῆος θείοιο.] Apud *Eustathium* in commentario emittitur hic versus. Ac potest quidem sine sententiæ dispendio abesse.

Ver. 299. Ὡς εἰπὼν, ἔρριψε βοὸς πόδα.] Ἀλλ' οὐ ὅτι μνηστῆρας εἰσάγει μιθύοντας, οὐδὲ τότε τοιαύτην ἀκοσμίαν εἰσήγαγεν, ὡς Σοφοκλῆς καὶ Αἰσχυλος πεποιήκασιν· ἀλλὰ πόδα βόειον ἐπὶ τὸν Ὀδυσσέα ῥιπτόμενον. *Athenæus, lib.* I. *cap.* 14.

Ver. 300. —— ὁ δ' ἀλεύατ' Ὀδυσσεὺς, Ἦκα παρακλίνας.]

—— ille ictum venientem à vertice velox
Prævidit, celerique elapsus corpore cessit.
Æn. V. 444.

Ver. 301. —— παρακλίνας.] Vide ad *Il.* α'. 309. 338.

Ibid. —— μείδησε δὲ θυμῷ Σαρδάνιον μάλα τοῖον.] Οἱ τὴν Σαρδόνα κατοικοῦντες, ἀπὸ Καρχηδονίων ὄντες, χρῶνται νόμῳ τινὶ βαρβαρικῷ, καὶ πολὺ τῶν Ἑλλήνων διηλλαγμένῳ· τῷ γὰρ Κρόνῳ θύουσιν, ἡμέραις τρισὶ στεναγμέναις, οὐ μόνον τῶν αἰχμαλώτων τοὺς καλλίους, ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη γεγενημένους. Τούτοις δὲ θυομένοις, τὸ μὲν δακρύειν αἰσχρὸν εἶναι δοκεῖ καὶ δεῖλον, τὸ δὲ ἀσπάζεσθαι καὶ γελᾶν ἔσχατον, καὶ πρεσβύτων ἀνδρῶδες τε καὶ παλὸν. Ὅθεν φασὶ καὶ τὸν ἐπὶ κακῷ προσποιητὸν γέλα]α κληθῆναι Σαρδόνιον. Ἡ δὲ ἱστορία παρὰ Δήμωνι. *Schol.* Alitèr *Pausanias;*

Digitized by Google

Σαρδάνιον μάλα τοῖον· ὁ δ' εὖδμητον βάλε τοῖχον.
Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·
Οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός· 305
Ἦ γάρ κέν σε μέσον βάλον ἐγχεϊ ὀξυόεντι,
Καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ὠμφεπονεῖτο
Ἐνθάδε· τῷ μή τίς μοι ἀεικείας ἐνὶ οἴκῳ
Φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
Ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα. 310
Ἀλλ' ἔμπης τάδε μὲν καὶ τετλάμεν εἰσορόωντες,
Μήλων σφαζομένων, οἴνοιό τε πινομένοιο,
Καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
Ἀλλ' ἄγε, μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·

Sardanium omninò tale: ille autem bene-ædificatum percussit murum.
Ctesippum verò Telemachus increpuit sermone;
" Ctesippe, certè omninò tibi hoc satius fuit animo;
" Non percussisti hospitem; evitavit enim telum ipse; 305
" Certè enim te medium percussissem hastâ acutâ,
" Et tibi pro nuptiis pater exequias celebrâsset
" Hîc: ideò nè quis mihi insolentias in domo
" Prodat; jam enim intelligo et novi singula,
" Bonaque et pejora: anteà autem adhuc infans eram. 310
" Sed continuò hæc quidem et toleramus inspicientes,
" Ovibus mactatis, vinoque potato,
" Et pane *consumpto*: difficile enim cohibere unum multos.
" Sed agite, nè ampliùs mihi mala facite infensi:

Πλὴν δὲ βοτάνης μιᾶς παθαρεύει καὶ ἀπὸ φαρμάκων ἡ νῆσος [Σαρδὼ], ἃ ἐργάζεται θάνατον. Ἡ πόα δὲ ἡ ὀλίθριος σιλίνῳ μὲν ἐστὶν ἐμφερὴς· τοῖς φαγοῦσι δὲ γιλῶσιν ἐπιγίνεσθαι τὴν τελευτὴν λίγυσιν. Ἐπὶ τούτῳ δὲ Ὅμηρος τε καὶ οἱ ἔπειτα ἄνθρωποι τὸν ἐπὶ ὀδινὶ ὑγιεῖ Σαρδόνιον γίλωτα ὀνομάζουσι. *Phocica, lib.* X. *cap.* 17. *sub fine.* Ejusdemque explicationis meminerunt *Eustathius*, et *Scholiastes* ad *ver.* 302 ubi de hâc re plura. Cæterùm hinc apud *Ciceronem*; " Nè — rideamus γίλωτα Σαρδόνιον." *Epist. ad Familiares, lib.* VII. 25. Porrò *Scholiastes* ad *Iliad. ὁ.* 101. *Junonis* risum, quem ibi depingit Poëta, hujusmodi fuisse notat:

——— ἡ δ' ἐγέλασσε
Χάλεσιν, ἀδὶ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
Ἰάνθη ———. *Il. ὁ.* 101.

Οὗτος ὁ γίλως, (inquit ibi *Scholiastes*), Σαρδόνιος καλεῖται, ὅτ' ἄν τις μὴ ἐκ διαθέσεως γιλᾷ. Vide et infrà ad *ver.* 347.

Ver. 302. Σαρδάνιον,] Apud *Plutarchum*, notante *Barnesio*, scribitur Σαρδιανὸν. Alii teste *Eustathio*, scribunt Σαρδόνιον Uti legitur et apud *Ciceronem*, loco jam suprà citato.

Ibid. —— μάλα.] *Al.* μίγα.

Ver. 304. —— ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ.] Τὸ μὴ βαλεῖν, ἐπὰν αὐτὸς ἀνήρησο, [fortè ἂν ἀνήρησο·] ἢ τὸ βαλεῖν τὸν ξένον αἱρεῖται τὸ κέρδιον. *Scholion* (in Vulgatis vetusi 331. infrà importunè annexum). Priorem interpretationem sequitur *Eustathius*: Τὸ δὲ, "Οὐκ ἔβαλες," [*ver.* 305.] ἐλλιπῶς (inquit) εἴρηται διὰ θυμὸν ἦν δὲ τὸ ἐντελὲς, οὕτως· ἦ μάλα σοι κέρδιον ὅτι οὐκ ἔβαλες τὸν ξένον.

Ver. 306. —— ὀξυόεντι.] Vide ad *Il. ι.* 50.

Ver. 310. —— πάρος δ' ἔτι νήπιος ἦα.] Ita edidit *Barnesius* ex emendatione *Isaci Casauboni*, et ex σ'. 228. ubi occurrit hic versus, et in Vulgatis scriptum est ἔτι. Atque ita hîc legit MS. à *Tho. Bentleio* collatus. *Vulgg.* πάρος δέ τι νήπιος ἦα.

Ver. 313. —— χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.]

Οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος.
Sophocl. Oedip. Tyrann. ver. 855.

Vide suprà ad π'. 88.

Digitized by Google

Εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μαιεσίνετε χαλκῷ, 315
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
Τεθνάμεν, ἢ τάδε εἶν ἀείκεα ἔργ' ἐράασθαι,
Ξείνους τε στυφελιζομένους, δμωάς τε γυναῖκας
Ῥυσάζοντας ἀεικελίως κατὰ δώματα καλά.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 320
Ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι παιθαπτόμενος χαλεπαίνοι·
Μήτ' ἔτι τὸν ξεῖνον στυφελίζετε, μήτε τίν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο. 325
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
Ἤπιον, εἰ σφῶϊν κραδίη ἄδοι ἀμφοτέροισιν·
Ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,

" Sin jam me ipsum interficere cupitis ære, 315
" Etiam hoc vellem, et multò satius esset
" Mori, quàm hæc semper indigna opera videre,
" Hospites pulsatos, famulasque mulieres
" *Vos* violantes indignè in ædibus pulchris."
Sic dixit: illi verò omnes muti facti sunt silentio. 320
Serò autem tandem inter eos locutus est Damastorides Agelaus;
" O amici, haud jam quisquam super dicto æquo
" Contrariis verbis carpens sæviat:
" Neque ampliùs hospitem pulsate, neque quenquam alium
" Famulorum, qui in ædibus *sunt* Ulyssis divini. 325
" Telemacho autem verbum ego et matri dicam
" Mite, si ipsis corde placeat ambobus:
" Quamdiù quidem vobis animus in pectoribus sperabat
" Rediturum Ulyssem prudentem suam ad domum,

Ver. 315. Εἰ δ' ἤδη μ' αὐτὸν.] Vir eruditus *Tho. Bentleius* in duobus MSS. scriptum reperit Εἰ δὴ μὴ αὐτὸν.

Ver. 317. —— ἢ τάδε αἶν.] *Al.* ἢ τάδε τ' αἶν. *Al.* ἢ τάδε γ' αἶν.

Ver. 319. Ῥυσάζοντας.] Ἐτὶ δὶ, τὸ μετὰ βίας ἐ ἀνάγκης ἕλκειν καὶ μίγνυσθαι γυναικὶ. *Etymolog. Magn.* ad vocem ῥυσάζειν.

Ver. 320. Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο.]

Dixerat Æneas: illi obstupuêre silentes,
Conversique oculos inter se atque ora tenebant. *Æn.* XI. 120.

Ver. 324. Μήτ' ἔτι.] MS. à *Tho. Bentleio* collatus, Μήτε τι. Ut suprà σ'. 415.

Ver. 327. —— ἀμφοτέροισιν.] *Al.* ἀμφοτέρεσσιν.

Ver. 328. Ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει Νοστῆσαι Ὀδυσῆα.] Ita MS. à *Tho. Bentleio* collatus, et *Eustathius* in commentario. Quibuscum facit, teste *Barnesio*, Editio *Florentina*. Alii hîc legunt Ὄφρα μὲν ἡμῖν &c. Quo modo edidit *Barnesius*; et in annotationibus, " Ita," inquit, " omninò " legendum; nam ut *Eustath. fol.* 736. *lin* " 38. Ἀγέλαος δὲ, εἷς τῶν μνηστήρων, τοῦτο " φησὶν· quare seipsum includens, ἡμῖν ait." Sed errat (ut opinor) Vir eruditus. Non enim *Procos*, sed *Telemachum* et *Penelopen* hîc alloqui videtur *Agelaüs*; atque ita aptiùs congruent sequentia, Τόφρ' ὅτις νίμεσις μενέμεν τ' ἦν, ἰσχέμεναι τε Μνηστῆρας κατὰ δώματ'· —— *ver.* 330. et, Ἀλλ' ἄγε, σῇ τάδε μητρὶ &c. *ver.* 334.

Ver. 329. Νοστῆσαι.] *Eustathius* videtur legisse Νοστήσειν.

Digitized by Google

Τόφρ' οὔτις νέμεσις μενέμεν τ' ἦν, ἰσχέμεναί τε 330
Μνηστῆρας κατὰ δώματ'· (ἐπεὶ τόδε κέρδιον ἦεν,
Εἰ νόστησ' Ὀδυσεὺς, καὶ ὑπότροπος ἵκετο δῶμα)·
Νῦν δ' ἤδη τόδε δῆλον, ὅτ' οὐκέτι νόστιμός ἐστιν.
Ἀλλ' ἄγε, σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
Γήμασθ', ὅστις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρησιν· 335
Ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
Ἔσθων καὶ πίνων· ἡ δ' ἄλλου δῶμα ἵκηται.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
Ὅς που τῆλ' Ἰθάκης ἢ ἔφθιται, ἢ ἀλάληται, 340
Οὔτι διατρίβω μητρὸς γάμον· ἀλλὰ κελεύω
Γήμασθ', ᾧ κ' ἐθέλῃ, ποτὶ δ' ἄσπετα δῶρα δίδωσι.
Αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι

" Tamdiù minimè ægrè-ferendum manereque erat, et detinere 330
" Procos in ædibus; (quoniam hoc satius erat,
" Si rediisset Ulysses, et redux venisset domum):
" Nunc verò jam hoc manifestum, quòd non ampliùs reditûs capax est.
" Sed age, tuæ hæc matri assidens nuntia,
" Nubat *ei*, quicunque optimus vir, et plurima præbuerit; 335
" Ut tu quidem gaudens paterna omnia possideas,
" Comedens et bibens: illa verò alîus domum adeat."
Illum autem rursùs Telemachus prudens contrà allocutus est;
" Non per Jovem, Agelaë, et dolores patris mei,
" Qui alicubi longè ab Ithacâ, vel periit, vel vagatur, 340
" Nequaquam remoror matris nuptias; sed jubeo
" Nubere, cuicunque velit, *qui*que insuper multa dona det.
" Vereor autem invitam à domo pellere

Ver. 330. —— *ἰσχέμεναι.*] Versiones nonnullæ reddunt, " *teneri*," ac si *ἰσχέμεναι Vocis* esset *Passivæ:* Sed (ut opinor), minùs rectè. Vide suprà ad *ver.* 202. et ad *Il. ρ'.* 501.

Ver. 335. et 342. *Γήμασθ'.*] Vide suprà ad *λ'.* 272.

Ver. 337. —— *δῶμα ἵκηται.*] *Eustathius* in commentario citat, *δώμασ' ἵκηται. Al. δῶμα κομίζῃ.*

Ver. 339. *Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο.*] Haud dissimilitèr *Apollonius;*

Ἴσω Λητοῖς υἱὸς, ὅ μι πρόφρων ἰδίδαξε
Μαντοσύνας· ἴσω δὲ δυσώνυμος ἢ μ' ἴλαχεν κῆρ. *Argonaut. lib.* II. *ver.* 257.

Ubi *Scholiastes;* "Ρητέον δὲ, ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος, ὅταν τὶς κατὰ τῆς ἰδίας ἐμνήν συμφορᾶς· " Οὐ μὰ Ζῆν', Ἀγέλαε ὅ'c." — "Εθος ἦν ἀρχαῖον, πρῶσον θεὺς ὀμνύναι, εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφορὰς. Vide *Langbeenii* annotationes in *Longinum*, § 16. ad ista verba, *Μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας.*

Ver. 340. —— *ἢ ἔφθιται, ἢ ἀλάληται.*] Vide ad *Il. α.* 37.

Ver. 342. — *ποτὶ δ' ἄσπετα δῶρα δίδωσι.*] Ita Vulgati; et ita legit *Eustathius;* exponitque, *ἢ ὃς αὐτῇ πολλὰ δίδωσιν. Ἀπὸ κοινοῦ γὰρ,* inquit, *λακτέον τὸ " ὅς."* Atque eadem constructio occurrit suprà *β'.* 113. 114.

Μητέρα σὴν ἀκόστιμψον, ἄνωχθι δὲ μι γαμέεσθαι
Τῷ, ὅτιῳ τι κατὴρ πέλεται, καὶ ἐνδόσι αὐτῇ.

Barnesius autem ex veterum Editionum nonnullis edidit *ποτὶ δ' ἄσπετα δῶρα δίδωμι·* " quoniam *τὸ δίδωμι* (ut ait) majorem *Telemachi* alacritatem ostendit." Sed, ut opinor, minùs rectè. Dona enim apud Poëtam ab eo qui mulierem ambit semper præberi dicuntur. Vide suprà ad *λ'.* 281. *π'.* 77. 392. et infrà ad *φ'.* 161. 162. Atque ita suprà *ver.* 335. *hujus libri;*

Γήμασθ', ὅστις ἄριστος ἀνὴρ, καὶ πλεῖστα πόρησιν.

Attamen MS. à *Theo. Beatleio* collatus *πόρῃ* hìc legit.

Digitized by Google

Μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν.
Ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη 345
Ἄσβεστον γέλον ὦρσε, παρέπλαγξεν δὲ νόημα.
Οἱ δ' ἤδη γναθμοῖσι γελῶν ἀλλοτρίοισιν·
Αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον· ὄσσε δ' ἄρα σφέων
Δακρυόφιν πίμπλαντο· γόον δ' ὠΐετο θυμός.
Τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής· 350
Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
Εἰλύαται κεφαλαί τε, πρόσωπά τε, νέρθε τε γοῦνα.

" Verbo violento; nè istud deus perfecerit."
Sic dixit Telemachus: procis verò Pallas Minerva 345
Inextinctum risum movit, errareque fecit intellectum.
Hi autem jam maxillis ridebant alienis;
Cruentatasque jam carnes comedebant; oculi verò ipsorum
Lachrymis implebantur; luctumque præsagiebat animus.
Inter hos autem et locutus est Theoclymenus deo-par; 350
" Ah miseri, quid malum hoc patimini? nocte quidem vestra
" Obvoluta sunt capitaque, faciesque, subtùsque genua.

Ver. 346. —— γέλον.] MS. à *Tho. Bentleio* collatus, γέλω.

Ver. 347. Οἱ δ' ἤδη γναθμοῖσι γελῶν ἀλλοτρίοισιν.] Hinc *Horatius*;

—— malis ridentem alienis.
Sermon. lib. II. *Sat.* iii. 72.

Et *Valerius Flaccus*;

Errantesque genæ, atque alieno gaudia vultu.
Argonaut. lib. VIII. *ver.* 164.

Porrò de hâc phrasi ita *Eustathius*; Ἰσέον δὲ ὅτι τὸ, γναθμοῖς γελῶν ἀλλοτρίοις, καὶ νῦν ἐπιτολάζει λέγεσθαι παροιμιακῶς. Τὸν γὰρ τοι ἐφ' οἷς μὴ ἄξιον γελῶντας, ἐκ θυμοῦ ἢ ἀμηχανίας τινὸς, ξένας φαμὲν γελῶν παρειαῖς· ὥσπερ καὶ τοὺς κρὸς βίαν ἐσθίοντας, ἀλλοτρίοις ἐσθίειν γναθμοῖς. —— Ἴσως δὲ τὸ, γναθμοῖς ἐγέλων ἀλλοτρίοις, καὶ ὅμοιον ἐστὶ τῷ, "Ἀχρεῖον ἐγέλασεν," (suprà σ'. 162.) ὁ ἐπὶ τῆς Πηνελόπης εἰρηται. Quam explicationem reprehendens Dna. *Dacier*, ipsa per hanc phrasin *risum immodicum* denotari arbitratur: "Homere," inquit, "dit clairement qu'ils "rioient de tout leur cœur, et, comme "nous disons, *à gorge déployée*; comme des "gens qui rioient avec une bouche d'em-"prunt, qu'ils n'apprehenderoient pas de "fendre jusqu' aux breilles." Atque hanc interpretationem confirmari existimat tum ex præcedenti Ἄσβεστον γέλον ὦρσε, tum ex sequenti ἡδὺ γέλασσαν, infrà *ver.* 358. At meliùs congruit *Eustathii* explicatio cum sequenti, —— ὄσσε δ' ἄρα σφέων Δακρυόφιν πίμπλαντο· γόον δ' ὠΐετο θυμός· Cæterùm *Euripides*, notante *Barnesio*, hujusmodi risum γέλωτα παρατεταληγμένον vocat;

Ἔλιξε δ' ἅμα γέλωτα παρατεταληγμένον.
Hercules Furens, *ver.* 935.

Vide et *Gataheri* Annotationes in *Antoninum*, *lib.* I. § 15.

Ibid. —— γελῶν.] *Al.* γελοίων.

Ver. 348. — ὄσσε δ' ἄρα σφέων.] Pronuntiabatur σφῶν. Similitèrque ὑμέων *ver.* 351. pronuntiabatur ὑμῶν. Vide ad *Il.* β'. 811.

Ver. 351. Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; &c.] Οὐχ ὁρᾶς τὰς μνηστῆρας νεανικαῖς ἡδοναῖς συνεξινομένους, πίονας αἶγας κατέδοντας, καὶ ἀπαλῶν ἐρίφων ἐμπεπλαμένους, καὶ αὐλῶν ἀκούοντας, καὶ οἶνον ἀπομισγομένους, καὶ δίσκοις τερπομένους, καὶ αἰγανέαις ἱέντας; Τίς ἂν ἂν αὐτὰς τῆς ἡδονῆς ταύτης ἐμπάρεσιν; Ἀλλὰ ὁ μαντικὸς καὶ γνωρισικὸς τῶν μέλλοντος λέγει· "Ἆ δειλοί, τί "κακὸν τόδε &c." παρὰ πόδας τὸ κακὸν, καὶ ἐγγύς. *Maximus Tyr. Dissertat.* XXXI. *haud longè à fine.* Vide et *Platonem* in *Ione*; ubi hunc locum adducit, et pro "Ἆ δειλοί," citat, Δαιμόνιοι.

Ibid. —— νυκτὶ μὲν ὑμέων Εἰλύαται κεφαλαί.] Similitèr *Virgilius* de *Marcello* brevi morituro;

Sed nox atra caput nigrâ circum volat umbrâ. *Æn.* VI. 866.

Ver. 352. Εἰλύαται.] Similitèr δίδηε et δεδάκρυνται, *ver.* 353. ἐρράδαται, *ver.* 354. ἐξαπόλωλε et ἐπιδίδρομεν, ver. 357. Vide ad *Il.* ά. 37. et ν'. 736.

Ibid. —— νέρθε τε γοῦνα.] Apud *Platonem*, loco suprà citato, νέρθε τε γοῦνα. Quam lectionem et præfert *Barnesius*,

Digitized by Google

Οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·
Αἵματι δ' ἐρράδαται τοῖχοι καλαί τε μεσόδμαι·
Εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλή, 355
Ἱεμένων Ἔρεβοσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
Οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρμεν ἀχλύς.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν·
Ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς. 360
Ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
Εἰς ἀγορὴν ἔρχεσθαι· ἐπεὶ τάδε νυκτὶ ἐίσκει.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Εὐρύμαχ', οὔτι σ' ἄναγα ἐμοὶ πομπῆας ὀπάζειν·
Εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω, 365
Καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής·

" Ululatus autem exarsit, lachrymisque oppletæ-sunt genæ;
" Sanguine verò conspersi sunt parietes pulchraque intercolumnia;
" Simulachris autem plenum *est* vestibulum, plenaque et aula, 355
" Properantibus in Erebum sub tenebras; Sol verò
" Ex cœlo periit; malaque incessit caligo."
Sic dixit: illi autem omnes super ipso suavitèr riserunt.
His autem Eurymachus, Polybi filius, incipiebat loqui;
" Desipit hospes nuper aliundè *huc* profectus. 360
" Sed ipsum statim, juvenes, domo emittite foràs
" In forum ut-eat; quoniam hæc nocti assimilat."
Hunc autem rursùs allocutus est Theoclymenus deo-par;
" Eurymache, nequaquam te jubeo mihi comites præbere:
" Sunt mihi oculique et aures et pedes ambo, 365
" Et mens in pectoribus facta nequaquam incongrua:

Ver. 353. 354. Οἰμωγὴ δὲ —— Αἵματι δ'.] Apud *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 13. citatur hæc *Theoclymeni* oratio, omissis hisce duobus versibus. Omitturque eorundem posterior apud *Platonem*, in *Ione*.

Ver. 354. —— ἐρράδαται.] Vide suprà ad *ver.* 150. et ad *Il.* β'. 314.

Ver. 356. —— ἠέλιος δὲ Οὐρανοῦ ἐξαπόλωλε.] *Al.* ἠέλιος τε. Cæterùm *Eustathius* hoc de verâ Solis Eclipsi accipi posse arbitratur. Ταῦτα δὲ, inquit, ὡς ἀπὸ ἡλίου ἐκλείψεως ὁ σοφὸς μάντις παθορᾷ. Et paulò inferiùs; Ἡ δὲ τοῦ ἡλίου ἔκλειψις, ὡς καὶ προδεδήλωται, οὐκ ἀπίθανος· οἷα γινομένη μὲν ἐν νεμεσίᾳ. Sed, ut opinor, minùs rectè. Prodigia enim hæc omnia Theoclymeno soli visa sunt; ut liquet ex sequenti *Eurymachi* oratione. Id quod et ipsum *Eustathium* non fugit. Porrò prodigii similis meminit *Lucanus;*

Ipse caput medio Titan cùm ferret Olympo,
Condidit ardentes atrâ caligine currus;
Involvitque orbem tenebris ——.
Pharsal. lib. I. *ver.* 540.

Similitèr et *Virgilius* de Sole, post *Cæsari* mortem;

Ille etiam extincto miseratus Cæsare Romam,
Cum caput obscurâ nitidum ferrugine texit. *Georgic.* I. 466.

Ubi et plura hujusmodi prodigia memorantur.

Ver. 362. —— ἐπεὶ τάδε νυκτὶ ἐίσκει.] Ἐοῖον δὲ, inquit *Eustathius*, ὅτι ἐν τῷ "ἐπεὶ τάδε νυκτὶ ἐίσκει" ἐοίκασι νομίζειν οἱ μαντῆρες οἴνῳ σφάλλεσθαι τὰς ὄψεις τῷ Θεοκλυμένῳ· ἐπεὶ καὶ ἀληθῶς πλανᾷ ὁ πολὺς οἶνος τὰς τῶν μεθυόντων ὄψεις. Atqui non *ebrius*, sed *mentis non compos* arguitur *Theoclymenus*, suprà *ver.* 360.

Ibid. —— ἐίσκει.] *Al.* ἴσκει, et ἐίσκεις.

Ver. 366. —— τετυγμένος οὐδὲν ἀεικής.] Vide ad *Il.* ζ'. 488. Τὸ δὲ "οὐδὲν ἀεικὲς" πρὸς τὸ "τετυγμένος" κολλῶσι, ἵνα εἴη τὸ ὑ τε[υγμένος ἀεικὴς. *Eustath.*

Digitized by Google

Τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
Ἐρχόμενον, τό κεν οὔτις ὑπεκφύγοι, οὐδ' ἀλέαιτο
Μνηστήρων, οἳ δῶμα κατ' ἀντιθέου Ὀδυσῆος
Ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε. 370
Ὣς εἰπὼν, ἐξῆλθε δόμων εὖ ναιεταόντων·
Ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
Μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες,
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες·
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων· 375
Τηλέμαχ', οὔτις σεῖο κακοξεινώτερος ἄλλος·
Οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
Σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
Ἔμπαιον, οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.

" Horum-ope exibo foràs, quoniam sentio malum vobis
" Ingruens, quod nemo subterfugere-possit, neque evitare
" Procorum, qui in domo deo-paris Ulyssis
" Viros contumeliâ-afficientes injusta machinamini." 370
Sic locutus, exivit ædibus ad-habitandum commodis:
Ivit autem ad Piræum, qui ipsum lubens suscepit.
Proci verò omnes se invicem intuentes,
Telemachum irritabant, de hospitibus ridentes:
Sic autem aliquis dicebat juvenum superborum; 375
" Telemache, nemo te pejorum-hospitum-exceptor alius;
" Qualem quidem quendam hunc habes mendicum erronem,
" Panis et vini indigentem; neque omninò operum
" Scientem, neque fortitudinis; sed incassùm pondus terræ.

Ver. 368. —— ὑπεκφύγοι.] Apud *Eustathium* in commentario, ὑπεκφύγῃ.

Ibid. —— ἀλέαιτο.] *Al.* ἀλέοιτο.

Ver. 371. Ὣς εἰπὼν, ἐξῆλθε δόμων.] Ἐξέρχεται ἤτοι ἐκ τῆς οἰκίας οἰκονομικῶς. *Schol.* ad *ver.* 357. suprà. Nè Procorum videlicèt cædi intersit.

Ver. 372. Ἵκετο δ' ἐς Πείραιον.] Cui nimirùm *Telemachus* eum excipiendum mandârat, suprà *ὁ.* 539. Uti et notavit *Barnesius.*

Ver. 374. Τηλέμαχον ἐρέθιζον.] *Al.* Τηλέμαχον θαύμαζον. Atque ita in commentario legisse videtur *Eustathius.*

Ver. 376. —— κακοξεινώτερος.] Κακῶν ξένων ὑποδοχεύς. *Schol.* Occurrit autem hæc vox apud *Dionysium*, Περιήγησ. *ver.* 742. sensu diverso;

—— μάλα γὰρ τε κακοξεινώτεροι ἄλλων.

Porrò observavit *Eustathius* in comment. ad *Iliad. ε'.* 446. *Odyss. β'.* 350. repugnare hanc vocem analogiæ Grammaticæ, quæ, ut scribatur κακοξεινότερος antepenultimâ brevi, propter præcedentem syllabam ξει productam, postulet. At rectè hîc notat *Barnesius*, ex κακόξενος rectè et secundum analogiam deduci κακοξενώτερος· indeque, more *Ionico*, κακοξεινώτερος· ut τιθηνεῶτος ex τιθηνῶτος· χαλκείη, ex χαλκίη· et similia Vide ad *Il. ζ'*, 464.

Ver. 377. —— ἔχεις.] *Al.* ἄγεις.

Ibid. —— ἐπίμαστον ἀλήτην.] Vocem ἐπίμαστον, quæ apud *Homerum* hoc tantùm in loco reperitur, *Scholiastes* interpretatur ἐπιμαστεύοντα καὶ ἐπιζητοῦντα. Similitèrque *Eustathius*; Ἐπίμαστος δὲ, inquit, ὁ ἐπαίτης, ὡς τροφὴν μαστεύων, ὅ ἐστιν ἐπιζητῶν. *Etymologicon* autem *Magnum*, à *Barnesio* citatum, aliam interpretationem affert; nempè, τὸν ἐκ παιδὸς, οἷον τὸν ἀπὸ μαστοῦ, ἐπαίτην.

Ver. 378. Σίτου καὶ οἴνου.] Ita Vulgati. *Barnesius* autem, nullis allatis Codicibus, de suo edidit, Οἴνου καὶ σίτου· itàque potiùs legendum contendit, " ob *Hiatum* importunum." Ratione, ut videtur, haud satìs idoneâ: præsertim si Οἶνος olim pronuntiabatur *Winos*; uti ad *Iliad. α.* 51. notatum est.

Ver. 379. Ἔμπαιον, οὐδὲ βίης.] Videtur vox Ἔμπαιον penultimam hîc corripere eâdem ratione ac τίν, οἷος, ἐπεὶ, &c. Vide suprà ad *ver.* 89. et ad *Il. ν'.* 103. et *ὁ.* 24. *Eustathius* autem ἔμπαιον pro *Spondæo* hîc habendum arbitratur, Ἔνταῦθα (inquit)

Digitized by Google

Ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι. 380
Ἀλλ' εἴ μοι πείθοιο, τό κεν πολὺ κέρδιον εἴη·
Τοὺς ξείνους ἐν νηῒ πολυκληΐδι βαλόντες
Ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι.
Ὣς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων·
Ἀλλ' ἀκέων πατέρα προσεδέρκετο, δέγμενος αἰεὶ, 385
Ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.
Ἡ δὲ κατάντησιν θεμένη περικαλλέα δίφρον
Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια,
Ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουε.
Δεῖπνον μὲν γάρ τοί γε γελοίωντες τετύκοντο, 390
Ἡδύ τε καὶ μενοεικὲς, ἐπεὶ ῥάλα πόλλ' ἱέρευσαν·
Δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
Οἷόν δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
Θησέμεναι· πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

" Alius autem demùm quidam hic surrexit ad-vaticinandum. 380
" Sed si mihi parueris, quod multò satius fuerit;
" Hospites in navim multis-transtris-instructam conjectos
" Ad Siculos mittamus, undè *quis* dignum-pretium referat."
Sic dixerunt proci: ille verò non curabat verba;
Sed tacitè patrem intuebatur, expectans semper, 385
Quandò demùm procis impudentibus manus inferret.
E-regione autem ubi posuerat perpulchram sellam
Filia Icarii prudens Penelope,
Virorum in ædibus uniuscujusque sermonem audiebat.
Prandium etenim illi ridentes fecerunt, 390
Suaveque et gratum, quippè valdè multa mactârant:
Cœnâ verò nequaquam injucundior alia fieri posset,
Qualem sanè mox erant dea et fortis vir
Facturi: priores enim *proci* indigna machinabantur.

—— μετρητήτον τὴν λέξιν κατὰ πόδα Σπονδεῖον ἐκ συνιζήσεως. Sed hoc quà ratione fieri possit equidem non video. Porrò vocem hanc interpretantur *Scholiastes* et *Eustathius* ἄμετρον. Atque ita infrà φ'. 400.

—— κακῶν ἴκαριος ἀλήτης.

Ibid. —— ἀλλ' αὔτως ἄχθος ἀρούρης.] Παροιμιώδες μὲν ἐστὶν, ὑποδηλοῖ δὲ τὸν βυγάϊον. *Eustath.* Ita de se ipso *Achilles*, *Iliad.* σ'. 104.

Ἀλλ' ἦμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης.

Similitèr apud *Nicandrum*, Θηριακῶν *ver.* 9.

Ἑρπηστὰς τ', ἔχιας τε, ἠὲ ἄχθεα μυρία γαίης.

Et apud *Platonem* in *Theeteto*; Ὅτι ἐ λῆροι εἰσὶ, γῆς ἄλλως ἄχθη, ἀλλ' ἄνδρες ὦ'c.

Ver. 380. —— μαντεύεσθαι.] *Al.* μαντεύσασθαι.

Ver. 381. —— εἰ μοι πείθοιο.] *Al.* εἰ μοι τι πίθοιο, et εἰ δὴ τι πίθοιο.

Ver. 383. Ἐς Σικελὸς πέμψωμεν.] Ἐγινώσκετο ἄρα τὰ κατὰ τὸς Σικελὸς· ὐκ εἰκὸς ὖν ἔκεῖ τὴν πλάνην γεγονέναι. Διαφέρουσι δὲ Σικελιῶται Σικελῶν· οἱ μὲν γὰρ Ἕλληνες, οἱ δὲ βάρβαροι. *Schol.*

Ibid. —— ὅθεν κε τοι ἄξιον ἄλφοι.] Vir eruditus *Tho. Bentleius* in uno MS. reperit, ὅθεν κε τις ἄξιον ἄλφοι. Quæ fortè et verior lectio. Nam alioqui videtur istud ἄλφοι non habere quò referatur: De duobus enim hospitibus hîc loquitur Poëta, uti annotavit *Barnesius*. Quod indè infert ille, nempè necesse esse, " ut τὸ ἄξιον sit Casus *Rectus*, et " ἄλφοι *Passivè* capiatur: id verò, apud *Homerum*, exemplo caret. Ubi enim occurrit vox ἄλφοι, suprà ὁ. 452. ρ'. 250. (quibus solis in locis apud Poëtam, hoc excepto, reperitur); sensu *activo* planè usurpatur.

Ver. 387. —— κατάντησιν.] Ἀντικρὺ τῦ ἀνδρῶνος, ἐν τῇ γυναικωνίτιδι. *Schol.* *Al.* κατ' ἄντησιν et καταντικρὺ.

Ver. 390. —— γελοίωντες.] *Al.* γελόντες et γελῶντες. Vide suprà ad *ver.* 347.

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Φ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Φ'.

ΠΗΝΕΛΟΠΗ τῷ τείνοντι τὸ τόξον ὁμολογεῖ τὸν αὐτῆς γάμον. Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας, αὐτὸς ἀφίησι τὸ βέλος διὰ τῶν πελέκεων, ἄλλῳ τείναντος τὸ τόξον μὴ δυνηθέντος.

Ἐπιγραφαί.

Τόξου θέσις.

Ἄλλως,

Φοῖβος βιὸν προτίθησιν ἄεθλον Πηνελοπείῃ.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
Κούρῃ Ἰκαρίοιο περίφρονι Πηνελοπείῃ
Τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον,
Ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια, καὶ φόνου ἀρχήν.

LIB. XXI.

CÆterùm in mentem posuit dea cæsia-oculis Minerva
Filiæ Icarii prudenti Penelopæ,
Arcum procis ponere, canumque ferrum,
In ædibus Ulyssis, certamina, et cædis principium.

Ver. 1. Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε.] Τὸ "δὲ," inquit *Scholiastes*, ἀντὶ τοῦ "γάρ." Malè admodùm. Quidni enim et scribere potuisset *Homerus* (si id rectius fuisset), Τῇ γὰρ ἐπὶ φρεσὶ θῆκε. Cæterùm vocula ἄρ' vim habet in sententiâ connectendâ cum eo quod præcessit suprà σ'. 572. *&c.* ubi consilium certaminis hujus Procis proponendi enarrabat Hospiti Penelope. Ad quod quidem consilium exequendum, tempus jam idoneum eivisum est. Τίθησι δὲ τὸ τόξον, ἵνα ἐὰν μὲν τελέως ἐντείνωσι, φασιάσωσιν· ἐὰν δὲ μηδεὶς, ἀνάξιοι τῆς μνηστείας φάνωσιν. *Schol.*

Ibid. —— ἐπὶ φρεσὶ θῆκε θεὰ.] Ita ex Editionibus compluribus rectè edidit *Barnesius*: Ita enim in omnibus legitur suprà ί. 427. σ'. 157. ubi idem ferè versus occurrit. *Henricus Stephanus* aliique ediderunt ἐπὶ φρεσὶ θεὰ θῆκε. Quod etsi ferri posset, (pronuntiando videlicet θᾶ) multò tamen minus est numerosum.

Ver. 3. Τόξον μνηστήρεσσι θέμεν.] Hinc inscriptus hic liber, Τόξου θέσις· notante *Eustathio*.

Ibid. —— πολιόν τε σίδηρον.] Λέγει δὲ νῦν σίδηρον τοὺς προρρηθέντας πελέκεας. *Eustath.* Vide suprà σ'. 573.

Digitized by Google

Κλίμακα δ' ὑψηλὴν προσεβήσατο οἷο δόμοιο· 5
Εἵλετο δὲ κληῖδ' εὐκαμπέα χειρὶ παχείῃ
Καλὴν, χαλκείην· κώπῃ δ' ἐλέφαντος ἐπῆεν.
Βῆ δ' ἴμεναι θάλαμονδε, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Ἔσχατον· ἔνθα δέ οἱ κειμήλια κεῖτο ἄνακτος,
Χαλκός τε, χρυσός τε, πολύκμητός τε σίδηρος. 10
Ἔνθα δὲ τόξον ἔκειτο παλίντονον, ἠδὲ φαρέτρη
Ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί·
Δῶρα, τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας,
Ἴφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισι.
Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν, 15

Scalam autem altam ascendit suæ domûs; 5
Sumpsitque clavem benè-flexam manu crassâ
Pulchram, æream; manubrium autem eboris inerat.
Perrexit verò ire in-thalamum, cum famulis mulieribus,
Intimum; illic nempè ei thesauri jacebant regis,
Æsque, aurumque, valdèque elaboratum ferrum. 10
Ibi autem arcus jacebat reflexus, et pharetra
Sagittifera; multæque inerant luctuosæ sagittæ:
Dona, quæ ei hospes Lacedæmone dedit obvius-factus,
Iphitus Eurytides, similis immortalibus.
Hi nempè in Messenâ occurrerunt sibi-invicem, 15

Ver. 5. Κλίμακα δ' ὑψηλὴν.] Τὴν ἐκ τῆς [Ita *Barnesius* ex MS. pro Τὴν αὐτῆς] γυναικωνῖτιδος εἰς τὴν ἀποθήκην· ἵνα τὴν κλεῖν λάβῃ. *Schol.*

Ibid. —— προσεβήσατο.] *Al.* προσεβήσετο.

Ver. 6. —— εὐκαμπέα.] Vide ad *Il.* ό. 463. et α'. 85.

Ver. 7. Καλὴν, χαλκείην.] Χαλκείην δὲ, ὁ τὴν ἐκ σιδήρου, κατὰ τὸ χάλκεια ὅπλα, ἀλλὰ τὴν αὐτόχρημα χαλκῆν· διὸ καὶ καλὴν αὐτὴν ἔφη ὅ καὶ μᾶλλον προκαλεῖται γραφὴν ἱστίαν τὴν ἐν σισὶν Ἀνιβράφοις, ἤγουν τὸ, "Καλὴν, χρυσείην·" χρυσῷ γὰρ μάλιστα οἰκεῖον τὸ Καλὸν. *Eustath.* "Et *Aurum* (inquit *Barnesius*) aptiùs *Ebori* "jungitur; quare χρυσείην omnino legen-"dum." Atque ita quidem ipse edidit. Sed Textui mutando haud satìs idoneæ videntur hæ rationes. Vide et ad *Il.* γ'. 380.

Ibid. —— κώπῃ δ' ἐλέφαντος ἐπῆεν.]

—— atque ensem collo suspendit *eburnum.* *Æn.* XI. 11.

Ver. 9. —— ἔνθα δὲ οἱ κειμήλια κεῖτο ——. Χαλκός τε, χρυσός τε.]

Est domus alta; jacent penitùs defossa talenta
Cælati argenti; sunt auri pondera facti,
Infectique mihi ——. *Æn.* X. 526.

Ver. 10. —— πολύκμητος τε σίδηρος.] Τοῦ ὃ πολλὰ κάμνουσιν. *Schol.* Πολύκμητος δὲ σίδηρος, ἴσως μὲν ὁ ἀπεργασθεὶς, περὶ ᾧ πολλὰ ἐστὶ καμεῖν. Μάλιστα δὲ, ὁ ἐς ἔργα χαλκευθεὶς πολλῷ καμάτῳ. Εἰ δὲ καὶ τοιούτοις ξίφη ἐστὶ τὰ τοιοῦτα ἔργα, λέγεται τὰ τοιαῦτα πολύκμητος σίδηρος, διὸ ὃ πολλοὶ ἂν κάμοιεν, ὁ ἐστὶ θάνοιεν. *Eustath.* Potissima videtur secunda *Eustathii* explicatio; nempè, ὁ ἐς ἔργα χαλκευθεὶς πολλῷ καμάτῳ· Occurrit enim vox πολύκμητος *Odyss*, σ'. 718. ubi secundum reliquas interpretationes accipi nullo modo potest:

—— ἐπ' ὐδῦ ἵζε πολυκμήτῳ θαλάμῳ.

Ver 11. Ἔνθα δὲ τόξον ἔκειτο.] Περισσοτέρως, ὅτι ἐν τῷ ἀνδρῶνι· ἵνα μὴ ὑπὸ τῶ κατὰ ἡ νύκτα ῥαγῇ. *Schol.* *Al.* τόξον κεῖτο.

Ver. 13. —— Λακεδαίμονι δῶκε τυχήσας.] Νῦν ἐν τῇ χώρᾳ, *Schol.* Ὅτι δὲ Λακεδαίμων ὁμωνύμως λέγεται, καὶ ἡ χώρα καὶ ἡ πόλις, δηλοῖ καὶ Ὅμηρος· λέγω [*Al.* λέγων] δὲ χώραν ἐν τῇ Μεσσηνίᾳ· περὶ μὲν δὴ τῶν τόξων ὅτιαν λέγω· "Δῶρα, τὰ οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυ-"χήσας, Ἴφιτος Εὐρυτίδης·" Εἶτ' ἐπάγει, "Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν, "Οἴχω ἐν Ὀρσιλόχοιο." [*ver.* 15.] *Strabo, Geograph. lib.* VIII. *pag.* 565. *al.* 367. Vide suprà ad δ'. 1. et infrà ad *ver.* 15. *hujus libri.*

Ver. 14. 22. 37. Ἴφιτος — Ἴφιτον.] Vide ad *Il.* β'. 518.

Ver. 15. — Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην.] Τῇ Μεσσηνιάᾳ χώρᾳ, ἥτις ἦν μέρος τῆς Λακεδαίμονος, πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου. *Schol.* Τῆς Φηρῆς τὴν χώραν λέγει, ἧς μέρος

Digitized by Google

Οἴκῳ ἐν Ὀρσιλόχοιο δαΐφρονος· ἤτοι Ὀδυσσεὺς
Ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε·
Μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρεε ἄειραν
Νηυσὶ πολυκλήϊσι τριηκόσι', ἠδὲ νομῆας.
Τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς, 20
Παιδνὸς ἐών· πρὸ γὰρ ἦκε πατὴρ, ἄλλοι τε γέροντες.
Ἴφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο,
Δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί·
Αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο·
Ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον 25
Φῶθ' Ἡρακλῆα, μεγάλων ἐπιΐστορα ἔργων,

Domo in Orsilochi prudentis: sanè Ulysses
Ivit propter debitum, quod ei totus populus debebat:
Oves enim ex Ithacâ Messenii viri sustulerant
Navibus multa-transtra-habentibus trecentas, et pastores.
Horum gratiâ in-legationem multam viam venit Ulysses, 20
Adolescens cùm-esset; emisit enim pater, aliique senes.
Iphitus ex-alterâ parte equas quærens, quæ ei perditæ erant,
Duodecim fœminæ, sub *iis*que mulæ patientes operum:
Quæ sanè ei et posteà cædes et fatum factæ sunt:
Postquam ad Jovis filium pervenit magnanimum 25
Virum Herculem, magnorum scientem operum;

ἦν ἡ Μεσσηνία· [*Al.* ἡ μέρος ἦν τῆς Μεσσηνίας.] Οὐ διήνυγμεν ὧν αὐτῷ καὶ ὅπως εἰπεῖν· "—— ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας" καὶ, "Τὸ δ' ἐν Μεσσήνῃ ξυμβλήτην." "Οτι γὰρ αἱ Φηραὶ εἰσὶν τῷ Ὀρσιλόχου ὁ οἶκος, δῆλον· "Ἐς Φηρὰς δ' ἵκοντο, Διοκλῆος ποτὶ δῶμα, "Τίλος Ὀρσιλόχοιο." [suprà γ'. 488. ὁ. 186.] ὅ τι Τηλέμαχος καὶ ὁ Πεισίστρατος. Αἱ δὲ Φηραὶ τῆς Μεσσηνίας εἰσὶν. *Strabo*, loco suprà citato. Vide et *Pausanias*, *Messenica*, *lib.* IV. *cap.* 1.

Ibid. —— ἀλλήλοιϊν.] Apud *Strabonem*, loco suprà citato, ἀλλήλοισιν· Quod perindè est.

Ver. 16. Οἴκῳ ἐν Ὀρσιλόχοιο.] Ἐν Φεραῖς. *Schol.* Vide ad *ver.* 15. Porrò Vulgati hîc legunt Ὀρσιλόχοιο· *Barnesius* autem edidit Ὀρσιλόχοιο· quo modo in vulgatis scribitur *Iliad.* ί. 542. 546. 547. 549. *Odyss.* ὁ. 187. Atque ita legitur apud *Strabonem*, loco suprà citato. Quanquam *Strabonis* MS. notante *Casaubono*, alteram scribendi rationem semper sequitur. Quod et facit *Pausanias*, loco suprà adducto. Vide suprà ad γ'. 489.

Ver. 17. —— τὸ ῥὰ.] *Quod scilicèt* ——.

Ibid. —— ὄφελλε.] Apud *Eustathium*, ὄφειλε.

Ver. 20. —— ἐξεσίην.] Δημοσίαν ἔκπεμψιν.] *Schol.* Ita *Iliad.* ώ. 234.

—— ἢ οἱ Θρῆκες πόρον ἄνδρες
Ἐξεσίην ἰλθόντι ——,

Ver. 21. —— πρὸ γὰρ ἦκε πατὴρ.] Vide ad *Il.* ά. 442.

Ver. 22. 24. Ἴφιτος αὖθ' ἵππους διζήμενος. —— Αἳ δὴ οἱ καὶ ἔπειτα φόνος.] Ἴφιτος, Εὐρύτου μὲν παῖς, Οἰχαλιεὺς δὲ τὸ γένος, ἀπολωλεμένων αὐτῷ τῶν ἵππων, περιήει [Ita *Barnesius* ex MS. pro περιῇ] τὰς πέριξ ἱστορῶν πόλεις, εἴπερ φανεῖεν. Πολυΐδου δὲ τοῦ πάντως εἰπόντος αὐτῷ μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, ἐ γὰρ εἶναι συμφέρον· λέγεται παρακούσαντα παραγενέσθαι. Τὸν δὲ Ἡρακλέα μηχανῇ τινὶ καὶ στρατηγίᾳ συνεφιλονεικήσαντα αὐτὸν ἄγειν εἰς ἐπίκρημνον τεῖχος, καὶ καταστρέψαι, διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα, καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον, τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν, ἀλλ' ἀτιμάσαντες ἀπέστειλαν. —— Ἡ ἱστορία παρὰ Φερεκύδῃ. *Schol.* Aptiùs tamen cum Poëtæ narratione convenire videtur quod conjicit *Spondanus*; nempè Iphitum ideò ab Hercule interfectum, "nè resciscerent eas equas penes "eum esse."

—— ἵπεστα δὲ πέριξ καὶ αὐτὸν·
Ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισιν. Infrà *ver.* 29.

Ver. 25. Ἐπειδὴ Διὸς υἱὸν.] Vide suprà ad μ'. 423. et ad *Il.* ψ'. 2.

Ver. 26. Φῶθ' Ἡρακλῆα.] Vide ad *Il.* γ. 194.

Ibid. —— μεγάλων ἐπιΐστορα ἔργων.] Μεγαλουργὸν, ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον, ἐπιστή-

Digitized by Google

Ὃς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ·
Σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τράπεζαν,
Τὴν δή οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν·
Ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι. 30
Τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο· δῶκε δὲ τόξον,
Τὸ πρὶν μέν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὁ παιδὶ
Κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσιν.
Τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ, καὶ ἄλκιμον ἔγχος ἔδωκεν,
Ἀρχὴν ξεινοσύνης προσκηδέος· οὐδὲ τραπέζῃ 35
Γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
Ἶφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν·

Qui ipsum, hospes cùm-esset, interfecit suâ in domo:
Iniquus, neque deorum vindictam reveritus est, neque mensam,
Quam jam ei apposuerat; posteà autem occidit et ipsum:
Equas verò ipse habuit solidas-ungulis in ædibus. 30
Has quærens Ulyssi obvius-factus est; dedit autem arcum,
Quem anteà quidem gestabat magnus Eurytus; at is filio
Reliquit moriens in ædibus excelsis.
Illi verò Ulysses ensem acutum, et validam hastam dedit,
Principium hospitii necessarii; neque mensâ 35
Cogniti sunt inter se: priùs enim Jovis filius interfecit
Iphitum Eurytidem, similem immortalibus;

μένα. *Schol.* Καὶ τὸν Ἡρακλέα εἰκὸς ἀπὸ τῆς πολλῆς ἱμαστειρίας τε καὶ ἱστορίας λεχθῆναι "Μεγάλων ἐπίστορα ἔργων." *Strabo, Geograph. lib.* I. *pag.* 17. *al.* 9.

Ver. 27. Ὃς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ· Σχέτλιος, &c.] Ἡ συνήθεια τοῖς ἀνθρώποις μίαν δίκαιον, τῷ μηθὲν ἀδικεῖν, καὶ σπονδαὶ καὶ τράπεζαι. Τὸν Εὔρυτον ἀπέκτεινεν ὁ παρ' αὐτῷ ξενισθεὶς·

"Σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τράπεζαν
"Τὴν, ἣν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν." *Dio, Orat.* 74.

"Cujus tanti sceleris fuerit, in conspectu "Deorum [illegible]natium necare hospitem?" *Cicero, Orat. pro Deiotaro.*

——— et penetralia
Sparsisse nocturno cruore
Hospitis ———.
Horat. Carm. lib. II. *Od.* xiii. *ver.* 6.

Ver. 28. Σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ'.] Hinc *Hesiodus*;

Σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες ———.
Ἔργ. καὶ Ἡμερ. I. 185.

Ubi rectè observat *Barnesius*, istud εἰδότες, vim. *Homerici* ᾐδέσατ' minimè attigisse. Vide suprà ad τ'. 360. item ad ξ'. 82. et ad *Il.* α'. 388.

Ver. 29. Τὴν δή οἱ παρέθηκεν.] *Al.* Τὴν, ἣν οἱ παρέθηκεν. Atque ita legit MS. à *Tho. Bentleio* collatus; item *Dio*, loco suprà citato.

Ver. 30. Ἵππους δ' αὐτὸς ἔχε.] Τὰς δὲ ἱππέσας ἵππους εἶχεν Ἡρακλῆς, οὐκ αὐτὸς ἢ λησάμενος ἢ ὑφελόμενος, ἀλλ' ἱπέρωθεν κλέμμα λαζών· Αὐτόλυκος γὰρ, φασὶν, ὁ Ἑρμῆ, κλέψας τὰς Εὐρύτου ἵππους, πέπρακε τῷ Ἡρακλεῖ. *Eustath.*

Ibid. ——— κρατερώνυχας.]

——— solido ——— ungula cornu.
Virgil. Georgic. III. 88.

Ver. 32. ——— μὲν ῥ' ἐφόρει.] *Al.* μὲν ἐφόρει. Vide ad *Il.* α'. 51.

Ibid. ——— μέγας Εὔρυτος.] Ἐπὶ τοξικῇ· *Schol.* Vide suprà ad θ'. 224. 226.

Ibid. — παιδὶ.] *Al.* παιδὸς. Minùs rectè.

Ver. 35. ——— προσκηδέος.] Τῆς φιλίας κηδεμονικῶς ἔχειν πρὸς ἀλλήλους. *Schol. Barnesius* aliique minùs rectè vertunt. "Dolo-"rosæ."

Ver. 36. Γνώτην ἀλλήλων.] Ita *Henricus Stephanus*, *Barnesius*, et Editiones plurimæ. Atque ita in Exemplarium accuratioribus legi testatur *Eustathius*; ἵνα λέγῃ ὅτι γνῶσιν ἴσχον ὁ εἷς τῷ ἑτέρῳ. Firmatur porrò hæc lectio ex ψ'. 108. 109. infrà, ubi eadem phrasis occurrit;

——— ἢ μάλα νῶϊ
Γνωσόμεθ' ἀλλήλων καὶ λώϊον ———.

Al. Γνώτην ἀλλήλω.

Digitized by Google

Ὅς οἱ τόξον ἔδωκε· τὸ δ' οὔποτε δῖος Ὀδυσσεὺς,
Ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν,
Ἠρεῖτ'· ἀλλ' αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
Κέκλετ' ἐνὶ μεγάροισι· φόρει δέ μιν ἧς ἐπὶ γαίης.
Ἡ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυναικῶν,
Οὐδόν τε δρύϊνον προσεβήσατο, τόν ποτε τέκτων
Ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ σταθμὴν ἴθυνεν,
Ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς·
Αὐτίκ' ἄρ' ἥγ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
Ἐν δὲ κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας,
Ἄντα τιτυσκομένη· τὰ δ' ἀνέβραχεν, ἠΰτε ταῦρος
Βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα
Πληγέντα κληῖδι, πετάσθησαν δέ οἱ ὦκα.
Ἡ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ, ἔνθα δὲ χηλοὶ
Ἔστασαν· ἐν δ' ἄρα τῆσι θυώδεα εἵματα κεῖτο.

Qui ei arcum dedit: hunc autem nunquam nobilis Ulysses,
Proficiscens ad bellum nigris in navibus,
Capiebat; sed ibi monimentum hospitis dilecti
Jacebat in ædibus; gestabat verò *is* ipsum suâ in terrâ.
Quandò autem demùm ad thalamum hunc pervenit nobilissima mulierum,
Limenque quernum ascendit, quod quondam faber
Polivit scitè, et ad perpendiculum exegit:
In *eo* verò postes aptavit, foresque apposuit splendidas:
Statim deindè illa lorum citò resolvit annuli,
Clavemque immisit, foriumque repulit pessulos,
Ex-adverso collimans: hæ autem resonuerunt, velut taurus
Pascens prato; tantum sonuerunt pulchræ fores
Pulsæ clavi, apertæque sunt ei citò.
Ipsa verò altum tabulatum ascendit, ubi scilicèt arcæ
Stabant; in iis verò odoriferæ vestes jacebant.

Ver. 38. Ὅς οἱ τόξον ἔδωκε.] Τρίτον εἴρηκε τὴν δόσιν, ἐπὲι διὰ μέσε τινὰ παραδιηγεῖται. *Schol.* Cæterùm *Barnesius* et hîc et infrà *ver.* 54. legendum conjicit, Ὅς ῥ' οἱ. Sed nihil opus. Vide ad *Il. α.* 51.

Ver. 41. Κέκλετ' ἐνὶ μεγάροισι.] *Al.* Κέκλετο ἐν μεγάροις.

Ver. 43. —— προσεβήσατο.] *Al.* προσεστήσατο.

Ver. 46. —— ἱμάντα θοῶς ἀπέλυσε κορώνης.] Τὸ κλεῖθρον ἐκπετάσθειν ἐξήστητο πρὸς πέλεον, ὥστε δ' ἔ διελκομένε ἐς τἐναντίον ἀνοίγεσθαι. *Schol.* Porrò in Vulgatis hîc legitur κορώνῃ· *Barnesius* autem ex Editionum vetustiorum nonnullis, et ex Scholiorum MSto quodam, edidit κορώνης. Atque ita habet MS. à *Tho. Bentleio* collatus.

Ibid. —— κορώνης.] Κρίκε, κόρακος. *Schol.*

Ver. 47. Ἐν δὲ κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας, Ἄντα τιτυσκομένη.] Ὀχῆας δὲ, φασὶν, ὁ τοὺς ἔνδον μοχλὸς, — ἀλλὰ τὰς λεγομένας βαλάνυς τὰς ἐν τῷ χειλωνίῳ καταλήκρυ τῆς κλειδὸς· αἱ περιάγονται, φασὶ, καὶ ἀνοίγονται. Δοκοῦσι δὲ εἶναι αὗται, ἃς νῦν διαδρόμυς φαμὲν· διὸ καὶ ἄντα τιτύσκεται, δηλαδὴ κατεστοχάζεται τῶν βαλάνων ἐν τῷ ἀνοίγειν, ὡς ἂν αἱ βάλανοι (φασὶν) ἀντίαι γένωνται τοῖς γόμφοις τῆς κλειδὸς· ἵνα λέγῃ ὅτι ἐνῆκεν ἡ Πηνελόπη, τὴν κλεῖδα, καὶ ἀνέκοπτεν ἤγεν ἀνέκρυεν, ἀνώθει, τὰς βαλάνυς, τιτυσκομένη, ὡς εἴρηται. *Eustath.* Ubi de hâc re plura.

Ver. 48. 49. — τὰ δ' ἀνέβραχεν, — τόσ' ἔβραχε.] Ὅμηρος δὲ σιμνῶς ἅμα καὶ προσφυῶς μεγάλης θύρας εὖ ἀραρυίας τρισμὸν τραχὺν τῇ φράσει μιμούμενος, οὔτε ἄφωνον τι παρείληφε κατὰ τὰ ψιλὰ, οὐδὲ ἀμετάζολον ἰσχυόφωνον, ἀλλ' εὐγενῶς ἐπελίξατο τὸ "ἀνέβραχε." *Eustath.* Vide ad *Il. δ.* 455.

Ver. 50. Πληγέντα.] Vide ad *Il. β'.* 314. et *γ'.* 31.

Digitized by Google

Ἔνθεν ὀρεξαμένη, ἀπὸ πασσάλου αἴνυτο τόξον
Αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινός.
Ἕζομένη δὲ κατ' αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα, 55
Κλαῖε μάλα λιγέως· ἐκ δ' ἧρεε τόξον ἄνακτος.
Ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
Βῆ ῥ' ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυοὺς,
Τόξον ἔχουσ' ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
Ἰοδόκον· πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί. 60
Τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον· ἔνθα σίδηρος
Κεῖτο πολὺς, καὶ χαλκὸς, ἀέθλια τοῖο ἄνακτος.
Ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα. 65
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη·
Αὐτίκα δὲ μνηστῆρσι μετηύδα, καὶ φάτο μῦθον·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
Ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ,

Illinc manu-porrectâ, à clavo cepit arcum
Cum ipsâ thecâ, quæ ei circumdata-erat splendida.
Sedensque ibidem, charis genibus ubi-imposuerat, 55
Flebat admodùm stridulè; eduxitque arcum regis.
Hæc autem postquam satiata est lachrymoso luctu,
Perrexit utique ire in-domum ad procos eximios,
Arcum tenens in manu reflexum, et pharetram
Sagittiferam; multæ verò inerant luctuosæ sagittæ. 60
Simul autem cum eâ ancillæ portabant cistam; ubi ferrum
Jacebat multum et æs, certamina regis.
Quandò autem demùm ad procos pervenit nobilissima mulierum,
Stetit utique ad postes domûs affabrè structæ,
Genis obtendens nitida redimicula. 65
Ancilla verò ei honestą utrinque astitit:
Statim autem *ea* inter procos locuta est, et dixit sermonem;
" Audite me, proci eximii, qui in hanc domum
" Ingruistis ad comedendum et bibendum assiduè semper,

Ver. 54. Αὐτῷ γωρυτῷ.] Τῇ θήκῃ τῦ τόξυ. *Schol.*

Ver. 55. Ἕζομένη δὲ κατ' αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα.] *Al.* καταῦθι. Quam lectionem rejiciendam prorsùs existimans *Henricus Stephanus*, ipse præpositionem κατὰ ad sequens θεῖσα referri vult, ut sit " κατ' αὖθι " θεῖσα pro καταθεῖσα αὖθι, ut (infrà *ver.* " 90.) κατ' αὐτόθι τόξα λιπόντε pro καταλι- " πόντε αὐτόθι." Ac illo quidem in loco κατ' αὐτόθι λιπόντε omninò est καταλιπόντε αὐτόθι· at hìc præpositio κατὰ cum Ἕζομένη potiùs conjungenda est, ut sit Καθιζομένη αὖθι· sequens enim θεῖσα ad ἐπὶ referendum est, pro γούνασι ἐπιθεῖσα.

Ibid. —— φίλοις ἐπὶ γούνασι θεῖσα, Κλαῖε.] Similitèr *Apollonius de Medeâ*;

Ἦ, ᾗ φωριαμὸν μετεκίαθεν, ᾧ ἐνὶ πολλὰ
Φάρμακα οἱ, τὰ μὲν ἐσθλὰ, τὰ δὲ ῥαιστήρι ἔκειτο·
Ἐνθεμένη δ' ἐπὶ γούνατ' ἐδύρετο ——.
Argonaut, lib. II. 801.

Ver. 58. Βῆ ῥ' ἴμεναι.] *Al.* Βῆ ῥ' ἴμεν' ἐς.

Ver. 61. —— ὄγκιον.] Ἐπὶ μὲν τῶν ἄπαξ εἰρημένων ἡ λέξις· σημαίνει δὲ ἀγκεῖον κιστοειδὲς, [Ita *Barnesius* pro vulgato σχιστοειδὲς], ἐν ᾧ ἔγκειντο οἱ ὄγκοι· ὄγκοι δὲ εἰσὶν οἱ πώματες τῶν ἀκίδων. *Schol. Al.* ὀγκίον.

Ibid. —— ἔνθα σίδηρος Κεῖτο πολὺς, καὶ χαλκὸς.] Ὡς ἐν τῷ τοιούτῳ κεῖσθαι κατὰ περιοχὴν ᾗ τὰς δηλωθέντας πελίκας. *Eustath.*

Ver. 66. Ἀμφίπολος δ' ἄρα οἱ &c.] Deest hic versus in MS. à *Tho. Bentleio* collat.

Digitized by Google

Ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν' ἄλλην 70
Μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,
Ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι, θέσθαι τε γυναῖκα.
Ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον·
Θήσω γὰρ μέγα τόξον Ὀδυσῆος θείοιο·
Ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι, 75
Καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
Τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
Κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
Τοῦ ποτε μεμνήσεσθαι ὀΐομαι, ἔνπερ ὀνείρῳ.
Ὣς φάτο· καί ῥ' Εὔμαιον ἀνώγει, δῖον ὑφορβὸν, 80
Τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον.
Δακρύσας δ' Εὔμαιος ἐδέξατο, καὶ κατέθηκεν·
Κλαῖε δὲ βουκόλος ἄλλοθ', ἐπεὶ ἴδε τόξον ἄνακτος.

" Viro absente multo tempore; neque ullum alium 70
" Tumultûs facere prætextum potuistis;
" Nisi me cupientes ducere, facereque uxorem.
" Sed agite, proci, quoniam hoc apparet certamen;
" Deponam enim magnum arcum Ulyssis divini:
" Qui autem facillimè intenderit arcum in manibus, 75
" Et sagittam-miserit per secures duodecim omnes,
" Hunc unâ secuta fuero, relictâ hâc domo
" Juventutis-meæ, perpulchrâ, plenâ victu;
" Cujus aliquandò recordaturam *me* puto, vel in somnio."
Sic dixit; et Eumæum jussit nobilem subulcum 80
Arcum procis deponere, canumque ferrum.
Lachrymans verò Eumæus accepit, et deposuit:
Flebat autem bubulcus ex-alterâ-parte, postquam vidit arcum regis.

Ver. 71. Μύθου ποιήσασθαι ἐπισχεσίην.] Ἐν δὲ τῷ, "Μύθου ἐπισχεσίην," οἱ Παλαιοὶ μῦθον μὲν ἐνταῦθα ἰδίως τὴν φάσιν λέγουσιν· ἐπεὶ καὶ Ἀναπρίων τὰς ἐν Σάμῳ θέλων ἀπεῖν φασιφὰς, "Μυθηταὶ δ' ἐν νηοῖ, (φησὶ), διέπουσιν ἱερὸν ἄφυ." (*ver.* 1231.) ἀντὶ τοῦ φασιφὰ ἐπίρρημα. — Ἐπισχεσίαν δὲ, τὴν προφασιν· ἐπείπερ οἱ προφασιζόμενοι ἐπίχουσιν, ὃ ἐστὶ μένουσιν, ἐννοούμενοι τί ἂν εἴποιεν. *Eustath.* Eodem modo exponit *Scholiastes*. *Barnesius* autem μύθῳ hoc in loco per πράγματος exponendum censet.

Ver. 72. —— ἱμὲ ἱέμενοι.] *Al.* ἱμὲ δ' ἱέμενοι.

Ibid. —— γῆμαι.] Vide suprà ad λ'. 272.

Ver. 73. —— ἐπεὶ τόδε φαίνετ' ἄεθλον.] Τὸ ἱμὲ γῆμαι. *Schol.* Eodem modo explicat et *Eustathius*. At fortassè per ἄεθλον hîc intelligetur Arcûs certamen, Procis à *Penelope* jam proponendum. Vide infrà ad *ver.* 91. 135. et 180. item suprà ad σ'. 572. Vide autem et infrà ad *ver.* 106.

Ver. 76. — διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων.] Εἰ γὰρ ἐν μέσοις ἐστὶ τὸ βέλος, ἔξαθλος ἦν, ὡς ἐλλείπων τῇ δυνάμει. *Schol.* Pronuntiabatur autem πελέκων uti et πελέκεις. infrà *ver.* 120. 260. pronuntiabatur πελέκεις. Vide ad *Il.* β. 811.

Ver. 77. —— νοσφισσαμένη.] Ita rectè edidit *Barnesius* et hîc et infrà *ver.* 104. *Vulgg.* νοσφισαμένη. Quod secundam corripit. Vide suprà ad σ'. 579. et ad *Il.* ά. 140.

Ver. 80. —— ῥ'.] *Proindè* ——.

Ver. 82. 83. Δακρύσας δ' Εὔμαιος ἐδέξατο —Κλαῖε δὲ βουκόλος.] Εὔμαιος καὶ Φιλοίτιος οἱ δῶλοι, τὸ δεισφδικὸν τόξον ἰδόντες πεφιμένον ὡς ἐπὶ ἀγῶνι, κλαίουσιν, οἷα διδιόντες μὴ τὶς νικήσας τῶν μνηστήρων ἀποίσεται τὴν Πηνελόπην. Καὶ ἄλλως δὲ κλαίουσιν ἀναμνησθέντες τοῦ δεσπότου διὰ μέσου τοῦ τόξου, καθὰ καὶ περὶ αὐτῶν ἡ δέσποινα. [suprà *ver.* 56.] *Eustath.* Quæ posterior omninò verior accipiendi ratio.

Ver. 83. —— ἄλλοθ'.] *Al.* ἄλλος.

Digitized by Google

Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες, 85
Ἆ δειλοὶ, τί νυ δάκρυ κατείβετον, ἠδὲ γυναικὶ
Θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ἦ τε καὶ ἄλλως
Κεῖται ἐν ἄλγεσι θυμὸς, ἐπεὶ φίλον ὤλεσ' ἀποίτην.
Ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
Κλαίετον ἐξελθόντε, κατ' αὐτόθι τόξα λιπόντε, 90
Μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀΐω
Ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
Οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοῖσδεσι πᾶσιν,
Οἷος Ὀδυσσεὺς ἔσκεν· ἐγὼ δέ μιν αὐτὸς ὄπωπα,
(Καὶ γὰρ μνήμων εἰμὶ,) πάις δ' ἔτι νήπιος ἦα. 95

Antinöus verò increpabat, verbumque dixit, compellabatque;
" Stulti rustici, quæ-in-diem-sunt cogitantes; 85
" Ah miseri, cur lachrymas funditis? et mulieri
" Animum in pectoribus commovetis? cui utique et aliàs
" Jacet in doloribus animus, postquam charum perdidit maritum.
" Sed tacitè epulamini sedentes, vel foràs
" Flete egressi, arcu hîc relicto, 90
" Procis certamine difficili; non enim puto
" Facilè hunc arcum benè-politum tensum-iri.
" Non enim quisquam adest talis vir inter hos omnes,
" Qualis Ulysses erat; ego verò eum ipse vidi,
" (Etenim memor sum;) puer autem adhuc infans eram." 95

Ver. 85. —— ἐφημέρια φρονέοντες.] Τὸ παραπτύκτικα μόνον φρονοῦντες, ὡ προνοοῦντες τῦ μέλλοντος. *Schol.* Ita *Æschylus in Fragmenti;*

Τὸ γὰρ βρότειον στέρμ' ἐφημέρια φρονῶν,
Apud Stobæum, Ethic. Serm. 98.

Et *Theocritus;*

Οἱ θνατοὶ πτελόμεθα, τὸ δ' ἄφριον ὐκ ἰσοφῶμες. *Idyll.* XIII, 4.

Istuc est sapere, non quod ante pedes modò est
Videre, sed etiam illa quæ futura sunt
Prospicere ——————.
Terent. Adelph. Act. III. *Scen.* iii. 32.

Ver. 86. Ἆ δειλοὶ.] MS. à *Tho. Bentleio* collatus, Ἄ δειλὼ. Quod hoc quidem in loco perindè est. Vide ad *Il. α.* 566.

Ver. 89. —— ἀκέων δαίνυσθε.] Ἀκέων, ἡσυχάζων. Παρ' Ὁμήρῳ κατὰ μετάστασιν ἐξήνεγκται, ἀντὶ τῦ ἐφ' ἡσυχίας. Καὶ ἐν ἄλλοις, " Ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι." *Suidas,* ad vocem Ἀκέων.

Ver. 90. — κατ' αὐτόθι.] *Al.* καταυτόθι.

Ibid. — τόξα.] Νῦν, τὴν σύμπασαν σκευήν. *Schol.*

Ver. 91. —— ἄεθλον ἀάατον.] Ἀάατος δὲ ἡ νῦν ὁ ἀτηρὸς, παρὰ τὴν ἄτην, ἐξ ἧς κατὰ τέρψιν, ἄατος ὁ ἀδλαβὴς, καὶ κατὰ δευτέραν τέρψιν, ἀάατος ὁ μὴ ἀδλαβὴς, ἀλλὰ δηλαδὴ βλαβερὸς, ἤτοι ἀτηρός. — Δύναται δὲ ἄλλως ἀάατος εἶναι ἡ ὁ πολυβλαβὴς, ὡς ἀπὸ τῦ ἀασαι, τὸ βλάψαι· ἐξ ἧ ἄατος ἀπλῶς ὁ βλαβερὸς, καὶ κατ' ἐπίτασιν ἀάατος ὁ πάνυ τοιῦτος. *Eustath.* Ejusdem interpretationis meminit et *Scholiastes;* aliam autem deindè adjicit huic minindò contrariam: Ἀάατον (inquit) ἐπιβλαβῆ, ἢ ἄνευ βλάβης· Quam posteriorem expositionem sequuntur versiones pleræque infrà χ'. 5. ubi hoc idem certamen ἀάατον iterùm appellat Poëta. Verior tamen (ut opinor) prior interpretatio; malam enim in partem usurpata videtur hæc vox *Iliad.* ζ'. 271.

"Ἀγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδως.

Atque ut et hîc in malam partem accipiatur, postulare videntur sequentia, " ὀ γὰρ " ὀΐω Ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι." Undè versiones plurimæ. (quas et secutus sum), hoc in loco " *certamen difficile*" reddunt. Vide infrà ad χ'. 5.

Ver. 93. —— μίτα.] Ita *Barnesius:* Ut pro μίτῃ scilicèt positum intelligatur. Quo modo exponit *Scholiastes. Al.* μιτὰ.

Ver. 94. —— ὄπωπα.] Vide ad *Il. α.* 37 et ζ. 124.

Digitized by Google

Ὣς φάτο· τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
Νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
Ἤτοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
Ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὅν ποτ' ἀτίμα
Ἥμενος ἐν μεγάρῳ, ἐπὶ δ' ὤρνυε πάντας ἑταίρους. 100
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἷς Τηλεμάχοιο·
Ὦ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων·
Μήτηρ μέν μοι φησὶ φίλη, πινυτή περ ἐοῦσα,
Ἄλλῳ ἅμ' ἕψεσθαι, νοσφισσαμένη τόδε δῶμα·
Αὐτὰρ ἐγὼ γελόω, καὶ τέρπομαι ἄφρονι θυμῷ. 105
Ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον,
Οἵη νῦν οὐκ ἐστὶ γυνὴ κατ' Ἀχαιΐδα γαῖαν,
Οὔτε Πύλου ἱερῆς, οὔτ' Ἄργεος, οὔτε Μυκήνης,
Οὔτ' αὐτῆς Ἰθάκης, οὔτ' Ἠπείροιο μελαίνης·
Καὶ δ' αὐτοὶ τόδε γ' ἴστε· τί με χρὴ μητέρος αἴνου; 110
Ἀλλ' ἄγε μὴ μύνησι παρέλκετε, μηδ' ἔτι τόξου

Sic dixit: ipsi verò animus in pectoribus sperabat
Nervum *se* tensurum, sagittamque missurum per ferrum.
Sanè sagittam quidem primus gustaturus erat
Ex manibus Ulyssis eximii; quem olim contumeliâ-afficiebat
Sedens in domo, incitabatque omnes socios. 100
Inter hos verò et locuta est sacra vis Telemachi;
" Papæ! certè valdè me Jupiter dementem reddidit Saturnius:
" Mater quidem dicit dilecta, prudens quantumvis sit,
" Alium unà secuturam *se*, relictâ hâc domo;
" At ego rideo, et delector vecordi animo. 105
" Sed agite, proci, quoniam hoc apparet certamen,
" Qualis nunc non est mulier in Achaïcâ terrâ,
" Neque Pyli sacræ, neque Argi, neque Mycenæ,
" Neque ipsius Ithacæ, neque Epiri nigræ:
" Et sanè ipsi hoc scitis; quid me oportet matrem laudare? 110
" Sed agite; nè prætextibus rem-protrahite, neque ampliùs arcûs

---

Ver. 97. et 127. Νευρὴν ἐντανύσειν.] *Al.* Νευρὴν ἐντανύσειν· et Νευρὴν τ' ἐντανύσειν.

Ver. 98. Ἤτοι ὀϊστοῦ γε πρῶτος.] Ἐστὶ δὲ καὶ ἡ διάνοια παρ' αὐτῷ [Ὁμήρῳ] πολλοῖς εἴδεσιν ἰσχηματισμένη. Ὧν ἰστὶ καὶ ἡ Προαιτιφώνησις, ἥτις γίνεται, ὅταν τὶς διηγούμενος μεταξὺ, τὸ ἐν ἱστέροις τάξιν ἔχον τῶ ῥηθῆναι προλέγῃ· ὡς ἐν τούτῳ, " Ἤτοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι " ἔμελλεν." *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. Vide infrà ad χ'. 15.

Ver. 99. —— ὅν τότ' ἀτίμα.] Scribitur, notante *Eustathio*, et ὅν τότ' ἀτίμα. Atque ita habet MS. à *Tho. Bentleio* collatus.

Ibid. —— ἀτιμα.] Vide ad *Il.* ά. 37. β'. 221. et γ'. 84.

Ver. 100. —— ἐν μεγάρῳ.] *Al.* ἐν μεγάροις.

Ver. 104. —— ἅμ' ἕψεσθαι.] *Al.* ἅμ' ἕπεσθαι.

Ibid. —— νοσφισσαμένη.] Vide suprà ad *ver.* 77.

Ver. 109. Οὔτ' αὐτῆς Ἰθάκης.] Deest hic versus in MS. à *Tho. Bentleio* collat.

Ver. 111. —— μὴ μύνησι παρέλκετε.] Ἤγεν προφάσεσι ——. Λέγει δὲ, φασὶ, καὶ Ἀλκαῖος τὸ προφασίζεσθαι, μύνεσθαι· οἷον, " Οὐ" δὲ τι μυάμενος ἄλλο νόημα." *Eustath.* in comment. ad *ver.* 71. suprà. Conjicit porrò *Eustathius* vocem μύνη ex μονὴ deductam; Μουῆς γὰρ τινὸς (inquit) χρεία τοῖς προφασιζομένοις, ᾗ ἰσίσχυσιν ἤτοι ἰσχύουσιν —— Ἐκ δὲ γε τῆ μονὴ γίνεται Αἰολικῶς μύνη, κατὰ τι συνήθη βαρὺν τόνον, ᾗ τρόπον τῆ ο, ὁμοίως τῆ, ὄνομα, ὄνυμα· ἀσσότερον, ἀσσύτερον· καὶ τοῖς ὁμοίοις. Conjecturâ, ut videtur, haud satis probabili.

Ibid. —— μηδ' ἔτι.] *Al.* μηδὲ τι.

Digitized by Google

Δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
Καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
Εἰ δέ κεν ἐντανύσω, διοϊστεύσω τε σιδήρου,
Οὐ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ 115
Λείποι ἅμ' ἄλλῳ ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην,
Οἷός τ' ἤδη πατρὸς ἀέθλια καλ' ἀνελέσθαι.
Ἦ, καὶ ἀπ' ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν,
Ὀρθὸς ἀναΐξας· ἀπὸ δὲ ξίφος ὀξὺ θεν' ὤμων.
Πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας 120
Πᾶσι μίαν μακρὴν, καὶ ἐπὶ στάθμην ἴθυνεν·
Ἀμφὶ δὲ γαῖαν ἔναξε· τάφος δ' ἕλε πάντας, ἰδόντας,
Ὡς εὐκόσμως στῆσε· πάρος δ' οὐ πώποτ' ὀπώπει.
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, καὶ τόξου πειρήτιζεν·
Τρὶς μέν μιν πελέμιζεν, ἐρύσσεσθαι μενεαίνων, 125
Τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τόγε θυμῷ,
Νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
Καί νύ κε δή ῥ' ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,

" Diù aversamini tensionem, ut videamus.
" Quin et ipse ego arcum experiar:
" Quòd si tetendero, sagittamque misero per ferrum,
" Non mihi dolenti has ædes veneranda mater 115
" Liquerit, unà-cum alio profecta; cùm ego ponè relinquar,
" Valens jam patris certamina pulchra reportare."
Dixit, et ab humeris lænam deposuit purpuream,
In-pedes erectus, ensemque acutum deposuit ab humeris.
Primùm quidem secures statuit, vallo perfosso 120
Omnibus uno longo, et ad amussim direxit;
Circumque terram ingessit: stupor verò cepit omnes, videntes,
Quàm accuratè statuit; anteà autem nunquam viderat
Stetit verò deindè ad limen profectus, et arcum tentabat:
Ter quidem ipsum pepulit, trahere cupiens, 125
Ter autem destitit ab-impetu, sperans hoc animo,
Nervum *se* tensurum, sagittamque missurum per ferrum.
Et jam demùm tetendisset vi quartùm attrahens,

Ver. 113. —— πειρησαίμην.] *Al.* πειρήσωμαι.

Ver. 114. —— σιδήρου.] Τῶν πελέκεων. *Schol.*

Ver. 115. —— ἀχνυμένῳ.] *Al.* ἀχνυμένη· notante *Eustathio.*

Ver. 117. Οἷος τ' ἤδη πατρὸς.] Vide suprà ad ε'. 160.

Ver. 118. —— φοινικόεσσαν.] Pronuntiabatur φοινικοῦσσαν. *Secundam* enim producit.

Ver. 119. Ὀρθὸς ἀναΐξας.] Ὄρα δὲ, inquit *Eustathius*, ὡς ἐν τῷ " Ὀρθὸς ἀναΐξας" ἡ " ἀνὰ" προθεσις ἐκτείνει τὴν λήγουσαν διὰ τὴν ἐπιφερομένην ἀξῖαν. Mirè admodùm; ac si ἀναΐξας compositum esset ex ἀνὰ ex ἴξας· non ex ἀνὰ et ἀΐξας, quæ vox apud *Homerum* primam ubique producit.

Ver. 123. —— εὐκόσμως.] *Al.* εὔκοσμος.

Ibid. —— πάρος δ' οὐ πώποτ' ὀπώπει.] Quippè quo tempore ludo hoc sese exercitabat *Ulysses* (suprà σ'. 573.) *Telemachus* nondum natus, aut omninò infans erat. Infantem enim adhuc reliquerat *Ulysses* ad bellum Trojanum proficiscens. Vide suprà ad λ'. 447. et ε'. 19.

Ver. 126. —— ἐπιελπόμενος.] *Al.* ἐπιελπόμενος.

Ibid. —— τόγε.] *Al.* τόδε.

Digitized by Google

Ἀλλ' Ὀδυσεὺς ἀνένευε, καὶ ἔσχεθεν ἱέμενόν περ.
Τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἷς Τηλεμάχοιο· 130
Ὦ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς,
Ἠὲ νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα
Ἀνδρ' ἀπαμύνεσθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
Ἀλλ' ἄγεθ', οἵπερ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
Τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον. 135
Ὡς εἰπὼν, τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
Κλίνας κολλητῆσιν ἐϋξέστης σανίδεσσιν·
Αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ.
Ἦψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός· 140
Ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι,
Ἀρξάμενοι τοῦ χώρου, ὅθεν τε περ οἰνοχοεύει.
Ὡς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱὸς,

Sed Ulysses nutu-prohibebat, et coërcuit cupientem licèt.
Inter hos autem rursùs locuta est sacra vis Telemachi; 130
" Papæ! vel et posteà malusque ero et impotens,
" Vel junior sum, et nondum manibus confisus sum
" Virum propulsare; quandò aliquis prior lacessiverit.
" Sed agite, qui scilicèt me viribus præstantiores estis,
" Arcum tentate, et perficiamus certamen." 135
Sic locutus, arcum quidem à se deposuit humi,
Acclinatum conglutinatis benè-politis tabulis;
Ibidemque velox telum pulchro acclinavit annulo.
Iterùm verò deindè resedit in sede, undè surrexerat.
Inter hos autem Antinöus locutus est, Eupithei filius; 140
" Surgite ordine à-dextris omnes socii,
" Exorsi à loco, undè scilicèt vinum fundit *aliquis*."
Sic dixit Antinöus: illis verò placebat sermo.
Leiodes autem primus surrexit, Oenopis filius,

Ver. 129. —— ἀνένευε.] Vide suprà ad *ι.* 468.

Ver. 131. —— ἦ καὶ ἔπειτα] *Al.* ἦ καὶ ἔπειτα.

Ibid. —— κακὸς τ' ἔσομαι καὶ ἄκικυς.] " Cautè et modestè imbecillitatem suam " prætexit *Telemachus*, cùm tamen alia ei " causa desistendi fuerit, ut anteà vidimus." *Spondan.*

Ibid. —— ἄκικυς.] Vide suprà ad *ι.* 515.

Ver. 132. — ἢ ὅπω χερσὶ πέποιθα Ἀνδρ' ἀπαμύνεσθαι.] Vide ad *Il. ν.* 96. et *ω.* 369.

Ver. 133. —— ἀπαμύνεσθαι.] *Al.* [ἀπαμύνασθαι.

Ver. 134. —— προφερέστεροι.] *Al.* πολὺ φέρτεροι.

Ver. 135. — πειρήσασθε.] *Al.* πειρήσασθε.

Ver. 136. et 163. —— ἀπὸ ἕο.] Vide ad *Il. α.* 51.

Ver. 137. et 164. —— ἐϋξέστης.] *Al.* ἐϋξέστοις, et ἐϋ ξέστης.

Ver. 138. —— προσέκλινε.] *Al.* προσέθηκε.

Ibid. —— κορώνῃ.] Τῷ ἄκρῳ τοῦ τόξου. *Schol.* Eandem interpretationem affert *Eustathius;* deindè autem addit; Τινὲς δὲ κορώνην καὶ νῦν ἐνόησαν τὸ τῆς θήκας ἐπίσπαστρον. Κρεῖττον δὲ ὅμως τὸ πρῶτον.

Ver. 141. —— ἐπιδέξια.] Ἐκ τοῦ δεξιοῦ μέρους. *Schol.*

Ver. 142. —— ὅθεν τε περ οἰνοχοεύει.] Εὔλογον ἐστὶν ἀσιόντος [*Al.* ἀσιόντων] ἐκ τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖθαι τὸν κρατῆρα. *Schol.* *Al.* ὅθεν τ' ἐπὶ οἰνοχοείει.

Digitized by Google

Ὅς σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν 145
Ἷζε μυχοίτατος αἰεί· ἀτασθαλίαι δέ οἱ οἴῳ
Ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν·
Ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ·
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, καὶ τόξου πειρήτιζεν·
Οὐδέ μιν ἐντάνυσε· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων, 150
Ἀτρίπτους, ἁπαλάς· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω· λαβέτω δὲ καὶ ἄλλος·
Πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
Θυμοῦ καὶ ψυχῆς· ἐπειὴ πολὺ φέρτερόν ἐστι
Τεθνάμεν, ἢ ζώοντας ἁμαρτεῖν, οὔθ' ἕνεκ' αἰεὶ 155
Ἐνθάδ' ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
Νῦν μέν τις καὶ ἔλπετ' ἐνὶ φρεσὶν, ἠδὲ μενοινᾷ
Γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν·
Αὐτὰρ ἐπὴν τόξου πειρήσεται, ἠδὲ ἴδηται,
Ἄλλην δή τιν' ἔπειτα Ἀχαιϊάδων ἐϋπέπλων 160
Μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
Γήμαιθ, ὅς κεν πλείστα πόροι, καὶ μόρσιμος ἔλθοι.

Qui ipsis vates erat; juxta craterem verò pulchrum 145
Sedebat intimus semper; improbitates autem ei soli
Invisæ erant; omnibus autem succensebat procis:
Qui tunc primus arcum cepit et telum velox:
Stetit autem deindè ad limen profectus, et arcum tentabat;
Neque ipsum tetendit: priùs enim fatigatus est manibus attrahens, 150
Haud-tritis, mollibus: inter procos verò dixit;
" O amici, non quidem ego tendo; capiat verò et alius:
" Multos enim hic arcus optimates privabit
" Mente et animâ; quoniam multò melius est
" Mori, quàm vivos excidere *eâ re*, cujus gratiâ semper 155
" Hîc versamur, expectantes dies omnes.
" Nunc quidem aliquis et sperat in mente, et cupit
" Ducere Penelopen, Ulyssis uxorem:
" At postquam arcum tentaverit, et viderit,
" Aliam demùm aliquam posteà Achivarum pulchris-peplis-indutarum 160
" Ambiat sponsaliis petens: hæc autem deindè
" Nubat *ei*, qui plurima dederit, et fatalis venerit."

Ver. 145. Ὅς σφι.] Ita *Burnesius*. *Vulgg.* Ὁ σφι.

Ibid. —— θυοσκόος.] Ὁ διὰ θυῶν νεῶν, ἤτοι νοῶν, τὰ μέλλοντα. *Eustath.* Θυοσκόοι εἰσὶν οἱ ἀπὸ τῶν θυομένων διὰ πυρὸς μαντευόμενοι· Ἱερεῖς δὲ, οἱ ἀπὸ τῶν ἱερῶν σπλάγχνων μαντευόμενοι. *Etymolog. Magn. ad vocem* Θυοσκόος.

Ibid. —— παρὰ κρητῆρα δὲ καλὸν Ἷζε μυχοίτατος αἰεὶ.] Sedebat nimirùm intimâ conclavis parte, craterique, undè vinum fundebatur, proximus; ideòque omnium primus arcum tentaturus surrexit, secundùm *Antinoi* præceptum, suprà *ver.* 142.

Ἀρξάμενοι τῷ χώρῳ, ὅθεν τις πρῶ εἰνοχοεύει.

Ver. 149. —— πειρήτιζεν.] Vide ad *Il.* Ψ'. 87. et γ'. 84.

Ver. 156. —— ποτιδέγμενοι.] *Al.* πρωτιδέγμενοι.

Ver. 157. —— ἴλαται'.] *Al.* ἱλάσσω'.

Ver. 158. 162. Γῆμαι —— Γήμαιθ'] Vide suprà ad λ'. 272.

Ver. 162. Γήμαιθ'.] *Al.* Γήμασθ'.

Digitized by Google

Ὡς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ἕο τόξον ἔθηκε,
Κλίνας πολλητῆσιν ἐϋξέστῃς σανίδεσσιν,
Αὐτοῦ δ' ἀκὺ βέλος καλῇ προσέκλινε κορώνῃ· 165
Ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Ἀντίνοος δ' ἐνένιττεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Λειώδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
Δεινόν τ' ἀργαλέον τε; νεμεσσῶμαι δέ τ' ἀκούων,
Εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει 170
Θυμοῦ καὶ ψυχῆς· ἐπεί οὐ δύνασαι σὺ τανύσσαι·
Οὐ γάρ τοί σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ,
Οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι, καὶ ὀϊστῶν·
Ἀλλ' ἄλλοι τανύσουσι τάχα μνηστῆρες ἀγαυοί.
Ὡς φάτο· καί ῥ' ἐκέλευσε Μελάνθιον, αἰπόλον αἰγῶν· 175
Ἄγρει δὴ πῦρ κεῖον ἐνὶ μεγάροισι, Μελανθεῦ,
Πὰρ δὲ τίθει δίφρον τε μέγαν, καὶ κῶας ἐπ' αὐτοῦ,
Ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν, ἔνδον ἐόντος,
Ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,

Sic utique dixit; et à se arcum deposuit,
Acclinatum conglutinatis benè-politis tabulis;
Ibidemque velox telum pulchro acclinavit annulo: 165
Iterùm verò deindè resedit in sede, undè surrexerat.
Antinöus autem increpabat, verbumque dixit, compellabatque;
" Lesodes, quale tibi verbum fugit ex septo dentium,
" Graveque molestumque? indignor etenim audiens,
" Si demùm hic arcus optimates privabit 170
" Mente et animâ; quoniam non potes tu tendere:
" Nequaquam enim te talem genuit alma mater,
" Qui tractator arcûsque esses, et sagittarum:
" Sed alii tendent citò proci inclyti."
Sic dixit; et jussit Melanthium, custodem capparum; 175
" Age jam ignem accende in ædibus, Melanthî,
" Janta autem pone sellamque magnam, et pellem super ipsam;
" Effer autem sevi magnum orbem, *de eo* quod intùs est,
" Ut juvenes calefacientes, inungentes unguine,

Ver. 165. —— κορώνῃ.] Vide suprà ad ver. 136.

Ver. 173. Οἷον τε ῥυτῆρα βίου τ' ἔμεναι.] Vide suprà ad σ'. 160.

Ibid. —— ὀϊστῶν.] *Al.* ὀϊστῶ.

Ver. 174. —— τανύσουσι.] *Al.* τανύουσι.

Ver. 176. Ἄγρει δὴ πῦρ.] Vide suprà ad ὁ. 149. *Al.* Ἄγρει, πῦρ δή.

Ver. 177. Πὰρ δὲ τίθει δίφρον τε μέγαν.] Ὡς ἂν οἱ νέοι ἐν αὐτῷ καθήμενοι, διὰ τὸ χαμαὶ πατεῖσθαι τὴν κυλίκισιν, βάλλοιεν κατὰ σκοτῶ, *Eustath.* Malè. In hâc sede enim, (uti rectè annotavit Dna. *Dacier*,) dum arcum fricabant et calefaciebant, tantummodò considebant: Jaculatusi autem, ad limen atrii stabant. Vide suprà ad ver. 124. 149.

Ver. 178. et 183. —— στέατος.] Pronuntiabatur (ut opinor) σῶτος vel σῶτος.

Ver. 179. Ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ, Τόξῳ πειρώμενοι.] Fuerunt, (notante Dna. *Dacier*,) qui Proces hoc adipe, ad seipsos ungendos, usos existimârint. Quam interpretationem secutæ versiones nonnullæ, voces θάλποντες, ἐπιχρίοντες, reddunt, "*calefacti, inuncti.*" Atque ita accipitur apud *Spondanum*: " Nervosum — genus omne, " humore pingui et lento confricatis artu- " bus, ad motum expeditius, et ad laborem " perferendum absque noxâ robustius un- " guentis hisce præstare conabantur (Ath- " letæ); quæ, frictione priùs apertis poris, " et per consequens excalefactis membris,

Τόξου πειρώμεσθα, καὶ ἐκτελέσωμεν ἄεθλον. 180
Ὡς φάθ' ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ·
Πὰρ δὲ φέρων δίφρον θῆκεν, καὶ κῶας ἐπ' αὐτοῦ,
Ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
Τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ' οὐδ' ἐδύναντο
Ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν. 185
Ἀντίνοος δ' ἔτ' ἐπεῖχε, καὶ Εὐρύμαχος θεοειδὴς,
Ἀρχοὶ μνηστήρων· ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
Τὼ δ' ἐξ οἴκου ἔβησαν ὁμαρτήσαντες ἅμ' ἄμφω
Βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
Ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἦλυθε δῖος Ὀδυσσεύς. 190

"Artum tentemus, et perficiamus certamen." 180
Sic dixit: statim autem accendit Melanthius indefessum ignem;
Juxtaque ferens sellam posuit, et pellem super ipsam,
Extulitque sevi magnum orbem, *de eo* quod intùs erat;
Quo sanè juvenes calefacientes tentabant; neque poterant
Tendere; multùm autem robore deficientes erant. 185
Antinöus verò adhuc abstinebat, et Eurymachus deo-par,
Principes procorum; virtute autem erant longè optimi.
Cæterùm ex domo exiverunt eodem-tempore-profecti simul ambo
Bubulcus et subulcus Ulyssis divini:
Exivit autem ipse post illos domo nobilis Ulysses. 190

"(quod sibi illud θάλποντες velle videtur), "ceromate præsertim priùs eliquato, (τρόχον τίλτος appellat,) in altum corporis "penetrabant. —— Undè sequitur, sevum, id est τὸ τίλος, illis fuisse, quod posteà Romanis Athletis oleum aut ceroma; quam etiam ceraturam appellat Columella." *Spondan.* Vidit tamen ipse posteà vir eruditus ex *ver.* 246. infrà, "Procos *Arcum* ad ignem calefacere, ad eum "emolliendum;" rectèque observat in Comment. ad versum istum (246.) Poëtam "ubique *Activo* θάλπω uti, ut cum "eo subauditus Accusativus Casus, τόξον, "construatur." Vide suprà ad ι. 491. Rectè itaque hunc locum exponit *Eustathius*: Ἐπφίρεται δὲ καὶ τίλος, ἵνα χριόμενον τὸ τόξον καὶ θαλπόμενον, εὐχρηστοθόη· πάντως γὰρ τὸ πραῦνον τὴν τόξου, ὅτερ τῇ μαπρῇ τῆς χρόνου ἐπιγίνετο, ἡ τοιαύτη ἂν ἀλειφὴ ἐξαλεῖ, διιεσθοῦσα τῶν πεφάτων ἐν τῇ θερμαίνεσθαι πυρί.

Ver. 180. Τόξου πειρώμεσθα.] *Spondanus* in commentario ad *ver.* 246. infrà, legendum hoc in loco censet Τόξον, ut ad præcedens θάλποντες referatur. Sed minùs rectè. Sæpissimè enim hanc phrasin usurpat Poëta. Vide suprà ad *ver.* 113. 124. 135. 149. 159. et infrà ad *ver.* 268.

Ibid. —— ἐκτελέσωμεν.] *Eustathius* in commentario citat ἐκτελέσωμεν. Quo modo legit et MS. à *Tho. Bentleio* collatus. Atque ita habent Vulgati suprà *ver.* 135. et infrà *ver.* 268. ubi repetitur hic versus.

Ver. 184. —— ῥα.] *Uti ipsis propositum erat* —— *ver.* 179.

Ver. 186. Ἀντίνοος δ' ἔτ' ἐπεῖχε, καὶ Εὐρύμαχος.] Ὁ Ἀντίνοος ἐπεῖχε ἐ ἐκώλυεν αὐτὸς πρὸς τὸ παρὸν χρήσασθαι τῷ τόξῳ· φαίνεται γὰρ ὁ Ἀντίνοος ἐξῆς λέγων, μὴ δεῖν τείνειν τὸ τόξον, ἐφετῆς οὔσης τῷ τοξικῷ θεῷ· ἐ Εὐρύμαχος πάθεται. *Schol.* Minùs rectè. Neque enim cum hâc sententiâ aptè convenit vocula ἔτι· neque *hic* id facit *Antinöus*, sed *tum demùm* cùm arcum frustrà tentaverit *Eurymachus*. Dna. *Dacier* adhuc pejùs vertit, "Antinöus et Eurymaque, qui étoient "à la tête des Poursuivants, et les plus robustes, sont obligez eux-mêmes d'y renoncer." Id quod neque cum voculâ ἔτι ullo modo congruit; et ex sequentibus *ver.* 245. ὅτε. planè refutatur. Potissima videtur *Eustathii* expositio: Ἐτὶ δὲ τὸν ἐπέχων, τὸ ἐν τῇ τίλος ἀργεῖν ἐ μὴ ἰσχαρεῖν ἔλεγε. Hoc nimirùm et cum voculæ ἔτι sensu, et cum sequentibus aptissimè convenit. Notandum tamen MS. à *Tho. Bentleio* collatum hîc legere, Ἀντίνοος δὲ τ' ἐπεῖχε.

Ver. 188. Τὼ δ' ἐξ οἴκου ἔβησαν.] *Barnesius* edidit, ἐξ οἴκου ἔβησαν.

Ver. 190. Ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἦλυθε.] Ἀσχολημένων τῶν μνηστήρων ἐς τὸν τῷ τόξου πάρεσιν, καιρὸν ἔσχεν Ὀδυσσεὺς ἀναγνωρισθῆναι τοῖς δούλοις. *Eustath.*

Digitized by Google

Ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν, ἠδὲ καὶ αὐλῆς,
Φθεγξάμενος σφ' ἐπέεσσι προσηύδα μειλιχίοισι·
Βουκόλε, καὶ σὺ, συφορβέ, ἔπος τί κε μυθησαίμην,
Ἦ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει·
Ποῖοί κ' εἶτ' Ὀδυσῆϊ ἀμυνέμεν, εἴ ποθεν ἔλθοι 195
Ὧδε μάλ' ἐξαπίνης, καί τις θεὸς αὐτὸν ἐνείκῃ;
Ἦ κεν μνηστῆρεσσιν ἀμύνοιτ', ἢ Ὀδυσῆϊ;
Εἴπαθ', ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.
Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
Ζεῦ πάτερ, αἴ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ, 200
Ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ἑ δαίμων·
Γνοίης χ', οἵη ἐμὴ δύναμις, καὶ χεῖρες ἕπονται.
Ὡς δ' αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσι,
Νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Αὐτὰρ ἐπειδὴ τῶν γε νόον νημερτὲ ἀνέγνω, 205
Ἐξαῦτις σφ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
Ἔνδον μέν δὴ ὅδ' αὐτὸς ἐγὼ, κακὰ πολλὰ μογήσας,

Sed quandò jam extra fores erant et aulam,
Locutus ipsos verbis affabatur blandis;
" Bubulce, et tu, subulce, verbumne aliquod dicam?
" An ipse celem? dicere autem me animus jubet:
" Quales essetis in Ulyssi auxiliando, sicundè veniret 195
" Huc valdè derepente, et aliquis deus ipsum afferret?
" Num procis auxiliaremini, an Ulyssi?
" Dicite, quomodo vos cor animusque jubet."
Hunc autem rursùs allocutus est boïum bubulcus vir;
" Jupiter pater, utinam enim hoc perficeres votum; 200
" Ut veniret quidem ille vir, adduceretque ipsum deus:
" Cognosceres, qualis mea potentia, et manus sequerentur."
Sic autem paritèr Eumæus supplicabat omnibus diis,
Ut-rediret Ulysses prudens suam ad domum.
At postquam horum ingenium verum cognovit, 205
Iterùm ipsos verbis respondens allocutus est;
" Intùs quidem demùm hic ipse ego, mala multa perpessus,

Ver. 195. Ποῖοί κ' εἶτ'.] Ποῖοι ἂν εἴητε κατὰ τὴν γνώμην; *Schol.* Vide infrà ad χ'. 61. 62.

Ibid. —— εἰ ποθὲν ἔλθοι Ὀδυσεύς.] Vide suprà ad ά. 182.

Ver. 196. —— ἐνείκῃ.] *Al.* ἐνίγκοι, et ἐνέγκαι.

Ver. 197. Ἦ κεν μνηστήρεσσιν.] *Al.* Ἦ καὶ μνηστήρεσσιν. Minùs rectè.

Ibid. —— ἀμύνοιτ'.] Apud *Eustathium* in commentario, ἀμύνητ'.

Ver. 200. —— αἴ γὰρ.] Vide ad *Iliad.* ή. 132.

Ver. 202. —— χεῖρες ἕπονται.] *Al.* χεῖρες ἕκαστοι.

Ver. 203. Ὡς δ' αὔτως Εὔμαιος.] Similitèr infrà *ver.* 225. Ὡς δ' αὔτως Ὀδυσεύς. Et apud *Virgilium*;

Nec minùs Æneas ——.
Æn. VI. 475. VIII. 465. XII. 746.

Ver. 205. —— ἐπειδὴ.] *Barnesius* edidit, ἐπεὶ δή.

Ver. 207. Ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγὼ.]

—— coram, quem quæritis, adsum
Troïus Æneas, Libycis ereptus ab undis.
Æn. I. 594.

Digitized by Google

Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Γιγνώσκω δ', ὡς σφῶϊν ἐελδομένοισιν ἰκάνω
Οἵοισι δμώων· τῶν δ' ἄλλων οὔ τευ ἄκουσα. 210
Εὐξαμένου ἐμὲ αὖτις ὑπότροπον οἴκαδ' ἱκέσθαι.
Σφῶϊν δ', ὡς ἔσεται περ, ἀληθείην καταλέξω·
Αἴ κ' ὑπ' ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
Ἄξομαι ἀμφοτέροις ἀλόχους, καὶ κτήματ' ὀπάσσω,
Οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα 215
Τηλεμάχου ἑτάρω τε καὶιγνήτω τε ἔσεσθον.
Εἰ δ' ἄγε δὴ καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
(Ὄφρα μέ εὖ γνῶτον, πιστωθῆτόν τ' ἐνὶ θυμῷ,)
Οὐλὴν, τὴν ποτέ μέ σῦς ἤλασε λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα, σὺν υἱάσιν Αὐτολύκοιο. 220
Ὣς εἰπὼν, ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
Τὼ δ' ἐπεὶ εἰσιδέτην, εὖ τ' ἐφράσσαιτο ἕκαστα,
Κλαῖον ἄρ', ἀμφ' Ὀδυσῆα δαΐφρονα χεῖρε βαλόντε,
Καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.

" Veni vigesimo anno in patriam terram.
" Cognosco autem, quòd vobis cupientibus venio
" Solis servorum: cæterorum verò haud quemquam audivi 210
" Optantem me iterùm reducem domum venire.
" Vobis autem, sicut erit scilicèt, veritatem dicam;
" Si mihi deus domuerit procos eximios,
" Deducam ambobus uxores, et possessiones præbebo,
" Domosque prope me ædificatas; et mihi posteà 215
" Telemachi sociique fratresque eritis.
" Quin age, jam et signum manifestum aliud quoddam ostendam,
" (Ut me benè cognoscatis, fidatisque in animo,)
" Cicatricem, quam quondam mihi sus inflixit albo dente,
" Ad-Parnassum profecto, cum filiis Autolyci." 220
Sic locutus, pannos magnâ diduxit à cicatrice.
Illi autem postquam inspexerant, benèque cognoverant singula,
Flebant deindè, circa Ulyssem prudentem manibus conjectis,
Et osculabantur amplectentes caputque et humeros.

Ver. 208. —— ἔτεϊ ἐς.] Vide suprà ad *π'*. 206.

Ver. 211. —— ἐμὲ αὖτις.] *Al.* ἐμὲ γ' αὖτις.

Ver. 212. —— ἀληθέων.] *Barnesius* edidit, legendumque contendit, ἀλήθειαν. Vide autem suprà ad *ϕ*. 297.

Ver. 213. —— δαμάσῃ.] *Al.* δαμάσσῃ.

Ver. 216. Τηλεμάχου ἑτάρω.] Exemplaria nonnulla (notante *Barnesio*) hîc legunt Τηλεμάχῳ ἑτάρω.

Ibid. —— ἔσεσθον.] *Eustathius* in commentario citat ἔσεσθε. Quod et ferri potest. Vide ad *Il. ϕ*. 566.

Ver. 217. Εἰ δ' ἄγε.] Particulæ Εἰ, hoc in loco, vis hujusmodi est; " *Sin adhuc du-* " *bitatis;* Age &c." Vide et ad *Il. ζ*. 376.

Ver. 218. Ὄφρα μέ εὖ γνῶτον.] *Al.* Ὄφρα μ' εὖ γνῶτον.

Ver. 219. Οὐλὴν, τὴν ποτέ μέ σῦς.] Vide suprà ad *σ'*. 391. 393.

Ver. 221. Ὣς εἰπὼν, ῥάκεα &c.] Vide *Aristot. de Poëtic. cap.* 16. et suprà ad *σ'*. 467.

Ver. 223. —— ἀμφ' Ὀδυσῆα δαΐφρονα χεῖρε βαλόντε.] MS. à *Tho. Bentleio* collatus, Ὀδυσῆϊ δαΐφρονι· Ut νοχ ἀμφὶ ad sequentem βάλοντε referatur.

Digitized by Google

Ὡς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε. 225
Καὶ νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε, φώνησέν τε·
Παύεσθον κλαυθμοῖο, γόοιό τε· μή τις ἴδηται
Ἐξελθὼν μεγάροιο· ἀτὰρ εἴπῃσι καὶ εἴσω.
Ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μηδ' ἅμα πάντες· 230
Πρῶτος ἐγώ, μετὰ δ' ὔμμες· ἀτὰρ τόδε σῆμα τετύχθω·
Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοί,
Οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην·
Ἀλλὰ σύ, δῖ' Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον,
Ἐν χείρεσσιν ἐμοὶ θέμεναι· εἰπεῖν τε γυναιξὶ 235
Κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυῖας.
Ἤν δέ τις ἢ στοναχῆς ἢ κτύπου ἔνδον ἀκούσῃ
Ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
Προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.

Sic autem paritèr Ulysses capita et manus osculatus est. 225
Et jam lugentibus occidisset lumen Solis,
Nisi Ulysses ipse cohibuisset, locutusque fuisset;
" Cessate à fletu luctúque; nè quis videat
" Egressus domo; at dicat et intùs.
" Sed alius-post-alium intrate, neque simul omnes: 230
" Primus ego, pòst autem vos; at hoc signum fiat:
" Alii etenim omnes, quotquot proci eximii,
" Non sinent mihi dare arcum et pharetram;
" Sed tu, nobilis Eumæë, ferens per ædes arcum,
" Manibus mihi impone, dicitoque mulieribus, 235
" Ut-claudant domûs fores firmitèr aptatas.
" Si autem aliqua vel gemitum vel strepitum intùs audiat
" Virorum nostris in septis, nequaquam foràs
" Prodeat, sed ibidem quietè sit apud opus.

Ver. 225. — ἔκυσσε.] Vide suprà ad ε'. 39.
Ver. 226. Καὶ νύ κ' ὀδυρομένοισιν ἔδυ φάος.]
Et fors omne datum traherent per talia tempus. *Æn.* VI. 537.
——— neque avelli possunt, nox humida donec
Invertit cœlum ———. XI. 201.

Ver. 232. ——— μνηστῆρες ἀγαυοί, Οὐκ ἐάσουσιν.] " Il en donne (inquit Dna. *Dacier*) la " raison dans cette seule épithete, *les fiers* " *Pursuivants;* il veut faire entendre qu'ils " étoient trop orgueilleux pour permettre " qu'un homme, qu'ils regardoient comme " un gueux, entrât avec eux en lice." Attamen nihil opus ut vox ἀγαυοὶ hîc in malam partem accipiatur. Vide suprà ad ά. 106.

Ver. 233. Οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιόν.] Pronuntiabatur Οὐκ ἔασουσιν ἐμοὶ ὃ'ς. Eâdem scilicèt ratione ac *Iliad.* ί. 256.

——— τρεῖν μ' ὐκ ἐῷ Παλλὰς Ἀθήνη.
Et π'. 344.
Ἀλλ' ἐῶμεν μιν πρῶτα ———.
Multùm autem errat *Barnesius*, qui (in annotationibus ad *Iliad.* δ'. 42. *Odyss.* π'. 147.) ex hoc loco colligit vocem ἐάω *secundam* corripere. Nam vox ἐάω, uti et aliæ omnes in άω purum desinentes, *secundam* et in Futuro et in Aoristo Primo semper producit. Vide ad *Il.* 67. et δ'. 42.

Ver. 234. ——— δῖ' Εὔμαιε.] *Al.* δὴ Εὔμαιε.
Ver. 235. ——— θέμεναι.] *Al.* δόμεναι. Ut suprà *ver.* 233.

Ver. 236. et 241. Κληῖσαι.] Ita rectè edidit *Barnesius*. Quocum facit et MS. à *Tho. Bentleio* collatus. Alii malè κληΐσαι sive κληῖσαι. Vide suprà ad σ'. 30. et ad *Il.* ά. 140.

Ver. 239. Προβλώσκειν.] Προϊέναι ἔξω *Schol.*

Digitized by Google

Σοὶ δὲ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς 240
Κληΐσσαι κληΐδι, θοῶς δ' ἐπὶ δεσμὸν ἴῆλαι.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας·
Ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν, ἔνθεν περ ἀνέστη·
Ἑς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνάρμα, 245
Θάλπων ἔνθα καὶ ἔνθα σέλας πυρός· ἀλλά μιν οὐδ' ὣς
Ἐντανύσαι δύνατο· μέγα δ' ἔστενε κυδάλιμον κῆρ·
Ὀχθήσας δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Ὦ πόποι, ἦ μοι ἄχος περὶ τ' αὐτοῦ καὶ περὶ πάντων·
Οὔτι γάμου τοσσοῦτον ὀδύρομαι, ἀχνύμενός περ· 250
(Εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, ἠμὲν ἐν αὐτῇ
Ἀμφιάλῳ Ἰθάκῃ, ἠδ' ἄλλῃσιν πολίεσσιν·)
Ἀλλ' εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
Ἀντιθέου Ὀδυσῆος, ὅτ' οὐ δυνάμεσθα τανύσσαι

" Tibi verò, Philœtie nobilis, fores mando aulæ 240
" Ut-claudas clavi, citòque vinculum indas."
Sic locutus, intravit domos habitantibus commodas;
Sedit deindè in sellâ profectus, undè scilicèt surrexerat;
Ingressi sunt autem deindè famuli divini Ulyssis.
Eurymachus verò jam arcum in manibus versabat, 245
Calefaciens huc et illuc splendore ignis: sed ipsum neque sic
Tendere potuit; valdè autem gemebat glorioso corde:
Ingemiscens verò fatus est, verbumque dixit, et prolocutus est;
" Papæ, certè mihi dolor deque *me* ipso et de omnibus;
" Nequaquam nuptias tantum lugeo, dolens licèt: 250
" (Sunt et aliæ multæ Achivæ, tum in ipsâ
" Circumfluâ Ithacâ, tum in aliis urbibus:)
" Sed si demùm tantoperè viribus deficientes sumus
" Præ deo-pari Ulysse, ut non possimus tendere

Ver. 241. —— θοῶς δ' ἐπὶ δεσμὸν ἴῆλαι.] Ὀπαῖον τὶ ἐ πρὸ ὀλίγου [suprà *ver.* 46] εἶχον αἱ τοῦ βασιλικοῦ θαλάμου θύραι, ἐν αἷς ἡ δίσπουα ἱμάντα θοῶς ἀπολύσασα κληῖδα ἐνῆκεν, ὥστε ἀνοῖξαι. *Eustath.*

Ver. 242. —— δόμους εὖ ναιετάοντας.] Vide ad *Il.* β'. 648.

Ver. 244. —— ἄρα.] — *Ut jusserat Ulysses* ——. Suprà *ver.* 230.

Ver. 246. Θάλπων ἔνθα ἐ ἔνθα σέλας πυρὸς.] Vide suprà ad *ver.* 179.

Ibid. —— σέλας πυρὸς.] Videtur σέλας hoc in loco (uti notat *Barnesius*) contractum ex σέλαϊ (vide *Il.* ε'. 739.) eodem ferè modo ac δίστα ex δίσταα, *Odyss.* τ'. 62. υ. 153. Ita *Hesiodus*;

Ὡς ἄρα τήκετο γαῖα σέλας πυρὸς αἰθομένοιο.
Theogon. ver. 867.

Ἰσέον δὲ (inquit *Eustathius*) ὅτι σέλας, ἀ μόνον πυρὸς, ἀλλὰ ἐ Ἡλίου. Apud *Homerum* tamen nusquam ita usurpatur.

Ver. 248. —— εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.] MS. à *Tho. Bentleio* collatus, ἔπι πρὸς ὃν μεγαλήτορα θυμόν.

Ver. 251. —— ἠμὲν ἐν αὐτῇ Ἀμφιάλῳ Ἰθάκῃ, ἠδ' ἄλλῃσιν πολίεσσιν.] Ita ex utrâque *Eustathii* editione, ex Codice *Aldino*, et ex *Conrado Ritterhusio, de interpretatione quorundam locorum Oppiani, ad Cyneg.* I. *ver.* 36. edidit *Barnesius*. *Al.* αἱ μὲν ἐν αὐτῇ &c. Quod (uti ipse annotat *Barnesius*) cum sequenti ἠδ' minùs aptè congruit. Cæterùm MS. à *Tho. Bentleio* collatus, habet αἱ δ' ἄλλῃσιν πολίεσσιν.

Ver. 254. Ἀντιθέου Ὀδυσῆος.] Ὅρα δὲ (inquit *Eustathius*) τὸ "Ἀντιθέου Ὀδυσῆος" παραβρίφιον ἐπὶ θεραπείᾳ τῆς λύπης, ὡς μὴ παντὸν ὄν, ἐ τοιούτῳ ἀνδρὸς λόεσθαι. Eodem modo accipit et Dna *Dacier*. Verùm neque ut Epitheton hoc, *Ulyssi* toties apud Poëtam tributum, vim hoc in loco singularem habere intelligatur, ulla idonea videtur ratio; neque profectò lenimen dolori hîc quæri

Digitized by Google

Τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι. 255
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Εὐρύμαχ', οὐχ' οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.
Νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
Ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι
Κάτθετ'· ἀτὰρ πελέκεάς γε καὶ εἴκ' εἰῶμεν ἅπαντας 260
Ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
Ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
Ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα.
Ἠῶθεν δὲ κέλεσθε Μελάνθιον, αἰπόλον αἰγῶν, 265
Αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
Ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ,
Τόξου πειρώμεσθα, καὶ ἐπτελέωμεν ἄεθλον.

" Arcum; probrosum sanè et posteris auditu." 255
Hunc autem rursùs Antinöus allocutus est, Eupitheï filius;
" Eurymache, non ita erit; intelligis verò et ipse.
" Nunc etenim in populo festum dei
" Sanctum; quis autem arcus tenderet? Sed quieti
" Deponite: at secures etiamsi sinamus omnes 260
" Stare, *bonè-erit;* haud etenim quenquam sublaturum puto,
" Ingressum domum Laërtiadæ Ulyssis.
" Sed agite, pocillator quidem incipiat poculis,
" Ut libatione-factâ deponamus curvos arcus.
" Manè verò jubete Melanthium, custodem caprarum, 265
" Capras adducere, quæ in omnibus longè præstantissimæ gregibus;
" Ut femoribus impositis *in-honorem* Apollinis inclyti-arcu,
" Arcum tentemus, et perficiamus certamen."

Eurymachus, sed causam doloris simplicitèr exponit.

Ver. 258. —— κατὰ δῆμον ἑορ[ὴ τοῖο θεοῖο Ἁγνή.] Ἑορτὴ δὲ ἦν ἄρτι, ὡς προσέοικεν, Ἀπόλλωνος ἡλίου, διὰ τὴν ἐν τριακάδι ὡς διδήλωται σύνοδον· Ἀπόλλωνος γὰρ ἱερὰ πᾶσα νουμηνία, καθὰ καὶ ἡ τοῦ σεληνιακοῦ μηνὸς ἑβδόμη, ὡς γινίθλιος Ἀπόλλωνος. *Eustath.* Ἡμέραι τινὲς ἐνομίζοντο Ἀθήνησι θεοῖς τισὶν· οἷον νουμηνία καὶ ἑβδόμη, Ἀπόλλωνος. *Suidas à Barnesio* citatus.

Πρῶτον ἴνη, τετράς τε, καὶ ἑβδόμη, ἱερὸν ἦμαρ·
Τῇ γὰρ Ἀπόλλωνα χρυσοδόρον γείνατο Λητώ.
Hesiod. Ἡμέραι, *ver.* 6.

Vide suprà ad *υ.* 156.

Ibid. —— τοῖο θεοῖο.] Θεῖα ἐπιστατοῦντος τῷ τόξῳ. *Eustath.*

—— Ἀπόλλωνι κλυ[τοτόξῳ. Infrà *ver.* 267.

Ver. 259. Ἁγνή.] Καίριον δὲ ἐπιθέτου ἑορ[ῆς, τὸ ἁγνὴ, διὰ τὰς τηνικαῦτα ἁγνισμοὺς. *Eustath.*

Καὶ δύναμιν δ' ἔρδειν ἱερ' ἀθανάτοισι θεοῖσιν
Ἁγνῶς καθαρῶς ——
Hesiod. Ἔργ. καὶ Ἡμερ. l. 333.

Ibid. —— τίς δὲ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι Κάτθετ'.] Ἀνέθετο τὰ τοῦ τόξου Ἀντίνοος εἰς τὴν αὔριον, ὡς μὴν αὐτὸς ἂν ἱερεῖ, ἀνατιθὰς ἁπλῶς θεῷ τὰ τοῦ ἔργου· ἀληθῶς δὲ, ἐ τοῦτο μόνον, ἀλλὰ καὶ ὅτι ἀμηχανοῦντες προκαλοῦνται τὸ θεῖον ἐς σύναρσιν. *Eustath.* ad *ver.* 279. infrà. Immò videtur *Antinöus* prætextum hunc certaminis differendi excogitâsse, nè arcum scilicèt suâ vice tendere aggressus, et ipse viribus deficeret.

Ver. 260. —— εἴκ' εἰῶμεν ἅπαντας Ἑστάμεν ——] Vide ad *Il. α.* 135.

Ver. 263. —— ἐπαρξάσθω δεπάεσσιν.] Similitèrque infrà *ver.* 272. ἐπαρξάμενοι δεπάεσσιν· Vide suprà ad *ή.* 183. et ad *Il. α.* 471.

Ver. 268. Τόξου πειρώμεσθα, καὶ ἐπτελέωμεν.] Vide suprà ad *ver.* 180.

Digitized by Google

Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
Οἱ δ' ἐπεὶ οὖν σπείσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
Τοῖσδε δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
Κέκλυτέ μευ, μνηστῆρες ἀγαπλειστῆς βασιλείης,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα
Λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπε·
Νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
Ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσιν.
Ἀλλ' ἄγε μοι δότε τόξον ἐύξοον, ὄφρα μεθ' ὑμῖν

Sic dixit Antinöus: illis autem placebat sermo.
Ipsis verò præcones quidem aquam in manus fuderunt;
Juvenes autem crateras coronârunt potu;
Distribueruntque omnibus, auspicantes poculis.
Illi autem postquam libârant, biberautque, quantum volebat animus,
Inter eos utique dolos-meditans locutus est solers Ulysses;
" Audite me, proci inclytæ reginæ,
" Ut dicam quæ me animus in pectoribus jubet.
" Eurymachum autem maximè et Antinöum deo-parem
" Oro, quoniam et hunc sermonem appositè dixit:
" Nunc quidem dimittite arcum; et committite rem diis;
" Manè verò deus dabit robur cui voluerit.
" Sed agite, mihi date arcum benè-politum, ut inter vos

Ver. 270. —— κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν.]

Dant famuli manibus lymphas ——.
Æn. I. 700.

Ver. 271. — κρητῆρας ἐπεστέψαντο ποτοῖο.]

Crateras magnos statuunt, et vina coronant. *Æn.* I. 724.

Vide ad *Il. α.* 470.

Ver. 274. —— μετέφη.] *Al.* προσέφη.

Ver. 276. Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.] Deest hic versus in MS. à *Tho. Bentleio* collat. Quin et apud *Eustathium* in commentario, ubi recitatur tota hæc *Ulyssis* oratio, omittitur idem versus. Undè verisimile eum aliundè huc irrepsisse.

Ver. 277. —— ἠ Ἀντίνοον θεοειδέα.] Τὸ δὲ "θεοειδέα" (inquit *Eustathius*) νῦν μὲν Ὀδυσσεὺς ἐπιλέγει τῇ Ἀντινόῳ· πρὸ βραχέων δὲ ὁ ποιητὴς τὸν Εὐρύμαχον ἤτοι εἴπεν, (suprà *ver.* 186.) ἢ ἦν ἐκεῖνο κρεῖττον. Τῦτο γὰρ καιρίως πολακεύων φησὶν Ὀδυσσεὺς· πολλὴ γὰρ διαφορὰ Εὐρυμάχε πρὸς Ἀντίνοον τὸν φρονιμόν ἢ ἄγχιστα. Verùm non ob morum probitatem utrivis tribuitur hoc Epitheton, sed vel ob Corporis speciem et pulchritudinem, vel ob fortitudinem, quibus reliquos omnes Procos antecelluisse dicuntur. Vide suprà ad *ver.* 187. Cæterùm Editiones nonnullæ, notante *Barnesio*, hoc in loco habent, ἢ Ἀντίνοον βασιλῆα. Quam lectionem et præferre videtur ipse *Barnesius*.

Ibid. —— θεοειδέα.] Pronuntiabatur θεοειδῆ. Quo modo et scribi posteà cœptum est.

Ver. 279. Νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν.] Versum hunc in nonnullis Exemplaribus deesse testantur *Henricus Stephanus* et *Barnesius*. Verùm, ut ipsi annotant, sine sententiæ dispendio non potest abesse.

Ibid. —— ἐπιτρέψαι δὲ θεοῖσιν.] *Scholiastes* interpretatur: Εἴξαι ἢ συγχωρῆσαι τῇ ἰσχῦῖ. Verùm cùm vox ἐπιτρέπω nusquam apud Poëtam hâc significatione occurrat; rectiùs forsan intelligetur hoc de Certaminis eventu diis committendo. Aptiùs nempè congruet hoc cùm sequentibus Ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσιν. Et hoc sensu planè usurpatur eadem ipsa phrasis suprà *τ'.* 502.

Ἀλλ' ἴχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν.

Et infrà *χ'.* 288. 289.

—— ἀλλὰ θεοῖσι
Μῦθον ἐπιτρέψας ——.

Digitized by Google

Χειρῶν καὶ σθένεος πειρήσομαι, εἴ μοι ἔσ' ἐστὶν
Ἷς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
Ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ', ἀκομιστίη τε.
Ὣς ἔφαθ· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν, 285
Δείσαντες, μὴ τόξον ἐΰξοον ἐπανύσειεν.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ' ἠβαιαί·
Οὐκ ἀγαπᾷς, ὅθ' ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν
Δαίνυσαι; οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις 290
Μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
Ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
Οἶνός σε τρώει μελιηδής, ὅστε καὶ ἄλλους
Βλάπτει, ὃς εὖν μιν χανδὸν ἕλῃ, μηδ' εὐέσιμα πίνῃ.

" Manus et robur experiar; an mihi adhuc sit
" Vis, qualis anteà erat in flexilibus membris;
" An jam mihi perdiderit vagatioque, et curationis-inopia."
Sic dixit: illi verò omnes supra-modum indignati sunt, 285
Veriti, nè arcum benè-politum tenderet.
Antinous autem increpabat, verbumque dixit, compellabatque;
" Ah miser hospitum, inest tibi mens nè exigua quidem:
" Nonne contentus es, quòd quietus unà cum superbis nobis
" Epularis? neque omninò convivio privaris, at audis 290
" Sermones nostros et colloquium? neque quisquam alius
" Nostros sermones hospes et pauper audit.
" Vinum te labefacit dulce, quod utique et alios
" Lædit, quicunque ipsum avidè ceperit, neque modicè biberit.

Ver. 282. ——— σθένος πειρήσομαι.] Vide ad *Il. ὁ.* 359.

Ver. 284. ——— ἄλη τ', ἀκομιστίη τε.] Ἤγουν ἡ πλάνη, καὶ τὸ μὴ ἔχειν κομιδὴν, δι' ἧς θεραπεύεται τὸ σῶμα. *Eustath.*

Ibid. ——— ἀκομιστίη.] Vide ad *Il. ὁ.* 24.

Ver. 289. Οὐκ ἀγαπᾷς, ὅθ' ἕκηλος.] Τὸ δὲ μεθ' ἡμῖν "οὐκ ἀγαπᾷς" ἴσασι τοὺς ὕστερον ἐπὶ τοῦ ἀρέσκεσθαι τοῦ νῦν τὸ ἀγαπᾷν· ὃ καὶ μετὰ δόξης ἐκεῖνος συντάσσουσιν. *Eustath.*

Ibid. ——— ὅθ' ἕκηλος.] *Al.* ὁ ἕκηλος.

Ibid. ——— ὑπερφιάλοισι μεθ' ἡμῖν.] Σημειοῦται δὲ οἱ Παλαιοὶ καὶ ὡς ὑπερφιάλους τοὺς μνηστῆρας ὁ Ἀντίνοος ἐπὶ ἐπαίνῳ φησίν· οὐ γὰρ δὴ τοῦ ψέγει τοὺς κατ' αὐτὸν· οὐ μὴ ἄρα βαρυνόμενος λέγει, ὡς ἄξιος κοινῇ συνευωχεῖσθαι ἡμῖν τοῖς, ὡς οἱ πολλοὶ φασὶν, ὑπερφιάλοις· ᾧ δὴ ὅμοιον τὸ ἐφεξῆς καὶ τὸ, [infrà *ver.* 309. 310.] "ἕκηλος αἶνε μετ' ἀνδράσι κυροτέροις· "σὺ" ὡς ταπεινὸν ὄν, ὑπερφιάλους, καὶ κυροτέρους, ἀνῶν. *Eustath.* Cæterùm vox ὑπερφιαλεῖν, semper alibi apud Poëtam, deteriorem in partem usurpata videtur.

Ver. 293. Οἶνος σε τρώει μελιηδής.] Καὶ Ἀντίνοος δὲ λέγων πρὸς Ὀδυσσέα, "Οἶνος σε "τρώει μελιηδής," αὐτὸς οὐκ ἀπέχιτο τοῦ πόματος· διὸ καὶ τρωθεὶς ἀπώλετο [infrà χ'. 9. 17.] ἔστι κρατῆρα τὸ ποτήριον. *Athenæus, lib.* I. *cap.* 8. *sub fine.*

Ver. 294. Βλάπτει, ὅς ἂν μιν χανδὸν ἕλῃ, μηδ' εὐέσιμα πίνῃ.] Οἶδε δὲ ὁ Ὅμηρος καὶ τὸ ὠφέλιμον καὶ τὸ σύμμετρον τοῦ οἴνου, οἷς τὸν χανδὸν ἕλκοντα [fortè ἑλόντα] αὐτὸν βλάπτεσθαι φησί. ——— Τῆς μέθης δὲ καταστέχων ὁ Ποιητὴς, ——— διὰ ταύτην ἀπολλύμενον παρίστησιν καὶ Εὐρυτίωνα τὸν Κένταυρον. *Athenæus, lib.* I. *cap.* 8.

Πολὺς γὰρ οἶνος πόλλ' ἀμπετάνιν ποιεῖ.
Alcæus apud Gratium in Excerptis.

Οἶνον τοι πίνειν πολὺν, παπὸν· ἢν δὲ τις αὐτὸν
Πίνῃ ἐπιστημίνως, ὠ παπὸς, ἀλλ' ἀγαθὸς.
Theogn. Gnom. ver. 211.

Οἶνος μὲν θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον,
Πινόμενος καθαρὸν μέτρον· ὑπὲρ μέτρον δὲ χέρειον.
Panyasis, Εἰς ἀκρασίαν, Fragm. II.

Ibid. ——— χανδὸν.] Ἀθρόως καὶ κεχηνότως. *Schol.* Sic apud *Nicandrum*;

Χανδὸν ἀμέτρηθον δίψεται ὅσσον ———.
Therias. ver. 341.

ubi *Scholiastes* hunc *Homeri* locum adducit.

Ibid. ——— ἕλῃ, ——— πίνῃ.] Apud *Galenum* citatur ἕλοι, ——— πίνοι· *Lib. inscript.* " Quod

Digitized by Google

Οἶνος καὶ Κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα 295
Ἄασεν ἐν μεγάρῳ μεγαθύμου Πειριθόοιο,
Ἐς Λαπίθας ἐλθόνθ· ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
Μαινόμενος κάκ' ἔρεξε δόμον κατὰ Πειριθόοιο·
Ἥρωας δ' ἄχος εἷλε, δὶ' ἐκ προθύρου δὲ θύραζε
Ἕλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέϊ χαλκῷ, 300
Ῥινάς τ' ἀμήσαντες· ὁ δὲ, φρεσὶν ἧσιν ἀασθείς,
Ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ·

" Vinum etiam Centaurum inclytum Eurytiona 295
" Labefecit in domo magnanimi Pirithoï,
" Ad Lapithas profectum: is nempè postquam mentem labefecerat vino,
" Insaniens mala patravit in domo Pirithoï;
" Heroas verò dolor cepit; ex vestibulo autem foràs
" Pertraxerunt impetu-facto; aures sævo ære, 300
" Naresque ubi-amputârant: ille autem mente suâ labefactus,
" Ibat suum damnum portans dementi animo;

" *Anim. Mor. Corp. Temperam. sequantur.*" Et MS. à *Tho. Bentleio* collat. habet τίνει.

Ver. 295. Οἶνος καὶ Κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα Ἄασεν κ.τ.λ.] "Ἔνια τῶν ἐν τῷ Πειρίθου γάμῳ Κενταύρων ἀπολομένων τὸν Εὐρυτίωνα λέγει, ὅτι τὴν Ἀδράστου [*Barnesius* edidit τὴν Ἄτρακος] θυγατέρα, λέγω δὴ Ἱπποδάμειαν, Πειρίθους πρὸς γάμον ἀγόμενος ἐκάλεσε κατὰ συγγένειαν Λαπίθας καὶ Κενταύρους· ὑπὸ μέθης δὲ αἱ Κένταυροι προσχθέντες τῶν Λαπιθῶν ἀρπάσαι τὰς γυναῖκας ἐτιχόρησαν· οἱ δὲ ὀργισθέντες ἀνῄλον τοὺς Κενταύρους. *Schol.*

Bacchus et ad culpam causas dedit: ille furentes
Centauros leto domuit, Rhætumque Pholumque,
Et magno Hylæum Lapithis cratere minantem. *Virgil. Georgic.* II. 455.

Nam tibi, sævorum sævissime Centaurorum
Euryte, quàm vino pectus, tàm virgine visâ
Ardet; et ebrietas geminata libidine regnat. *Ovid. Metam. lib.* XII. *v.* 219.

At, nè quis modici transiliat munera Liberi,
Centaurea monet cum Lapithis rixa super mero
Debellata ——————.
Horat. Carm. lib. I. *Od.* xviii. 7.

Ver. 296. et 297. Ἄασεν.] Vide ad *Il. i.* 116.

Ibid. Ἄασεν ἐν μεγάρῳ.] Apud *Galenum*, loco suprà citato, itemque in MS. à *Tho. Bentleio* collat. legitur Ἄασ' ἐνὶ μεγάρῳ. *Athenæus* autem, *lib.* XIV. *cap.* 1. *sub initio*, citat, Ὤλεσ' ἐνὶ μεγάρῳ.

Ver. 298. Μαινόμενος κάκ' ἔρεξε δόμον κατὰ.] Τὸν Διόνυσον —— μαινόμενον οἱ πολλοὶ λέγουσιν, ἀπὸ τῶν τοῦ πλείονος ἀκράτου σπῶντας θορυβώδεις γίνεσθαι· —— "ὁ δ' ἐπὰ φρένας ἄασεν "οἴνῳ, Μαινόμενος κάκ' ἔρεξε κ.τ.λ." Κατέοντες γὰρ τοῦ οἴνου εἰς τὸ σῶμα, ὡς φησὶν Ἡρόδοτος, ἐκπαραλλὰξι κακὰ ἔπεα καὶ μανόμενα. *Athenæus, lib.* XIV. *cap.* 1. *ipso initio.*

Κακὸν τὸ πίνειν, ἀπὸ γὰρ οἶνο γίνεται
Καὶ θορυβοποιῆσαι καὶ πατάξαι καὶ βαλεῖν.
Aristoph. Vesp. ver. 1243.

Protinùs eversæ turbant convivia mensæ,
Raptaturque comis per vim nova nupta prehensis.
Ovid. Metam. lib. XII. 222.

Ibid. —— δόμον κατὰ Πειριθόοιο.] Apud *Eustathium* in commentario legitur et γάμον κατὰ Πειριθόοιο. Quam lectionem sequitur Dna. *Dacier.* Sed, ut opinor, minùs rectè. Cæterùm apud *Athenæum*, loco suprà citato, legitur δόμοις ἐνὶ Πειριθόοιο.

Ver. 300. Ἕλκον.] *Barnesius* hîc legendum vult Εἷλκον nè scilicèt "non satis distinguatur à *Participio* Neutro." Quod sanè nihil opus.

Ibid. —— ἀπ' οὔατα νηλέϊ χαλκῷ, Ῥινάς τ' ἀμήσαντες.]

—————— lacerum crudelitèr ora;
Ora manusque ambas, populataque tempora raptis
Auribus, et truncas inhonesto vulnere nares. *Æn.* VI. 495.

Ver. 302. —— ἣν ἄτην ὀχέων.] MS. à *Tho. Bentleio* collatus, ἀχέων. Malè: Nam vox ἀχέων cum istiusmodi *Accusativo* conjuncta nusquam apud Poëtam occurrit. At ἀχέων eodem sensu alibi usurpatur;

Οὔς τινας ὑμεῖς ἴστε μάλιστ' ἀχέοντας ἐϊζὺν
Ἀνθρώπων ——————. *Odyss.* η. 211.

—————— ἤ τινα καὶ σὺ κακὸν μόρον ἠγκαλέοιο,
Ὃν περ ἐγὼν ἀχέοιμι ——————. λ. 61.

Digitized by Google

Ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
Οἵ τ' αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
Ὃς καί σοι μέγα πῆμα πιφαύσκομαι, αἴκε τὸ τόξον 305
Ἐντανύσῃς· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις
Ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
Πέμψομεν· ἔνθεν δ' οὔτι σαώσεαι· ἀλλὰ ἕκηλος
Πῖέ τε, μηδ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισι. 310
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ἀντίνοε, οὐ μὲν καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
Ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
Ἤλπεαι, αἴχ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
Ἐντανύσῃ, χερσίν τε βίηφί τε ἧφι πιθήσας, 315
Οἴκαδέ μ' ἄξέσθαι, καὶ ἐὴν θήσεσθαι ἄκοιτιν;

" Ex quo Centauris et viris contentio facta est;
" Sibique ipsi primo malum invenit *is*, vino gravatus.
" Sic et tibi magnum damnum denuntio, si arcum 305
" Tetenderis: non enim cujusquam favorem invenies
" Nostro in populo; statim autem te navi nigrâ
" Ad Echetum regem, hominum multatorem omnium,
" Mittemus; indè autem nequaquam salvus-evades: sed quietus
" Bibeque, neque contende cum viris junioribus." 310
Hunc autem rursùs allocuta est prudens Penelope;
" Antinöe, non quidem honestum mulctare, neque justum
" Hospites Telemachi, quicunque has ædes advenerit.
" Putasne, si hospes Ulyssis magnum arcum
" Tetenderit, manibusque viribusque suis fretus, 315
" Domum *eum* me ducturum, et suam facturum uxorem?

Ver. 303. Ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη.]

Foemina silvestres Lapithas populumque bimembrem
Turpitèr apposito vertit in arma mero.
Ovid. Amorum, lib. II. *Eleg.* xii. *v.* 19.

An fera Centauris indicere bella coëgit
Atracis Hæmonios Hippodamia viros?
Id. Heroid. Epist. XVII. *ver.* 247.

Vide suprà ad *ver.* 295.

Ibid. Ἐξ οὗ.] Vide ad *Il. α.* 6.

Ver. 306. 315. Ἐνταν ύσῃς —— Ἐνταν ύσῃ.] Apud *Eustathium* in commentario, Ἐνταν ύσεις, —— Ἐνταν ύσει.

Ibid. —— ἀ γάρ τευ ἐπητύος ἀντιβολήσεις.] De voce ἐπητύος, quæ apud *Homerum* hoc tantùm in loco occurrit, ita *Eustathius*; Ἐπητὺς δὲ, κατὰ μὲν τινὰς, ἡ μετάτησις, ὡς ἀπὸ τοῦ ἐπαιτεῖν. Ἕτεροι δὲ ἐπητὺν τὸν ἐν λόγοις φασὶν ἔπαινον, ὡς ἀπὸ τοῦ ἐπήτης, ἢ ἐπητὴς ἐξυτόνως, ὃ δηλοῖ τὸν φρόνιμον καὶ λόγιον. Vide suprà ad γ'. 382. et σ'. 127. Cæterùm in nonnullis editionibus, notante *Barnesio*, scriptum est ἰδητύος.

Ibid. —— ἀντιβολήσεις.] Ἀντιβολῆσαι δὲ νῦν τὸ ἐπιτυχεῖν· ἐς ἄλλοις δὲ, τὸ συναντῆσαι· παρὰ δὲ τοῖς ὕστερον, καὶ τὸ ἐπιτυῦσαι. *Eustath.*

Ver. 308. Εἰς Ἔχετον βασιλῆα.] Vide suprà ad σ'. 84.

Ver. 315. —— βίηφι τε ἧφι πιθήσας.] Vulgati hîc legunt βίηφι τε ἶφι πιθήσας. *Barnesius* autem ex Editionem veterum nonnullis restituit βίηφι τε ἧφι. Quo modo habet et MS. à *Tho. Bentleio* collatus. Rectè, ut opinor. Atque ita hîc legisse liquet et *Scholiasten*, qui interpretatur, Τῇ ἰσχυῖ. Eandem porrò phrasin (notante *Barnesio*) usurpat Poëta *Iliad.* χ'. 107.

Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαὸν.

At phrasis, ἶφι πιθήσας, nusquam alibi occurrit.

Ibid. —— πιθήσας.] *Eustathius* in commentario citat πεποιθὼς.

Digitized by Google

Οὐδ' αὐτὸς τοῦ τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπε·
Μηδέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων
Ἐνθάδε δαινύσθω· ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν.
Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα· 320
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
Οὔτι σε τόνδ' ἄξεσθαι ὀϊόμεθ'· οὐδὲ ἔοικεν·
Ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν, ἠδὲ γυναικῶν,
Μὴ ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν,
Ἢ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν 325
Μνῶνται· ὅτ' οὐδέ τι τόξον ἐΰξοον ἐνταυύουσιν·
Ἀλλ' ἄλλος τις, πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν,
Ῥηϊδίως ἐτάνυσσε βιὸν, διὰ δ' ἧκε σιδήρου.
Ὧς ἐρέουσ'· ἡμῖν δὲ ἐλέγχεα ταῦτα γένοιτο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια· 330
Εὐρύμαχ', οὔπως ἐστὶν ἐϋκλείας κατὰ δῆμον
Ἔμμεναι, οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
Ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;

" Neque ipse omninò hoc in pectoribus sperat:
" Neque quisquam vestrûm hujus gratiâ animo dolens
" Hîc convivetur; quoniam nequaquam quidem decet."
Hanc autem rursùs Eurymachus, Polybi filius, contrà allocutus est; 320
" Filia Icarii, prudens Penelope,
" Neutiquam te hunc ducturum putamus; neque decet;
" Sed verentes rumorem virorum, et mulierum,
" Nè quandò aliquis dicat deterior alius Achivorum;
" Certè multò pejores viri, eximii viri uxorem 325
" Ambiunt; quippè neque omninò arcum benè-politum tendunt;
" Sed alius quidam pauper vir errans ubi-advenit,
" Facilè tetendit arcum, misitque per ferrum.
" Sic dicent: nobis verò probra hæc fierent."
Hunc autem rursùs allocuta est prudens Penelope; 330
" Eurymache, nullo-modo licet bonæ-famæ-compotes in populo
" Esse; qui scilicèt domum dedecorantes edunt
" Viri optimi: cur verò probra hæc facitis?

Ver. 317. 319. et 322. — ἔολπε — ἔοικεν.] Vide ad *Il. α.* 37.

Ver. 318. —— τοῦ γ' εἵνεκα.] Τούτου χάριν, ὅτι ὕστερος ἐμὲ ἄξεται. *Schol.*

Ver. 319. —— οὐδὲ μὲν οὐδὲ ἔοικεν.] Vide ad *Il. κ'.* 299.

Ver. 323. Ἀλλ' αἰσχυνόμενοι &c.] Αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν, ἀτιμάζομεν δηλαδὴ τὸν σὸν Τηλεμάχου ξένον. Τοῦτο γὰρ ἀναγκαίως ἐκ μακροῦ ἀπὸ κοινοῦ νοεῖται, πρὸ δίκα σίχων κείμενον. *Eustath.* Vide suprà ad *ver.* 312. Cæterùm *Barnesius* et αἰσχυνόμεθα hîc legi annotat.

Ibid. —— αἰσχυνόμενοι φάτιν ἀνδρῶν.]

—— δεινὴν δὲ βροτῶν ὑπαλύσω φήμην·
Φήμη γάρ τε κακὴ πέλεται ——.
Hesiod. Ἔργ. καὶ Ἡμερ. II. 378.

Ver. 324. Μὴ ποτέ τις εἴπῃσι.] *Barnesius* inter varias lectiones retulit Μὴ ποτέ τις τε εἴπῃσι. Sed nihil opus. Vide ad *Il. α.* 51.

Ver. 326. Μνῶνται ὅτ' οὐδέ τι.] *Al.* Μνῶνται· οὐδέ τι, et οὐδ' ἔτι.

Ver. 329. —— ἡμῖν δὲ ἐλέγχεα.] *Al.* ἡμῖν δ' ἂν ἐλέγχεα· et ἡμῖν δὲ τ' ἐλέγχεα.

Ver. 333. —— τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;] Τινὲς τὰ μεγάλα παροροῦντες ἐλέγχεα, τί δὴ ποτε τὰ μικρὰ ὑφορᾶσθε. *Eustath.* *Barnesius* autem versionesque pleræque reddunt, " Cur igitur opprobria hæc facitis;" ut scilicèt per ἐλέγχεα intelligantur superba et iniqua Procorum facinora. Quod et simpliciùs videtur.

Ibid. —— ταῦτα.] *Al.* πάντα.

Digitized by Google

Οὗτος δὲ ξεῖνος, μάλα μὲν μέγας, ἠδ' εὐπηγὴς,
Ἀνδρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός. 335
Ἀλλ' ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν·
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
Εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Ἀπόλλων,
Ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά·
Δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν, 340
Καὶ ξίφος ἄμφηκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα·
Πέμψω δ', ὅππῃ μιν κραδίη θυμός τε κελεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔτις ἐμεῖο
Κρείσσων, ᾧ κ' ἐθέλω δόμεναί τε, καὶ ἀρνήσασθαι· 345
Οὐδ' ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσιν,
Οὐδ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο.
Τῶν οὔτις μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
Καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
Ἀλλ' εἰς οἶκον ἰοῦσα, τὰ σαυτῆς ἔργα κόμιζε, 350

"Hic autem hospes, valdè quidem magnus et benè-compactus,
"Viroque ex eximio genere gloriatur esse filius. 335
"Sed age, ei date arcum benè-politum, ut videamus:
"Sic enim edico, hoc verò et perfectum erit;
"Si ipsum tetenderit, dederitque ei gloriam Apollo;
"Induam ipsum lænâque tunicâque, vestimentis pulchris;
"Daboque acutum jaculum, canum propulsatorem et virorum, 340
"Et ensem ancipitem; dabo porrò sub pedibus calceamenta:
"Mittam verò, quò ipsum cor animusque jubet."
Hanc autem rursùs Telemachus prudens contrà allocutus est;
"Mater mea, arcum quidem, Achivorum nullus me
"Potentior, cui velim dareque, et negare; 345
"Neque quotquot in asperâ Ithacâ dominantur,
"Neque quotquot in insulis prope Elidem equis-pascendis-aptam,
"Horum nullus mihi invito vim-afferet, si velim
"Et omninò hospiti dare hunc arcum auferendum.
"Sed in domum profecta, tua ipsius opera cura, 350

Ver. 335. Ἀνδρὸς.] MS. à *Tho. Bentleio* collatus, Πατρὸς.

Ver. 337. —— τὸ δὲ ᾗ.] *Barnesius* edidit τοῦ καὶ. Vide suprà ad *Il* β'. 257.

Ver. 339. —— εἵματα καλὰ.] *Al.* εἵματα πάντα.

Ver. 342. —— κραδίη θυμός τε κελεύει.] *Al.* κραδίη ᾗ θυμὸς ἀνώγει.

Ibid. —— κελεύει.] *Al.* κελεύῃ, et κελεύοι.

Ver. 346. Οὐδ' ὅσσοι.] MS. à *Tho. Bentleio* collatus, Οὐδ' ὅσσοι.

Ibid. —— κραναὴν Ἰθάκην.] Vide suprà ad *l.* 25, 27.

Ibid. —— κατακοιρανέουσιν.] *Al.* κατὰ κοιρανέουσιν.

Ver. 347. —— νήσοισι πρὸς Ἤλιδος.] Ταῖς περὶ τὸ Δυλίχιον. *Schol.* Νῆσοι δὲ ἰσχυὸς Ἤλιδος, Δυλίχιον, Ζάκυνθος, Σάμη, καὶ λοιπαὶ. *Eustath.* Vide suprà ad σ'. 247. &c. Cæterùm alii hîc legunt ναίουσι πρὸς Ἤλιδος.

Ver. 348. —— αἴ κ' ἐθέλωμι.] *Al.* αἴ κε θέλοιμι. Vide suprà ad ι. 316.

Ver. 349. —— καθάπαξ.] Τὸ δὲ, καθάπαξ, ἀντὶ τοῦ εἰς τὸ παντελὲς, ἅπαξ ἐνταῦθα εἰρῆσθαι σημαίνεται οἱ Παλαιοί. *Eustath.*

Ver. 350. 352. —— τὰ σαυτῆς ἔργα κόμιζε, —— τόξα δ' ἄνδρεσσι μελήσει.] Vide ad *Il.* ζ'. 490.

Digitized by Google

Ἰστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι· τόξον δ' ἀνδρεσσι μελήσει
Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἐστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα, πάλιν οἴκονδε βεβήκει·
Παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ. 355
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός·
Μνηστῆρες δ' ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν· 360
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Πῇ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
Πλαγκτέ; τάχ' αὖ σ' ἐφ' ὕεσσι κύνες ταχέες κατεδονται
Οἷον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες· εἴ κεν Ἀπόλλων
Ἡμῖν ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι. 365
Ὣς φάσαν· αὐτὰρ ὁ θῆκε φέρων αὐτῷ ἐνὶ χώρῳ,
Δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισι.
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει·

"Telamque columque; et ancillas jube
"Opus obire: arcus autem viris curæ erit
"Omnibus, maximè verò mihi; hujus enim imperium est in domo."
Illa quidem attonita, retrò in domum ivit;
Filii enim sermonem prudentem posuit in animo. 355
In cænaculum autem quum ascenderat cum famulis mulieribus,
Flebat deindè Ulyssem, dilectum maritum, donec ipsi somnum
Dulcem palpebris immisit cæsia oculis Minerva.
Cæterùm arcum sumptum ferebat curvum nobilis subulcus:
Proci autem proindè omnes increpabant in ædibus: 360
Sic verò aliquis dicebat juvenum superborum;
"Quònam demùm curvum arcum fers, immanis subulce,
"Amens? citò tandem te apud sues canes veloces comedent
"Seorsùm ab hominibus, quos [*canes*] nutrivisti; si Apollo
"Nobis propitius-sit, et immortales dii alii." 365
Sic dixerunt: at ille posuit ferens ipso in loco,
Veritus, quoniam multi increpabant in ædibus.
Telemachus autem ex alterâ parte minatus clamabat;

Ver. 354. Ἡ μὲν θαμβήσασα, πάλιν οἴκονδε βεβήκει.] Optimè Poëta, Procorum cædem jamjam memoraturus, *Penelopen*, quam cædi isti interesse minimè conveniret, priùs amovet. Ὅτι προαγαγὼν πάνυ ἀναγκαίως ὁ Ποιητὴς τὴν Πηνελόπην τῆς γυναικωνίτιδος ἐφ' ὅσον ἰχρῆν, καὶ ἀνόσας δι' αὐτῆς τὴν τοῦ τόξου κατάθεσιν εὐμεθόδως, εἶτα διαγνοὺς, ὡς ἀκίνι χρεία ὅλως ταύτης ἐστὶ τοῖς ἐξῆς, συγίλλει αὐτὴν τοῦ λοιποῦ διεκώστασα. Οὐ μὴν δὲ ἀλλὰ καὶ ποιμίζει βαθὺ, ὡς ἂν μηδενὸς τῶν γενησομένων αἰσθομένη ὅτι γίνονται, παραδίξως ὅστερον καὶ μετ' ἐκπλήξεως ἀναγνωρίσει τε ἅμα τὸν ἄνδρα, καὶ μάθοι ἐξολωλότας τοὺς μνηστῆρας. *Eustath.*

Ver. 360. —— ἄρα.] *Ut expectandum erat* ——.

Ver. 363. Πλαγκτέ;] Παρασκλῆξ, τὴν διάνοιαν σκιαλαμπόμενε. *Schol.* Παράφρων καὶ σκιαλαμπόμενε τὴν διάνοιαν. *Hesych.* ad vocem Πλαγκτέ.

Ibid. —— τάχ' αὖ σ'.] *Al.* τάχ' ἂν σ'.

Ibid. —— κατέδονται.] *Al.* κατέδονται.

Ver. 365. —— ἱλήκῃσι.] Ἵλεως γένοιτο. *Schol.*

Ver. 366. —— αὐτῷ.] *Al.* αὐτῇ.

Digitized by Google

Ἄττα, πρόσω φέρε τόξα· (τάχ' οὐκ εὖ πᾶσι πιθήσεις·)
Μή σε, καὶ ὁπλότερος περ ἐὼν, ἀγρόνδε δίωμαι
Βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερος εἰμί.
Αἴ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασι,
Μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην·
Τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
Ἡμετέρου ἐξ οἴκου· ἐπεὶ κακὰ μηχανόωνται.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν
Μνηστῆρες· καὶ δὴ μεθίεν χαλεποῖο χόλοιο
Τηλέμαχῳ· τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
Ἐν χείρεσσ' Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς.
Ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
Κληΐσσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας.
Ἤν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
Ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
Προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
Ὡς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Κλῄσσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.

" Heus, ulteriùs fer arcum; (citò non benè omnibus obedies:)
" Nè te, et junior licèt sim, in agrum pellam
" Percutiens saxis; viribus autem præstantior sum.
" Utinam enim omnibus tantum, quotquot in ædibus sunt,
" Procis manibus viribusque præstantior essem:
" Tunc statim gravitèr aliquem ego mitterem ire
" Nostrâ ex domo; quoniam mala machinantur."
Sic dixit: omnes autem super ipso suavitèr riserunt
Proci; et jam remiserunt à gravi irâ
Erga Telemachum: arcum verò ferens per domum subulcus
Manibus Ulyssi prudenti imposuit adstans.
Evocatam autem allocutus est nutricem Eurycleam;
" Telemachus jubet te, prudens Euryclea,
" Claudere domûs fores firmitèr aptatas.
" Si autem aliqua vel gemitum vel strepitum intùs audiat
" Virorum nostris in septis, nequaquam foràs
" Prodeat, sed ibidem quietè sit apud opus."
Sic utique dixit: illi autem pennarum-expers fuit verbum.
Clausit verò fores ædium habitantibus commodarum.

Ver. 369. —— Ἄττα.] Vide suprà ad π'. 31.

Ibid. —— οὐκ εὖ πᾶσι πιθήσεις.] Παροιμιώδες ἐπὶ ἀρέσκειν, καὶ πᾶσιν ἡδίστοις πάντα πράττεσθαι. *Eustath.*

Ver. 374. —— ἐγὼ πέμψαιμι νέεσθαι.] Apud *Eustathium*, et in contextu et in commentario, ἐγὼν ἀπόπεμψα.

Ver. 381. Τηλέμαχος κέλεται σε, &c.] Καὶ ἐκ ἐλληθόσι μὴν ὁ Εὔμαιος, ἀπὸν ὡς ὁ Τηλέμαχος, ὕστω κελεύει, [vide suprà ad *ver.* 235. &c.] πλὴν ὡς πεπνυμένος ψεύδεται καὶ αὐτὸς· ἐ γὰρ ἴδει πάντως ἐκεῖν ὅτι Ὀδυσσεὺς κέλεται σε τάδε ποιῆσαι, ἐ γὰρ οἶδε τὸν αὐτῆς ἐκείνε ἀναγνωρισμόν. *Eustath.*

Ver. 382. 387. et 389. Κληΐσσαι —— Κλῄσσεν.] Vide suprà ad *ver.* 236. et ω'. 30.

Ver. 386. —— τῇ δ' ἄπτερος ἔπλετο μῦθος.] Vide suprà ad ρ'. 57.

Digitized by Google

Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἅλτο θύραζε,
Κλῄσσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
Κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
Βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἥιεν αὐτός.
Ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
Εἰσορόων Ὀδυσῆα· ὁ δ' ἤδη τόξον ἑνώμα,
Πάντῃ ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
Μὴ κέρα ἶπες ἔδοιεν, ἀποιχομένοιο ἄναικτος.
Ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τις δηρητὴς καὶ ἐπίπλοκος ἔπλετο τόξων,

Tacitè porrò ex domo Philœtius prosiliit foràs,
Clausitque deindè fores benè-munitæ aulæ.
Jacebat autem sub porticu funis navis remis-utrinque-agitatæ
Byblinus, quo scilicèt illigavit januas; ingressus est verò ipse.
Sedebat deindè in sellâ profectus, undè scilicèt surrexerat,
Inspiciens Ulyssem; ille autem jam arcum tractabat,
Omni-ex-parte versans, tentans huc et illuc;
Nè cornua vermes edissent, absente domino.
Sic verò aliquis dicebat, intuitus in propinquum alium;
"Sanè *hic* aliquis peritus et sagax est arcuum;

Ver. 389. —— ἄρ'.] *Uti ei præceperat Ulysses* ——. Suprà *ver.* 240.

Ver. 390. —— ὅπλον νεός.] Σχοινίον. *Schol.* Ita suprà ξ'. 345. 346.

Ἐνθ' ἐμὲ μὲν κατέδησαν ἰθυσέλμου ἐν νηῒ,
Ὅπλῳ ἰθυρεφέϊ πειρῶν· ——.

Ver. 391. Βύβλινον.] Καινάδινον οἱ δὲ τὸ ἐκ παπύρου. *Schol.* Dna. *Dacier* vertit, *un cable d' Egypte;* et in annotationibus exponit; "Un cable fait de la plante appellée *byblus*, "qui croissoit dans les marais d'Egypte." Atque hujus plantæ meminit *Strabo;* Φύεται δ' ἐν τοῖς Αἰγυπτιακοῖς ἕλεσι καὶ τοῖς λίμνοις ἥτις βίβλος ——. Ἡ μὲν βίβλος ψιλὴ μέλαινα ἐστὶν, ἐκ' ἄκρῳ ἰσχυρὰ χαίτην. *Geograph. lib.* XVII. *pag.* 1151. *al.* 799. Hinc scribitur et Βίβλινον. Atque ita in commentario, *Eustathius;* Βίβλινον δὲ (inquit) ἀ τὸ ἐκ βίβλου, ὅ ἐστι παπύρου Αἰγυπτίας, ἀλλὰ βοτάνης τινὸς ἐμφεροῦς παπύρῳ. Οἱ δὲ καινάδινον φασὶν ἕτερον δὲ, κὸ ἐκ φιλύρας. Cæterùm *Masson, Hist. Critique de la Republ. des lettres, Tom.* XV. *pag.* 306. 307. Poëtam funem hunc *Byblinum* à *Byblo*, oppido quodam ubi navium rudentes fiebant, appellâsse contendit. Quin et oppidi maritimi ita nominati meminit *Dionysius* in *Periegesi;*

Βύβλον τ' ἀγχίαλον ——. *ver.* 912.

Iliad. —— ᾧ ῥ'.] *Quo scilicèt* ——.

Ver. 394. —— ἀναστρωφῶν.] *Al.* ἀνατρωφῶν.

Ibid. —— πειρώμενος ἔνθα καὶ ἔνθα, Μὴ κέρα ἶπες ἔδοιεν.] Ὀδυσσεὺς μὲν τὸ τόξον πάντῃ ἀνατρωφῶν, ὅπερ ὀλίγον τῶν πρὸ αὐτοῦ ἐποίησεν, ἐπειρᾶτο ἔνθα καὶ ἔνθα, μὴ κέρα ἶπες ἔδοιεν· ὡς ἄν, ὑγιοῦς μὲν ὄντος τοῦ τόξου, ἐγχειρήσῃ τῷ ἔργῳ· ἀχρειωθέντος δὲ, μηχανήσῃται τὴν ἔριν. —— Ἰστέον δὲ ὅτι ἐνοίδια αἱ ἶπες ἐλέγοντο ἐμφυόμενα καὶ κατεσθίοντα, παρακαλέσα, φασὶ, κώνωψι γίνεται δὲ πολὺ τὸ ἔντομον, ἐν τῇ θέρει. Τινὲς δὲ ὑφ' ἓν, κεράτινες, γράφουσι, ἀντὶ τοῦ ἐν τοῖς κέρασιν ἶπες, πρὸς διαστολὴν τῶν ἐν φυτοῖς. Ἄλλοι δὲ, κεραΐδες, ὡς ἀπὸ τοῦ κεραΐζειν· ἵνα δηλοῖ τὰς τῶν τόξων θραυστικὰς. *Eustath.*

Ver. 395. —— κέρα.] Κεράτινον δὲ ἦν, φησὶν, ὡς φαίνεται, τὸ τόξον· ὃ μὴν, κάστε τὰ πάλαι Σκυθικά, ξύλινον. *Eustath.* *Eustathius* autem Veteres hâc in re non recte utiliùs contendit; "Τὰ κέρα enim," inquit, "hoc "in loco, *Duas* potiùs Arcus *extremitates* "notant, quæ ex *Cornu* ferè esse solent; "quæque si exesæ fuerint, nullatenus illi "Arcui fidendum." Attamen *Philostratus* cum totum ex Capri cornubus factum fuerat ipse Poëta, *Iliad.* Υ. 105. 109.

Ver. 397. Ἦ τις δηρητὴς.] Θαυμαστὸς, ἱμαστιρὸς. *Schol.* Cæterùm apud *Plutarchum, de Oraculorum Defectu,* citatur, Εἴ τις δηρητὴς.

Ibid. —— ἐπίπλοκος.] Ἐπιδεξιοπαίκτης, ἐπιστικὸς, πλέκτης· πλέκειν γὰρ τὸ ἐπιδεξιοπαίκτειν· πλέκτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. Θαυμαστικὸς τῶν τόξων ὁ ἔμπειρος, ὁ πλέκων τὴν αὐχὴν ἐμφέρειαν. *Eustath.* Pauci MS. à *Th. Bentleio* collatus hîc habet ἐπλεκτο.

Digitized by Google

Ἦ ῥά νύ κεν τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
Ἦ ὅγ' ἐφορμᾶται ποιήσιμον· ὡς ἐνὶ χερσὶ
Νυμφᾶ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης. 400
Ἄλλος δ' αὖτ' ἐέτερος νέων ὑπερηνορεόντων·
Αἴ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
Ὡς οὗτός ποτε τοῦτο δυνήσεται ὑπανύσασθαι.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεὺς,
Αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβώσασε, καὶ ἴδε πάντη, 405
Ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς,
Ῥηϊδίως ἐτάνυσσε νέῳ ἐπὶ κόλλοπι χορδὴν,
Ἅψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
Ὡς ἄρ' ἄτερ σπουδῆς τάνυσε μέγα τόξον Ὀδυσσεύς·
Δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς· 410
Ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.

"Aut sanè alicubi tales et ipsi domi jacent,
"Aut ille molitur facere; ita in manibus
"Versat huc et illuc malorum expertus erro." 400
Alius autem rursùs dicebat juvenum superborum;
"Utinam enim jam tantoperè utilitatis particeps-fiat,
"Ut iste unquam hunc poterit tendere."
Sic utique dixerunt proci: at solers Ulysses,
Statim postquam magnum arcum ponderavit, et vidit undique, 405
Sicut quandò vir citharæ peritus et cantûs
Facilè extendit novo in clavo chordam,
Ubi nexuerit utrinque benè-tortum intestinum ovis;
Sic utique sine nisu tetendit magnum arcum Ulysses:
Dexterâ autem deindè manu prehensum tentavit nervum; 410
Hic verò subtùs clarè sonuit, hirundini similis voce.

Ver. 399. Ἦ ὅγ' ἐφορμᾶται ποιήσιμον.] Ἴσως ἡ ἐξαπάτης ἕνεκα [τάξει] οἷς ἔχει, (*ver.* 398.) ἢ ἴσα τοῖς ἔμπροσθεν. *Eustath. Barnesius* aliique vertunt, "*Vel* certè *hic parat* "aliquid *facere.*" Sed potior videtur *Eustathii* interpretatio: Facilius enim vocem ποιήσιμον de arcubus, (de quibus loquitur Poëta *ver.* 397. 398.) accipere; quàm vocularn τι, quæ sensum tam diversum inducat, subintelligere.

Ver. 400. —— ἔμπαιος.] Vide suprà ad ι. 379.

Ver. 402. —— τοσσοῦτον ὀνήσιος ἀντιάσειεν, Ὡς οὗτος αἶψα τόνει.] *Barnesius* vertit, "*Tan-* "*tum utilitatis obviaret* mihi, *Quantum &c.*" Cui interpretationi favere quidem videtur sequens vox οὗτος. Rectiùs autem, ut opinor, *Scholiastes*; Ὁ νῦν, εἴθε καὶ ἐπὶ τοσοῦτον ἡμῖν ὦν βούλεται, λάβοι.

Ver. 406. Ὡς ὅτ' ἀνὴρ.] Apud *Eustathium*, Ὡς δ' ὅτ' ἀνὴρ.

Ver. 407. —— ἐπὶ κόλλοπι.] Apud *Eustathium*, περὶ κόλλοπι.

Ibid. —— κόλλοπι.] Κολλόπα· εἴρεται δὲ περὶ τὴν κόλλαν. *Schol.* Κόλλοψ δὲ, ὁ σπεῖρα τοῖς ὕστερον κόλλαβος, ὃ δ' τάνυται εἰς τοιοῦτον χορδαί. *Eustath.*

Ver. 408. —— ἐϋστρεφὲς ἔντερον οἰός.] Τὴν χορδὴν. *Schol.*

Ver. 409. —— τάνυσε μέγα.] *Barnesius* edidit τάνυστο. Sed nihil opus. Vide ad *Il.* ε. 51.

Ver. 410. —— πειρήσατο.] *Al.* πειρήσατο.

Ver. 411. Ἡ δ' ὑπὸ καλὸν ἄεισε.]

—— sonat unà lethifer arcus.

Æn. IX. 681.

Ibid. —— χελιδόνι εἰκέλη αὐδήν.] Ἴσον δὲ ὅτι χελιδόνι, ἢ μὲν ἀηδόνι, κινήσασαν εἰπεῖν τὴν νευρὰν, ἵνα μὴ περὶ ἠδύνωσι ἢ ἀμούσωσι, ἀλλὰ μόνον περὶ κινήσεως φωνῆς ἀφάτου ἐπέτρεψεν. *Eustath.*

Digitized by Google

Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε,
Κλῄισσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
Κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
Βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἤιεν αὐτός.
Ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰὼν, ἔνθεν περ ἀνήστη,
Εἰσορόων Ὀδυσῆα· ὁ δ' ἤδη τόξον ἑνώμα,
Πάντῃ ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
Μὴ κέρα ἶπες ἔδοιεν, ἀποιχομένοιο ἄναικτος.
Ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων,

Tacitè porrò ex domo Philœtius prosiliit foràs,
Clausitque deindè fores benè-munitæ aulæ.
Jacebat autem sub porticu funis navis remis-utrinque-agitatæ
Byblinus, quo scilicèt illigavit januas; ingressus est verò ipse.
Sedebat deindè in sellâ profectus, undè scilicèt surrexerat,
Inspiciens Ulyssem; ille autem jam arcum tractabat.
Omni-ex-parte versans, tentans huc et illuc;
Nè cornua vermes edissent, absente domino.
Sic verò aliquis dicebat, intuitus in propinquum alium;
Sanè *hic* aliquis peritus et sagax est arcuum;

Ver. 389. —— ἄρ'.] *Uti ei præceperat Ulysses* ——. Suprà *ver.* 240.

Ver. 390. —— ὅπλον νεὸς.] Σχοινίον. *Schol.* Ita suprà ξ'. 345. 346.

Ἔνθ' ἐμὶ μὲν κατέδησαν ἐυσσέλμου ἐν ἀνάγκῃ
Ὅπλῳ ἐϋστρεφέϊ στερεῶς ——.

Ver. 391. Βύβλινον.] Καινάβινον οἱ δὲ τὸ ἐκ παπύρου. *Schol.* Dna. *Dacier* vertit, *un cable d' Egypte;* et in annotationibus exponit; "Un cable fait de la plante appellée *biblus*, "qui croissoit dans les marais d'Egypte." Atque hujus plantæ meminit *Strabo;* Φύεται δ' ἐν τοῖς Αἰγυπτιακοῖς ἕλεσι καὶ ταῖς λίμνοις ἥτις βίβλος ——. Ἡ μὲν βίβλος ψιλὴ φύλλου ἐστὶν, ἐπ' ἄκρῳ ἴχνεα χαίτην. *Geograph. lib.* XVII. *pag.* 1151. *al.* 799. Hinc scribitur et Βίβλινον. Atque ita in commentario. *Eustathius;* Βίβλινον δὲ (inquit) ὁ τὸ ἐκ βίβλου, ὅ ἐστὶ παπύρου Αἰγυπτίας, ἀλλὰ βοτάνης τινὸς ἐμφεροῦς παπύρῳ. Οἱ δὲ καινάβινον φασὶν ἕτερα δὲ, κὸ ἐκ φιλύρας. Cæterùm *Masson, Hist. Critique de la Republ. des lettres, Tom.* XV. *pag.* 806. 807. Poëtam funem hunc *Byblinum* à *Byblo*, oppido quodam ubi navium rudentes fiebant, appellâsse contendit. Quin et oppidi maritimi ita nominati meminit *Dionysius* in *Periegesi;*

Βίβλαν τ' ἀγχίαλον ——. *ver.* 912.

Iliad. —— ᾧ ῥ'.] *Quo scilicèt* ——.

Vers. 394. —— ἀναστρωφῶν.] *Al.* ἀνατρωφῶν.

Ibid. —— πειρώμενος ἔνθα καὶ ἔνθα, Μὴ κέρα ἶπες ἴδοιεν.] Ὀδυσσεὺς μὲν τὸ τόξον πάντῃ ἀνατρωφῶν, ὅπερ οὐδὲς τῶν πρὸ αὐτοῦ ἐποίησεν, ἐπειρᾶτο ἔνθα καὶ ἔνθα, μὴ κέρα ἶπες ἴδοιεν ὡς ἄν, ὑγιοῦς μὲν ὄντος τοῦ τόξου, ἐγχειρήσῃ τῷ ἔργῳ· ἀχρειωθέντος δὲ, μηχανήσῃται τὴν ἔριν. —— Ἴσιον δὲ ὅτι θηρεύεται αἱ ἶπες κέρασιν ἐμφυόμενα καὶ κατεσθίοντα, παρακλάσιν, φασὶ, κώνων· γίνεται δὲ πολὺ τὸ ἴσον, ἐὰν τὴν ῥάβδον. Τινὲς δὲ ὑφ' ἓν, κεραΐνες, γράφουσι, ἀντὶ τοῦ ἐν τοῖς κέρασιν ἶπες, πρὸς διασολὴν τῶν ἐν φυτοῖς. Ἄλλοι δὲ, κεραΐδες, ὡς ἀπὸ τοῦ κεραΐζειν· ἵνα δηλοῖ τὰς τῶν τόξων φθορικὰς. *Eustath.*

Ver. 395. —— κέρα.] Κεράτινον δὲ ὦν φησὶν, ὡς φαίνεται, τὸ τόξον· ὁ μὲν, κέρα τὰ πάλαι Σκυθικὰ, ξύλινον. *Eustath.* *Bentleius* autem Veteres hâc in re non recte judicasse contendit; "Τὰ κέρα enim," inquit, "hoc "in loco, *Duas* potiùs Arcus *extremitates* "notant, quæ ex *Cornu* ferè esse solent: "quæque si exesæ fuerint, nullatenus illi "Arcui fidendum." Attamen *Pindarus* Arcum totum ex Capri cornubus factum fuerat ipse Poëta, *Iliad.* Υ. 105. 109.

Ver. 397. Ἦ τις θηητὴς.] Θαυμαστὸς, ἱμερτικὸς. *Schol.* Cæterùm apud *Plutarchum, de Oraculorum Defectu,* citatur, Εἴ τις θηητὴς.

Ibid. —— ἐπίκλοπος.] Ἐπιθετικὸς, κλέπτης· κλέπτειν γὰρ τὸ ἐπιθετικὸν κλέπτης ὁ κατεμπορεύτης τῶν ἐλλογίμων. Θαυμαστικὸς τῶν τόξων ὁ ἔμπορος, ἢ κλέπτων, νῦν τὴν αὐτῶν ἐμφέρειαν. *Eustath.* Pulcher MS. à *Tho. Bentleio* collatus hîc habet ἐπλοπος.

Digitized by Google

Ἦ ῥά νύ κεν τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
Ἦ ὅγ' ἰφθιμῶται ποιησέμεν· ὡς ἐνὶ χερσὶ
Νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης. 400
Ἄλλος δ' αὖτ' ἐέτερος νέον ὑπερηνορεόντων·
Αἴ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
Ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐκτανύσασθαι.
Ὡς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεὺς,
Αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάσσασε, καὶ ἴδε πάντη, 405
Ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς,
Ῥηϊδίως ἐτάνυσσε νέῳ ἐπὶ κόλλοπι χορδὴν,
Ἅψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
Ὡς ἄρ' ἄτερ σπουδῆς τάνυσε μέγα τόξον Ὀδυσσεύς·
Δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς· 410
Ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.

"Aut sanè alicubi tales et ipsi domi jacent,
"Aut ille molitur facere; ita in manibus
"Versat huc et illuc malorum expertus erro." 400
Alius autem rursùs dicebat juvenum superborum;
"Utinam enim jam tantoperè utilitatis particeps fiat,
"Ut iste unquam hunc poterit tendere."
Sic utique dixerunt proci: at solers Ulysses,
Statim postquam magnum arcum ponderavit, et vidit undique, 405
Sicut quandò vir citharæ peritus et cantûs
Facilè extendit novo in clavo chordam,
Ubi nexuerit utrinque benè-tortum intestinum ovis;
Sic utique sine nisu tetendit magnum arcum Ulysses:
Dexterâ autem deindè manu prehensum tentavit nervum; 410
Hic verò subtùs clarè sonuit, hirundini similis voce.

Ver. 399. Ἦ ὅγ' ἰφθιμῶται ποιησέμεν.] Ἰσως ἡ ἰθιμάδος ὑπὸ [τάξει] οἷς ἔχει, (*ver.* 398.) ἢ ἴσα τοῦτον ἔμοιε. *Eustath. Barnesius* aliique vertunt, "*Vel* certè *hic parat* "aliquid *facere.*" Sed potior videtur *Eustathii* interpretatio: Facilius enim vocem ποιήσειν de arcubus, (de quibus loquitur Poëta *ver.* 397. 398.) accipere; quàm voculam τι, quæ sensum tam diversum inducat, subintelligere.

Ver. 400. —— ἔμπαιος.] Vide suprà ad ι. 379.

Ver. 402. —— τοσσοῦτον ὀνήσιος ἀντιάσειεν, Ὡς οὗτος αἶψα τόξον.] *Barnesius* vertit, "*Tan-* "*tum utilitatis obviaret* mihi, *Quantum* &c." Cui interpretationi favere quidem videtur ὅτος. Rectiùs autem, ut opinor, *Scholiastes*; Ὁ νῦν, εἴθε καὶ ἐπὶ τοσοῦτον ἡμῖν ὢν βούλοιτο, λέγει.

Ver. 406. Ὡς ὅτ' ἀνὴρ.] Apud *Eustathium*, Ὡς δ' ἔτ' ἀνὴρ.

Ver. 407. —— ἐπὶ κόλλοπι.] Apud *Eustathium*, περὶ κόλλοπι.

Ibid. —— κόλλοπι.] Κολλόπες· εἴρεται δὲ παρὰ τὴν κόλλαν. *Schol.* Κόλλοψ δὲ, ὁ σωρὸς τοῖς ὕστερον κόλλαβος, ὃ δ' τάνυται αἱ τοιαῦται χορδαί. *Eustath.*

Ver. 408. —— ἐϋστρεφὲς ἔντερον οἰός.] Τὴν χορδὴν. *Schol.*

Ver. 409. —— τάνυσε μέγα.] *Barnesius* edidit τάνυστο. Sed nihil opus. Vide ad *Il.* ά. 51.

Ver. 410. —— πειρήσατο.] *Al.* πειρήσατο.

Ver. 411. Ἡ δ' ὑπὸ καλὸν ἄεισε.]

—— quasi unà lethifer arcus.
Æn. IX. 631.

Ibid. —— χελιδόνι εἰκέλη αὐδήν.] Ἴσως δὲ ἐστι χελιδόνι, ἡ μὲν ἀηδόνι, κινήσασαν εἴπασι τὴν νευράν, ἵνα μὴ πρὸς ἡδύνοντα ἡ ὁμοίωσις, ἀλλὰ μόνον πρὸς κινοῦντα φωνῆς ἀρχόμενα ὑπέτεμχον. *Eustath.*

Digitized by Google

Μνηστῆρσιν δ' ἄρ' ἄχος γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς
Ἐτράπετο· Ζεὺς δὲ μεγάλ' ἔκτυπε, σήματα φαίνων·
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
Ὅττι ῥά οἱ τέρας ἦκε Κρόνου παῖς ἀγκυλομήτεω.
Εἵλετο δ' ὠκὺν ὀϊστὸν, ὅς οἱ παρέκειτο τραπέζῃ
Γυμνός· τοὶ δ' ἄλλοι κοίλῃς ἔντοσθε φαρέτρῃς
Κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι·
Τόν ῥ' ἐπὶ πήχει ἑλὼν, εἷλκεν νευρὴν γλυφίδας τε,
Αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἦκε δ' ὀϊστὸν
Ἄντα τιτυσκόμενος· πελέκεων δ' οὐκ ἤμβροτε πάντων
Πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
Ἰὸς χαλκοβαρής· ὁ δὲ Τηλέμαχον προσέειπεν·
Τηλέμαχ', οὔ σ' ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
Ἥμενος· οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
Δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν·

Procis autem indè dolor factus est magnus; omnibusque color
Mutatus est: Jupiter verò valdè intonuit, signa ostendens:
Gavisus autem est deindè multa-passus nobilis Ulysses,
Quòd scilicèt sibi ostentum misisset Saturni filius versuti.
Sumpsit verò velocem sagittam, quæ ei adjacebat mensæ
Nuda; cæteræ autem cavam intra pharetram
Jacebant, quas citò erant Achivi experturi:
Hanc utique ad arcûs-medium ubi-applicuerat, trahebat nervum crenasque,
Indidem ex sellâ sedens; misit autem sagittam
Ex-adverso collimans: securium verò non aberravit omnium
A primo foramine; transivit autem penitùs foràs
Sagitta ære-gravis: ipse verò Telemachum allocutus est;
" Telemache, non te hospes in ædibus dedecorat
" Sedens; neque omninò à scopo aberravi, neque arcum
" Diù laboravi tendens: adhuc mihi robur integrum est:

Ver. 412. —— πᾶσι δ' ἄρα χρὼς Ἐτράπετο.] Εἰς ὠχρίαν δηλαδή. *Eustath.*

Ver. 413. Ἐτράπετο.] Vide suprà ad *ι.* 491. et ad *Il. α.* 199.

Ver. 415. —— τέρας ἦκε.] Τέρας δὲ, ἢ διὰ τὸ ὡς εἰκὸς ἐκ νῶν ἀνίφιλον τοῦ κέρους· ἢ ἐκ ὡς ἐκ τῶν ἀνωτάτω τόπων, ἔνθα ἐκ τὰ τέρατα, οἷς τὸ τέρας παρωνυμεῦται. *Eustath.* Atqui videfur tonitru hoc ideò potiùs portentum dictum, quod isto præcipuè tempore, simul atque *Ulysses* arcum tetendisset, accidérit.

Ibid. —— παῖς.] *Al.* πάϊς.

Ver. 416. Εἵλετο δ' ὠκὺν ὀϊστὸν.] —— —

—— auratâ volucrem Threïssa sagittam
Depromsit pharetrâ ——. *Æn.* XI. 858.

Ver. 418. —— Ἀχαιοὶ.] Vide suprà ad *ε.* 513.

Ver. 419. —— ἐπὶ πήχει ἑλών.] Πήχει, τῷ τοῦ τόξου κέρατι. *Schol.* Ἐπὶ δὲ τὸ μὲν, "ἐπὶ πήχει ἑλὼν," ἀντὶ τοῦ, κρατήσας ἐκ θείου τὸν ὀϊστὸν ἐπὶ τῷ πήχει τοῦ τόξου, ἤγουν τῷ κέρατι, ἔνθα ἡ τοῦ τόξου λάβη. *Eustath.*

Ibid. —— εἷλκεν νευρὴν γλυφίδας τε.]

—— nervoque obversus equino
Contendit telum; diversaque brachia ducens,
Constitit ——. *Æn.* IX. 622.

—— cornuque infensa tetendit;
Et duxit longè, donec curvata coïrent
Inter se capita ——. XI. 859.

Ver. 422. Πρώτης στειλειῆς.] Διὰ τρύπης γὰρ ὀπῆς [Ita ex MS. edidit *Barnesius*, pro vulgato ὁ τῆς] τῶν πελέκεων ὑπηκόως ἦλθεν. *Schol.*

Ver. 424. —— ἐλέγχει.] *Al.* ἀτίζει.

Ver. 425. —— ἐδὲ τι τοῦ.] *Al.* οὐδ' ἔτι τοῦ.

Ibid. —— ἤμβροτον.] *Al.* ἤμβροτον.

Digitized by Google

Οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
Νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
Ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἐψιάασθαι
Μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός. 430
Ἦ, καὶ ἐπ' ὀφρύσι νῦσεν· ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Ἀμφὶ δὲ χεῖρα φίλην βάλον ἔγχεϊ· ἄγχι δ' ἄρ' αὐτοῦ
Πὰρ θρόνῳ εἱστήκει, κεκορυθμένος αἴθοπι χαλκῷ.

" Non uti me proci ignominiâ-afficientes vituperant.
" Nunc autem hora et cœnam Achivis parandi
" In luce; at posteà et alitèr delectandi-se
" Cantu et citharâ; hæc etenim *sunt* ornamenta convivii." 430
Dixit, et superciliis innuit: circumposuit autem sibi ensem acutum
Telemachus, dilectus filius Ulyssis divini;
Circumque manum charam jecit hastæ: propè verò ipsum
Juxta sellam stetit, armatus splendido ære.

Ver. 427. Οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.] Vide suprà ad σ'. 361.

Ver. 428. Νῦν δ' ὥρη καὶ δόρπον.] Παρείλκει τὴν διάνοιαν αὐτῶν· τὸ μὲν ἐν δεῖπνον, ἀντὶ τοῦ δαιτάτω· τὸ δὲ ἐψιάασθαι, (*ver.* 429.) ἀντὶ τοῦ εἰμάζειν. *Schol.*

Ver. 430. —— τὰ γὰρ τ' ἀναθήματα δαιτός.] Vide suprà ad ρ'. 271.

Ver. 434. Πὰρ θρόνῳ εἱστήκει.] *Al.* Πὰρ θρόνον ἱστήκει.

ΤΗΣ

ΤΟΥ ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Χ'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Χ.

ΤΑ' περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεὺς παρόντος Ἀθηνᾶς, ἐν οἷς ἔδρασε τοὺς δυμπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων κολάζει, ἅμα Μελανθίῳ.

Ἐπιγραφαί.

Μνηστηροφονία.

Ἄλλως,

Χῖ, Ὀδυσεὺς μνηστῆρας ἐκείνυτο νηλεῖ χαλκῷ.

Ἀ Ὑτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·
Ἅλτο δ' ἐπὶ μέγαν οὐδὸν, ἔχων βιὸν, ἠδὲ φαρέτρην
Ἰῶν ἐμπλείην· ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
Αὐτοῦ πρόσθε ποδῶν· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται· 5

LIB. XXII.

CÆterùm nudatus est pannis solers Ulysses;
Insiliitque in magnum limen, habens arcum, et pharetram
Sagittis plenam; celeres autem effudit sagittas
Ibidem ante pedes: inter procos verò dixit;
" Hoc quidem demùm certamen difficile perfectum est; 5

Ver. 1. Αὐτὰρ ὁ γυμνώθη ῥακέων.] Νοητέον δ' ἐνταῦθα ὅτι ζωσάμενος Ὀδυσσεὺς ἐγυμνώθη τὰ σκέλη μόνα· —— ὁ γὰρ δὴ πᾶν τὸ ὅλον ἐγύμνου σῶμα, ἐις πόλεμον παρατασσόμενος. *Eustath.*

Ver. 2. Ἅλτο δ' ἐπὶ μέγαν οὐδόν.] Τὸν Ὀδυσσέα ἔστιν ἐπὶ τὸν οὐδὸν ἐφαλλόμενον ἅδης, ἐκφανῆ γεγενόμενον τοῖς μνηστῆρσι, καὶ ἐκχέοντα τὰς εὐτὸς πρὸ τῶν ποδῶν —— τότε πότερον ἄμφω σὺ, ἢ ἔξω σαυτοῦ γέγῃ; καὶ παρὰ τοῖς πράγμασιν εἶναι σοῦ ἄνευ ἡ ψυχὴ οἷς λέγεις ἐνθουσιάζουσα, ἢ ἐν Ἰθάκῃ οὖσιν, ἢ ἐν Τροίᾳ, ἢ ὅπως ἂν καὶ τοῦ ἔπη ἔχῃ; *Plato in Ione.*

Ibid. Ἅλτο.] Ita apud *Homerum* semper scribitur hæc vox, notante *Barnesio*. *Al.* Ἄλτο. Vide ad *Il.* Ϛ'. 85.

Ver. 3. —— ἰμπλείην.] *Al.* ἐυπλέων.

Ver. 5. —— ἄεθλος ἀάατος.] Ἀάατος δὲ δύναται ἡ δίχα βλάβης ἐνταῦθα εἶναι· ἵνα λέγῃ Ὀδυσσεὺς, ὡς οὐ πολυβλαβὴς, ὦ μνηστῆρες, ἀμὸ ὁ παρὼν ἄεθλος, ὡς ὑμῶς ἐλέγετε, ἀλλὰ ἠρεμήσας ἔστης, καὶ ὡς ἀστῶν, ἀβλαβῆς. Λέγει δ' ἂν αὐτὸν καὶ ἄλλως ἀρωτικῶς ἀάατον, ἤγουν πολυβλαβῆ, κατὰ τὸ δοκεῖν τοῖς μνηστῆρσι. *Eustath.* Priorem interpretationem hîc secuti sunt plerique. Vide autem suprà ad φ'. 91.

Digitized by Google

Νῦν αὖτε σποκὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνὴρ,
Εἴσομαι, αἴ κε τύχοιμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.
Ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
Ἤτοι ὁ καλὸν ἄλειστον ἀνιερώτεστθαι ἔμελλε
Χρύσεον, ἄμφωτον· καὶ δὴ μετὰ χερσὶν ἐνώμα, 10
Ὄφρα τίδι οἴῳοι· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
Μίμβλετο· τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσι,
Μοῦνον ἐνὶ πλέόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
Οἱ τεύξειν θάνατόν τε κακὸν, καὶ κῆρα μέλαιναν;
Τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπιεσχόμενος βάλεν ἰῷ· 15
Ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
Ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς
Βλημένου· αὐτίκα δ' αὐλὸς ἀνά ῥῖνας παχὺς ἦλθεν
Αἵματος ἀνδρομέοιο· θοῶς δ' ἀπὸ οἷο τράπεζαν

" Nunc denuò scopum alium, quem nondum quisquam percussit vir,
" Videbo, an consequar; præbeatque mihi gloriam Apollo."
Dixit; et in Antinöum dirigebat amaram sagittam.
Sanè ille pulchrum poculum sublatum-ibat
Aureum, utrinque-ansatum; et jam manibus tractabat, 10
Ut biberet de-vino: cædes verò ei non in animo
Curæ-erat: quis putaret inter viros convivas
Solum inter plures, etiamsi valdè fortis esset,
Ei structurum mortem malam, et fatum nigrum?
Hunc utique Ulysses ad guttur nactus percussit sagittâ; 15
E-regione verò teneram per cervicem ivit cuspis.
Declinatus est autem *is* aliorsùm, poculumque ei excidit manu
Percusso: statim verò fistula per nares crassa venit
Sanguinis humani; citò autem à se mensam

Ibid. —— ἐπιστέλλεται.] Vide ad *Il. ά.* 37.

Ver. 7. —— πόρῃ.] *Al.* πόρει.

Ver. 9. Ἤτοι ὁ καλὸν ἄλειστον &c.] Διονύσιος ὁ Θρᾷξ ἐν ταῖς Μιλήσιαις φησὶ, τὴν παροιμίαν, " Πολλὰ μετὰξὺ πίλαι [*Al.* et fortas- " sè rectiùs, πίνοι] κάλπικος ἐ χάλκος ἄκρυ," ἀπὸ τούτου διαδιδόσθαι προσθέμενος γὰρ Ἀντίνοος τὸ πῶμα, βάλλεται. *Schol.*

Ver. 12. —— τίς κ' οἴοιτο.] *Al.* τίς κ' ἐϊσοιτο.

Ver. 13. —— ἰῷ.] *Al.* ἴλθε.

Ver. 14. —— θάνατον τε κακὸν, ἠ κῆρα μέλαιναν;] Vide suprà ad *ύ.* 241.

Ver. 15. Τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν.] Vide *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 10.

Ibid. —— ἐπισχόμενος.] *Scholiastes* exponit, ἐμπιλαβόμενος. *Eustathius* autem; Τὸ δὲ ἐπισχόμενος, (inquit), ἀντὶ τοῦ κατασχεσάμενος· τοῦτο δὲ διὰ τὸ ἐπίχειν τὴν χεῖρα καὶ ἐξῆς τὸν κατὰ κεφαλῆς βάλλοντα. *Eustath. Al.* ἐπισχόμενος.

Ibid. —— βάλεν ἰῷ.] Μιᾷ δὲ καὶ ἐνταῦθα βολῇ θανατοῦ ὁ Ποιητὴς τοὺς βαλλομένους, διὰ τὸ ἀνδροφόνῳ φαρμάκῳ τοὺς ὀϊστοὺς βεβάφθαι, καθὰ καὶ ἐν τῇ ἄλφα μαψῳδίᾳ (*ver.* 261.) προσθήσομεν. *Eustath.* Sed et locis maximè lethalibus tela infixa memorat Poëta. Vide infrà *ver.* 82.

Ver. 16. Ἀντικρὺ δ' ἀπαλοῖο.] Apud *Dionysium Halicarnassensem*, περὶ τῆς Ὁμήρου ποιήσεως, § 10. omittitur hîc versus.

Ver. 17. —— δέπας δὲ οἱ ἔκπεσε χειρὸς Βλημένου.] Ita vulgati; itàque in Exemplaribus accuratioribus legi testatur *Eustathius*. Ac hujusmodi quidem constructio Poëtæ non inusitata: Vide suprà ad *ζ.* 155, et *ί.* 256. In nonnullis autem Exemplaribus legitur, notante ibidem *Eustathio*, Βλημένῳ.

Ver. 18. —— αὐτίκα δ' αὐλὸς.] Αὐλὸς μὲν, τὸ ὄργανον ᾧ διέρχεται τὸ πνεῦμα· καὶ πᾶν τὸ διατεταμένον εἰς εὐθύτητα σχῆμα, αὐλὸν καλοῦμεν ὅστερ τὸ τόξευον ᾧ τὸν κρουνὸν τοῦ αἵματος· " Αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε." *Athenæus, lib.* V. *cap.* 3.

Ver. 19. —— οἷο.] *Al.* εἷο.

Digitized by Google

Ὥσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε. 20
Σῖτός τε, κρέα τ' ὀπτὰ, φορύνετο τοὶ δ' ὁμάδησαν
Μνηστῆρες κατὰ δῶμα, ὅπως ἴδον ἄνδρα πεσόντα.
Ἐκ δὲ θρόνων ἀνόρουσαν, ὀρινθέντες κατὰ δῶμα,
Πάντοσε παπταίνοντες ἐϋδμήτους κοτὶ τοίχους·
Οὐδέ κε ἀσπὶς ἔην, οὐδ' ἄλκιμον ἔγχος, ἑλέσθαι. 25
Νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκ ἔτ' ἀέθλων
Ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος
Κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται. 30
Ἴσκεν ἕκαστος ἀνὴρ, ἐπεὶ φάσαν οὐκ ἐθέλοντα
Ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,

Pepulit pede percussam; effudit verò cibos humi. 20
Panisque, carnesque assatæ fœdabantur: ipsi autem tumultuati sunt
Proci in domo, ut viderunt virum lapsum.
Ex sedibus verò surrexerunt, turbati per domum,
Undique circumspectantes benè-structos ad parietes:
Nullibi verò scutum erat, neque valida hasta, ad-capiendum. 25
Objurgabant autem Ulyssem iratis verbis;
" Hospes, malè in viros sagittas-mittis: non ampliùs certaminibus
" Aliis intereris: nunc tibi certum *adest* grave exitium.
" Etenim jam nunc virum interfecisti, qui longè optimus
" Juvenum in Ithacâ: ideò te hîc vultures edent." 30
Dicebat unusquisque vir, quia putabant non volentem
Virum interfecisse: hoc autem stulti non adverterunt,

Ibid. 20. —— ποδὶ.] *Al.* ποσὶ.

Ver. 21. —— φορύνετο.] Τυτίρειν ἐμολύνετο ἢ αἵματι, ἢ καὶ ἄλλως, κυλιόμενα ἐς γῆν. *Eustath.*

Ver. 22. —— κατὰ δῶμα.] *Al.* κατὰ δόμα Θ'.

Ver. 24. —— ἰϋδμήτους κοτὶ τοίχους.] Ita pro vulgato ἰϋσμήτους restituit *Barnesius*: Quocum facit et MS. à *Tho. Bentleio* collatus. Rectè, ut opinor. Occurrit enim, uti et ipse annotat *Barnesius*, phrasis τοῖχος ἰϋδμητος suprà *ι.* 302. et infrà *ver.* 126. *hujus libri*; item τοῖχος ἰϋδμητον, *Iliad. μ'.* 137. at τοῖχος ἰΰτμητος nusquam alibi apud *Homerum* reperitur.

Ibid. —— ποτὶ.] *Al.* προτὶ.

Ver. 25. Οὐδὲ κε ἀσπὶς ἔην.] Arma scilicèt omnia amoverant *Ulysses* et *Telemachus*; ut suprà *σ'.* 31. memoratum est.

Ibid. Οὐδὲ κε.] *Al.* Οὐδὲ κω.

Ibid. —— ἄλκιμον ἔγχος.] Sic apud *Virgilium*;

—— validam —— hastam. *Æn.* X. 401.

Ver. 27. Ξεῖνε, κακῶς —— ἐκ ἔτ' ἀέθλων —— νῦν τοι.] Ὅρα δ' ἐν τῷ "Ξεῖνε κακῶς ἀνδρῶν τοξάζεαι," ὃ λέγεις τὰ τῶν ἱππικῶν κομπατικὸν διὰ θυμὸν· τρεῖς γὰρ ἐν δυσὶ τίχοις ἴκοιτο κεῖνται αὐτοτιλεῖς. *Eustath.*

Ibid. —— ἐκ ἔτ' ἀέθλων Ἄλλων ἀντιάσεις.] *Eustathius* hoc ita videtur accepisse, ut vertendum sit, " *Nulla ampliùs præmia conse-* " *quêris.*" Ὡς οἷα λιγόντων τῶν μνηστήρων, ὅτι διοιστεύσας μὲν ἀθήρα, ἵκεις ἄεθλα τὰ ἐπὶ τῆς Πηνελόπης τιθέντα· ἐπὶ δὲ τῇ βολῇ ταύτῃ τῷ Ἀντινόῳ, ἐκ ἔτι σοι ἀέθλων τυχεῖν. Sed verior vulgata interpretatio; " *Nullis am-* " *plius certaminibus intereris.*"

Ver. 28. — ἀντιάσεις.] Vide ad *Il. ά.* 67.

Ver. 30. —— σ' ἐνθάδε γῦπες ἔδονται.]

Alitibus linquêre feris —. *Æn.* X. 509.

Ver. 31. Ἴσκεν ἕκαστος ἀνὴρ.] Ἴσκειν ἀντὶ τοῦ νομίζειν ὑπὸ τῶν Παλαιῶν τὸ χρῆσιν τοῦ ἄκαιρον γὰρ, φασὶ, καὶ γελοῖον πάντας ἅμα ταῦτα λέγειν, ὡς ἐκ συνθήματος, οἷα πρὸς Τρωικὸν χορόν. Ἔθος γὰρ φασὶν Ὁμήρου ἐν τοῖς τοιούτοις ἐκ ἅπτω ποιεῖν, ἀλλὰ λέγειν, " Ὡδε " δέ τις εἰπεῖσκεν." Ἐφ' ὃ ἀφῶν, ὡς ἐσχηματίσθαι. Ὅμηρος νῦν ἄλλως τὸ τοιοῦτον ὄνομα, ὡς οἷα συγκεχυμένως ἐφ' ἑκάστῳ τῶν μνηστήρων λεγόμενον· ἐ γὰρ ἔχει ἐν τούτῳ παράχρησιν κατὰ ἰδίαν ἀθροίσεις. *Eustath.* Cæterum de voce Ἴσκειν, vide suprà ad *σ'.* 203.

Digitized by Google

Ὡς δὴ σφιν καὶ πᾶσιν ὀλέθρου πεῖρατ' ἐφῆπτο.
Τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἴκαδ' ἱκέσθαι 35
Δήμου ἀπὸ Τροίων, ὅτι μοι κατεπείρετε οἶκον,
Δμωῆσιν δὲ γυναικὶ παρεμιγάσθε βιαίως,
Αὐτοῦ τε ζώοντος ἐπεμνᾶσθε γυναῖκα,
Οὔτε θεοὺς δείσαντες, οἱ οὐρανὸν εὐρὺν ἔχουσιν,
Οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔθεσθε. 40
Νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πεῖρατ' ἐφῆπται.
Ὡς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·
Πάντῃ νεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν·
Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας, 45
Ταῦτα μὲν αἴσιμα εἶπες, ὅσα ῥέζεσκον Ἀχαιοί·
Πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
Ἀλλ' ὁ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,

Quòd jam ipsis etiam omnibus mortis fines impenderent,
Eos autem torvè intuitus allocutus est solers Ulysses;
" O canes, non me ampliùs existimabatis reducem domum venturum, 35
" Populo à Trojanorum; quò mihi consumebatis domum,
" Cum famulis verò mulieribus concumbebatis violentèr,
" Ipsiusque *mei* viventis ambiebatis uxorem,
" Neque deos veriti, qui cœlum latum habitant,
" Neque ullam hominum indignationem in-posterum supposuistis. 40
" Nunc vobis etiam omnibus mortis fines impendent."
Sic dixit: illos verò omnes pallidus timor cepit:
Circumspectavit autem unusquisque, quà effugeret grave exitium.
Eurymachus verò ipsum solus respondens allocutus est;
" Si quidem jam Ulysses Ithacensis venisti, 45
" Hæc quidem justè dixisti, quot faciebant Achivi,
" Multa quidem in ædibus injusta, multa autem in agro.
" Sed hic quidem jamjam jacet, qui causa erat omnium,
" Antinöus: hic enim instituit hæc opera,

Ver. 36. Δήμου ἀπὸ Τρώων.] Ἰσίον δὶ ὅτι τὸ "Δήμου ἀπὸ Τρώων" δὶ ἐμφόβωιν τῶν μνηστήρων παρείρισται, ἐπὶ ἀναμνήσει τῆς αὐτῶ ἀνδρίας. *Eustath.* Eodem modo accipit et Dna. *Dacier.* Quod tamen longiùs videtur petitum.

Ver. 37. —— παρεισπάζεσθε.] Vide ad *Il.* ί. 365. Porrò in nonnullis Codicibus versus hic et sequens transponuntur.

Ver. 38. —— ὀπιμνάσασθε.] Ὑπιφθείρετε, ἀλληθοτως ἐμνηστεύεσθε. *Schol.*

Ver. 40. —— ἔθεσθε.] *Scholiastes* legit ἔσεσθε· ἴν' ᾖ, "θήσουσι ἔσεσθαι." Atque ita habet MS. à *Tho. Bentleio* collatus. At verisimilior vulgata lectio, quòd eandem ferè phrasin usurpat Poëta, *Iliad.* ν'. 121.

—— ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
Αἰδῶ θ' ἱμέρτην ——.

Ver. 43. Πάντῃ νεν δὶ.] Deest hic versus in MS. à *Tho. Bentleio* collat.

Ver. 47. Πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγρῷ.] Haud dissimilitèr *Horatius*;

Iliacos intra muros peccatur, et extra.
Epist. lib. I. ii. 16.

Ver. 49. —— ἐπίηλεν.] Συνίστησεν. *Schol.* Cæterùm de antepenultimâ hujus vocis productâ, vide ad *Il.* ί. 24. et π'. 762.

Digitized by Google

Οὔτι γάμου τόσσον πεχρημένος, οὔτε χανούσαν,
Ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων
Ὄφρ' Ἰθάκης πανὸν δῆμον ἐοντιμόνης βασιλεύῃ.
Αὐτὸς, ἀτὰρ σὸν παῖδα κατακτείνειν ἐνοήσας.
Νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφανται· σὺ δὲ φείδεο λαῶν
Σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρηγόσαμεν κατὰ δῆμον,
Ὅσσα τοι ἐκπάγλοισι καὶ ἐσθλοῖσι ἐν μεγάροισι,
Τιμὴν ἀμφὶς ἄγοντες ἑκατόμβοιον ἕκαστος,
Χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰσόκε σὸν κῆρ
Ἰανθῇ· πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι.
Τόν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖεν,
Ὅσσα τε νῦν ὔμμ' ἐστὶ, καὶ εἴ τινα ἄλλ' ἐπιδεῖτο,
Οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς ληξαιμι φόνοιο,
Πρὶν πᾶσαν μνησῆρας ὑπερβασίην ἀποτῖσαι.

" Nequaquam nuptiarum tantoperè indigens, neque cupiens,
" Sed alia cogitans, quæ ei non perfecit Saturnius;
" Ut Ithacæ in populo benè-cultæ regnaret
" Ipse, at tuum filium interficeret insidiatus.
" Nunc autem ille quidem fato *suo* interfectus est: tu verò parce populis
" Tuis: at nos posteà, ubi placaverimus *te* per populum,
" Quæcunque tibi epota et comesta sunt in ædibus,
" Pretium separatim ducentes viginti-boûm unusquisque,
" Æsque aurumque pendemus; donec tuum cor
" Exhilaratum-sit: priùs autem nequaquam indignum te irasci."
Hunc autem torvè intuitus allocutus est solers Ulysses;
" Eurymache, neque si mihi paterna omnia penderetis,
" Quæcunque scilicèt nunc vobis sunt, et sicundè alia adderetis,
" Neque sic adhuc manus meas abstinerem à cæde,
" Antequam omnem proci injuriam luissent.

Ver. 50. Οὔτι γάμου] *Al.* Οὔτι γάμου.

Ver. 52. —— βασιλεύῃ.] *Al.* βασιλεύοι.

Ver. 54. —— ὁ μὲν ἐν μοίρῃ πέφανται.] *Scholiastæ* istud ἐν μοίρῃ exponit, Δικαίως, διότι ἔντιμος: eodemque modo interpretatur *Eustathius*. Quam expositionem secuti *Henricus Stephanus* et *Barnesius*, in versione reddunt, " *Meritò interfectus est.*" Nessio tamen annon phrasis " ἐν μοίρῃ πέφανται" idem potiùs sonet quod " δαίμονος ἐν μοίρῃ κεχάνω," *Iliad.* ε'. 478. 672. χ'. 436. et similia.

Ver. 55. Σῶν ἄτερ ἄμμε ἔκτισεν.] *Al.* Τῶν σῶν ἄμμε ἔκτισεν.

Ver. 56. —— ἰδόντες.] *Al.* ἰδόντες, et ἰδόντες.

Ver. 57. —— ἀμφὶς ἄγοντες.] Περὶς ἄγοντες ἴδοντες. *Schol.*

Ver. 58. Χαλκόν τε χρυσόν τ' ἀποδώσομεν] ἀνείκοι τὸν κῆρ Ἰανθῇ.] Ἔχει τὸ χωρίον ἀμφιβολίαν ἐκφηνάντων. —— Ἀδήλον γὰρ εἰ ἰδίᾳ ἕκαστος ἀνὰ ἑκατόμβοιον χαλκὸ ἀποδώσει, καὶ εἴθε ἀνὰ ἑκατόμβοιον χρυσὸ· ἢ ὅτι ἄλλοτε, διὰ μὲν ἕκαστος ἀφωρίσθαι τὸ ἀποτόδοιον, ἢ δ' ἂν βίᾳ εἴκοι κατέφαγεν, διὰ δὲ χαλκὸν ἢ χρυσὸν ἀφίστω. *Eustath.*

Ver. 61. 62. —— ἀποδοῖεν, —— ἀποδοῖτο.] Τὸ δὲ ἀποδοῖεν, ἢ τὸ ἀποδοῖτο, συμπαθεῖ τῷ δοίνοιτο, ἢ δοίνοιτο δὲ ἀντὶ τοῦ ἀποδοῖεν καὶ ἀποδοῖτο. *Eustath.* Vide supra ad ν'. 195.

Ver. 63. —— χεῖρας ἐμὰς ἀπολήξαιμι.] Vide ad *Il.* ν'. 424.

Ver. 64. —— ἀποτίσαι.] Similiterque infrà *ver.* 214. εἴκοι. Vide ad *Il.* 568. et χ'. 19. 20. In nonnullis, notante *Barnesio*, ἀπὸ hîc scriptum est ἀποτίσαι.

Digitized by Google

Μῶν ὑμῖν παράκοιτις, ἐπεστίοι δὲ μάχεσθαι, 65
Ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ;
Ἀλλά τιν' οὐ φεύξεσθαι ἐίσκομαι οὐκέτι ἔλπομαι.
Ὣς φάτο· τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Τοῖσιν δ' Εὐρύμαχος πρόσεφώνεε δεύτερον αὖτις·
Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους· 70
Ἀλλ' ἐπεὶ ἔλκεσε τόξον ἐϋξόον, ἠδὲ φαρέτρην,
Οὐδοῦ ἀπὸ ξεστοῦ τοξήσεται, ἐκ δόμος πάντας
Ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης·
Φάσγανά τε σπάσασθε, καὶ ἀντίσχεσθε τραπέζας
Ἐν ἀκαμεσσόρων· ἐπὶ δ' αὐτῷ πάντες ἴχωμεν 75
Ἀθρόοι· εἴ κέ μιν οὐδοῦ ἀπώσομεν, ἠδὲ δυρόμεν,
Ἔλθωμεν δ' ἐκὰ ἄστυ, βοὴ δ' ὄρνυτο γήθοσυνος·
Τῷ κε τάχ' οὗτος ἀνὴρ κῶν ἔσσετο τοξήσασθαι.
Ὣς ἄρα φωνήσας, ἐίρυσσατο φάσγανον ὀξύ,

"Nunc vobis optio adest, contrà vel pugnare, 65
"Vel fugere, qui mortem et fatum evitaverit:
"Sed haud ullum effugiturum puto grave exitium."
Sic dixit: eorum verò ibidem soluta sunt genua et charum cor.
Ipsos autem Eurymachus alloquebatur secundò rursùs;
"O amici, non enim abstinebit vir hic manus indomitas; 70
"Sed postquam cepit arcum benè-politum, et pharetram,
"Limine à polito sagittabit, donec omnes
"Nos interfecerit: quin recordemur pugnæ;
"Ensesque stringite, et obtendite mensas
"Sagittis letiferis: in ipsum verò omnes ingruamus 75
"Conferti; si eum à limine depellamus, et foribus,
"Eamusque per urbem, clamorque citissimè fiat;
"Eò citò hic vir nunc ultimò sagittaverit."
Sic utique locutus, strinxit ensem acutum,

Ver. 65. ——— παράκοιτις.] Πρέπουσαι δὲ ἀξιῶν. *Schol.* *Al.* πάρα κοῖται.

Ver. 70. Ὦ φίλοι, ὁ γὰρ σχήσει ἀνὴρ ὅδε.] Ὅρα δὲ ἔστι καὶ ἐνταῦθα ὁ Ὅμηρος ἐν τῷ "γὰρ" συνδέσμῳ ἀχρήστῳ, ἐν τῷ, "ὁ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας," ἀναδίδωσι τὴν ἔννοιαν μετὰ τρίτην σύλλαβον, ἀντὶ συνδέσμου [ver. 73.] "ἀλλ' μνησώμεθα χάρμης." Πολλαχοῦ γὰρ ὁ Ἀλλὰ σύνδεσμος ἀναδιδόμενος πλέκει· ὅτε καὶ ἀντὶ τοῦ, Δὴ, λαμβάνεται. *Eustath.* Rectiùs autem foresset hîc referetur vocula γὰρ ad id quod reticetur: "*Consilium aliquod non (cùm ipsorum defundendorum nobis entegi) tendam ut; non ENIM.*" Vide ad *Il. i.* 22.

Ver. 72. Οὐδὲ ἐπὶ ἔστι.] *Al.* Οὐδὲ ἐπὶ ἔστι.

Ibid. et *ver.* 79. ——— τοξήσεται, ——— τοξήσασθαι.] Ita rectè edidit *Barnesius*; atque ita habet MS. à *Tho. Bentleio* collatus, *Vulgg.* malè, τοξάσεται ——— τοξάσασθαι. Fiunt enim (uti notavit *Barnesius*) ex τοξάζω, cujusmodi verba istud ἄ in Futuris et Aoristis Primis semper corripiunt. Item infrà *ver.* 79. ubi in Vulgatis scriptum erat ἐρύσσατο φάσγανον ὀξύ, rectè restituit *Barnesius* (quoqum et ibi facit MS. à *Tho. Bentleio* collatus), ἐρύσσασθαι atque ita in Vulgatis scribitur *Iliad. χ'.* 306. ubi occurrit idem versus. Vide ad *Il. ά.* 140. et *σ'.* 781.

Ver. 73. Ἄμμε κατακτείνῃ.] Vide ad *Il. ά.* 59. Quod autem hîc ait *Barnesius*, "Ἄμμε, ἀμῶν· Δωρικῶς, ἀντὶ Πληθυντικοῦ" id (ut opinor) non rectè se habet. Vide ad *Il. ά.* 566.

Ver. 74. Φάσγανα τε σπάσασθε.] Ἐξιφοφόρων γὰρ οἱ Παλαιοί. *Schol.*

Ibid. ——— ἐν ἀκαμεσσόρι τραπέζῃ.] Τὸ Ἀ "ἀκαμεσσόρι τραπέζῃ· ἴσον, ἀντὶ τοῦ κεφαλαιωδῶς ἄντα ἢ ἄκρως καὶ ἐξαιρετίως τῶν βελῶν ἴχνεσι, δίκην ἀσπίδων. *Eustath.*

Digitized by Google

Χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· ἄλτο δ' ἐπ' αὐτῷ
Σμερδαλέα ἰάχων· ὁ δ' ὀμαρτῆ δῖος Ὀδυσσεὺς
Ἰὸν ἀποπροΐεις βάλλε στῆθος παρὰ μαζὸν,
Ἐν δέ οἱ ἤπατι πῆξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς
Φάσγανον ἧκε χαμαῖζε, περιρρήδης δὲ κατέξε,
Κάππεσε δινηθείς· ἀπὸ δ' εὐδάστα χεῦεν ἔρωξε,
Καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύψε μετώπῳ,
Θυμῷ ἀνιάζων· ποσὶ δὲ θρόνον ἀμφοτέροισι
Λακτίζων ἐτίναξε· κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλὺς·
Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο πυδαλίμοιο
Ἀντίος ἀΐξας· εἴρυτο δὲ φάσγανον ὀξὺ,
Εἴπως οἱ εἴξειε θυράων· ἀλλ' ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκηρεῖ δουρὶ,
Ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε·
Δούπησεν δὲ πεσὼν, χθόνα δ' ἤλασε πασσὶ μετώπῳ.
Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος

Æreum, ancipitem; insiliitque in ipsum
Terribilitèr vociferans; eodem-tempore autem nobilis Ulysses
Sagittâ emissâ percussit pectus ad mammam,
Infixitque ei hepati velox telum: ex manu verò
Ensem demisit *is* humi; vertiginosus autem circa mensam
Decidit contortus; effudit verò cibos humi,
Et poculum rotundum: ipse autem terram verberabat fronte,
Animo dolens; pedibusque thronum ambobus
Calcitrans concussit: ob oculos verò fusa est caligo.
Amphinomus autem in Ulyssem irruit gloriosum
Ex-adverso impetu-facto; strinxitque ensem acutum,
Siquo-modo *is* sibi cederet foribus: sed sane ipsum prævertit
Telemachus à tergo percùtiens æratâ hastâ,
Humeros inter; perque pectora adegit:
Fragorem verò edidit *is* lapsus, terramque feriit totâ fronte.
Telemachus autem abripuit-se, relictâ longâ hastâ

Ver. 81. Σμερδαλέα ἰάχων.] Vide ad *Il.* δ. 456.

Ibid. —— ὀμαρῆ.] *Al.* ὀμαρτῆ et ὀμάδῃ.

Ver. 82. —— βάλλε στῆθος.] *Al.* βάλε δὲ στῆθος.

Ver. 85. Κάππεσε δινηθείς.] *Al.* Κάππεσεν ἰδνωθείς.

Ver. 86. —— ὁ δὲ χθόνα τύψε μετώπῳ.] Similitèr infrà *ver.* 94. χθόνα δ' ἤλασε πασσὶ μετώπῳ.

—— at ille
Fronte ferit terram ——.
Æn. X. 348.

Ver. 87. —— ἀνιάζων.] Vide ad *Il.* ν'. 109. et ὁ'. 24.

Ver. 88. —— κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλὺς.]

—— in æternam clauduntur lumina
noctem.
Æn. XII. 310.

Ver. 89. —— Ὀδυσῆος ἐείσατο.] Ὅτι ἐπὶ Ὀδυσέα ὥρμησεν. *Schol.*

Ver. 90. —— εἴρυτο.] Nonnulli, notante *Barnesio*, scribendum volunt. εἴρυτο εἰ μὴ contractum ex ἐρύετο eâdem ratione ut λῦτο ex λύετο. Vide ad *Il.* ν'. 555. et ά. 1.

Ver. 91. —— ἀλλ' ἄρα μιν φθῆ Τηλέμαχος κατόπισθε βαλών.] Ἔνθα δ' ὄρα τὸν Ὀμφίνομον ἀκμὴν δεξιότητα. Πρωτότιμος γὰρ ἐν τοῖς ὑπομνήμασι, ὁ παῖς, ὅτι θαῤῥεῖ μάχην ἀντιμνάσεται, ἐπιδεξιοτέχνως βέλεσι κρατύνεσθαι δ' βαλὼν φησὶ, "ἐκόρυσε λιπὼν δολιχόσκιον ἔγχος Λίνοῦ τ' "Ἀμφίνομον." [infrà *ver.* 95.] *Eustath.*

Ver. 94. Δούπησεν δὲ.] Vide ad *Il.* δ'. 455. et 504.

Digitized by Google

Αὐτοῦ ἐν Ἀμφιτόμῳ· περὶ γὰρ δίε, μή τις Ἀχαιῶν
Ἔγχος ἀνελκόμενον δολιχάσκιον, ἢ ἐλάσειε,
Φασγάνῳ αἴξας, ἠὲ περιβρηγέϊ τύψας.
Βῆ δὲ θέων· ῥάβδον δ' ὦκα φίλου πατέρ' εἰσαφίκανεν·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα· 100
Ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε,
Καὶ κυνέην εὐχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
Αὐτός τ' ἀμφιβαλεῦμαι ἰών· δώσω δὲ συβώτῃ
Καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 105
Οἶσε θέων, εἴως μοι ἀμύνεσθαι πάρ' ὀϊστοί,
Μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα.
Ὡς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί.
Βῆ δ' ἴμεναι θάλαμονδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο·
Ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτώ, 110
Καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
Βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλου πατέρ' εἰσαφίκανεν.

Illic in Amphinomo, pertimescebat enim, nè quis Achivorum
Hastam retrahentem longam, vel feriret,
Ense insurgens, vel prono percutiens.
Ivit autem currens, valdèque citò dilectum ad patrem pervenit:
Propè verò stans verbis alatis allocutus est; 100
" O pater, jam tibi scutum afferam et duas hastas,
" Et galeam benè-æratam, temporibus aptam,
" Ipseque me-induam profectus: dabo porrò subulco
" Et bubulco alia: armari enim melius."
Hunc autem respondens allocutus est solers Ulysses; 105
" Affer currens, dum mihi ad-propugnandum adsunt sagittæ,
" Nè me amoveant foribus, solus cùm-sim."
Sic dixit: Telemachus autem dilecto obedivit patri.
Perrexit verò ire ad-thalamum, ubi ei inclyta arma jacebant:
Indè quatuor quidem scuta desumpsit, hastasque octo, 110
Et quatuor galeas æratas setis-equinis-densas:
Ivitque ferens; valdè autem citò charum ad patrem pervenit.

Ver. 97. —— ἐλάσειε.] Πλατῶν τῷ ξίφει πλήξειν. *Schol.* Vide ad *ver.* 98.

Ver. 98. —— ἠὲ περιβρηγέϊ τύψας.] Κατὰ τόμα τῷ ξίφει ὀρθὸς ἐς τὰμπροσθεν μὴ ἀνατείναι, ἀλλὰ νύξας ὑπτίως· οἱ μὲν γὰρ νύσσοντες, πλατὺ ἴχνεσι τὸ ξίφος· οἱ δὲ πλήττοντες, πλάγιον. *Schol.* Atqui hoc, ut opinor, potiùs dicere vult Poëta; nempè metuisse *Telemachum*, nequi ipsum, (dum se ad hastam evellendam inclinaret), aut prono clàm configeret.

Ibid. —— περιβρηγέϊ.] *Al.* περιβρηγέα.

Ibid. —— τύψας.] MS. à *Tho. Bentleio* collat. τύψῃ.

Ver. 99. —— Βῆ δὲ θέων.] *Al.* Βῆ δὲ θέειν.

Ver. 102. —— εὐχαλκον.] *Al.* εὐχαλκον. *Al.* πάγχαλκον.

Ver. 103. Αὐτός τ' ἀμφιβαλεῦμαι.] "Ἰρεο "que me armis induam." Propria nimirùm hæc *Vocis Mediæ* significatio. Vide suprà ad *ι.* 296. et ad *Il. γ.* 141.

Ver. 106. Οἶσε.] Vide suprà ad *υ.* 154.

Ibid. —— ἀμύνεσθαι.] *Al.* ἀμύνασθαι ut infrà *ver.* 116. notante *Barnesio.*

Ver. 109. Βῆ δ' ἴμεναι θάλαμονδ', ὅθι.] Ita ex utrâque *Eustathii* editione restituit *Barnesius*; cumque eo facit et MS. à *Tho. Bentleio* collatus. Ita infrà *ver.* 161. Βῆ δ' αὖτις θάλαμονδε Μελάνθιος. Vulgati hîc habent θάλαμον, ὅθι.

Ver. 110. — σάκε' ἔξελε.] *Al.* σάκε' εἵλετο.

Digitized by Google

Αὐτὸς δὲ πρώτιστα περὶ χροΐ δύσατο χαλκόν·
Ὡς δ' αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλὰ,
Ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, πανοιλομήτην.
Αὐτὰρ ὅγ', ὄφρα μὲν αὐτῷ ἀμύνασθαι ἔσαν ἐοὶ, 115
Τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ
Βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
Αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
Τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο
Ἕκλιν' ἑστάμεναι, πρὸς ἐνάπια παμφανόωντα· 120
Αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐΰκυκλον ἔθηκεν
Ἵππουριν, δεινὸν δέ λόφος καθύπερθεν ἔνευεν·
Εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ· 125
Ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ·

Ipse verò primùm circum corpus sibi-induit æs:
Sic autem paritèr famuli sibi-induerunt arma pulchra;
Steteruntque circum Ulyssem prudentem, versutum. 115
At ille, quamdiù quidem ipsi ad-propugnandum aderant sagittæ,
Tamdiù procorum unum utique semper suâ in domo
Percutiebat collimans: illi verò conferti cadebant.
At postquam defecerunt sagittæ jaculantem regem,
Arcum quidem ad postem benè-fundatæ domûs 120
Inclinavit ut-staret, ad parietes collucentes:
Ipse verò circum humeros scutum posuit quadruplex;
Capitique forti galeam fabrefactam imposuit
Setis-equinis-comantem; terribilitèr autem crista desuper nutabat:
Sumpsit porrò validas hastas duas munitas ære. 125
Posticum verò quoddam erat benè-structo in pariete;

Ver. 113. —— δύσατο.] *Al.* δύσετο. Vide ad *Il.* β'. 35 et ι. 109.

Ver. 116. —— ἀμύνασθαι.] Apud *Eustathium* in commentario, ἀμύνεσθαι Ut suprà *ver.* 106.

Ver. 118. —— ἀγχιστῖνοι.] *Al.* ἀγχιστῖνοι. et ἀγχηστῖνοι.

Ver. 121. Ἕκλιν' ἑστάμεναι.] Ion edidit *Barnesius*; atque ita legit MS. à *Tho. Bentleio* collat. Rectè. Quod enim hoc in loco habent Vulgati, Ἕκλινε ἑστάμεναι, ferri non potest. Quippe κλίνω (uti et annotavit *Barnesius*), in *Præsenti*, *Imperfecto*, et *Aoristo Primo*, ῑ semper producit. Vide ad *Il.* ά. 309. 314. et 338. item ad ξ'. 510. *Al.* Ἔκλινεν ἑστάμενοι.

Ibid. —— πρὸς ἐνάπια.] Ἐνάπια λέγει τὰς ἐκπεπιεσμένας τῶν ἀνάδων τοίχους. *Eustath.*

Ver. 124. Ἵππουριν, δεινὸν δὲ λόφος.]

Ære caput fulgens, crista quoque hirsutus equinâ. Æn. X. 869.

Ver. 125. Εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.] Similitèr apud *Virgilium*;

Bina manu lato crispans hastilia ferro. Æn. I. 318. XII. 165.

—— manusque ambas jaculis onerat acutis. X. 868.

Ver. 126. Ὀρσοθύρη δὲ τις ἔσκεν.] *Al.* Ὀρσοεύρη, et Ὀρσοθύρη. Cæterùm hinc *Scholiastes* ad *Euripidis Medeam*, *ver.* 194. τοῦτον ἀμφίκυλον ita exponit; τὸ ἴχνος δὺο σανίδες ἐν ἀνάδυσι, μίαν μὲν τὴν αὐθεντικὴν, ἑτέραν δὲ ἣν Ὅμηρος λέγει Ὀρσοθύρην. Porrò de hoc loco ita *Eustathius*; Ὀρσοθύρη ἔστι τὸ τῷ Ποιητῇ, θύρα τὶς ἐπίσημος, ἐν ᾗ ἐπιτίθεται φόρεσις ἴχνεσι, ἅς ἤν ἐκ εἶον τὶ ἐν θύρᾳ τινὰ μὴ διὰ κλείθρου ἴσως ἢ ἄλλοθι τοῦ ἀνορύσσοντα ἐν ἀναθορίσκοντα εἰς αὐτὴν. Ὀρσοθύρη ἐκαλεῖτο, ἤγουν θύρα εἰς ἣν ἐνέβαλλον θίλων ἰδέας ἐκεῖθεν. —— Τοῦτο δὲ τὸν ἐπιτομάδα θύρας ἠρμήνευσαν, διὰ τὸ ἐν αὐτῇ ἀναζεύγνυσθαι, ὀρύσσοντες ἐν φύσει. Εἴη δὲ ἂν ἄνοια ἡ καταβάσεσι κλιμάκων ἄνω, καὶ αὐτὸ λεγόμενον κοινὸν καταφάσεις. Τοῦτο μὴν ἐν τῇ Ὁμηρικῇ τοιαύτῃ τοιχοδομίᾳ τοιοῦτον ἐστὶν ἐν δίξῃσι εἶναι τῷ Ὀδυσσεῖ ἐγκείμενον ἐπὶ τῶν

Digitized by Google

Ἀπρότατον δὲ παρ' οὐδὸν ἐϋστάθεος μεγάροιο
Ἦν ὁδὸς ἐς λαύρην, ὀχανίδες δ' ἔχον εὖ ἀραρυῖαι·
Τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν
Ἑστάοτ' ἄγχ' αὐτῆς· μία δ' οἴη γίνετ' ἐφορμή. 130
Τοῖς δ' Ἀγέλαος ἔειπεν, ἔπος πάντεσσι πιφαύσκων·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη,
Καὶ εἴποι λαοῖσι; βοὴ δ' ὤκιστα γένοιτο;
Τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσαιτο.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν· 135
Οὔπως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
Αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
Καί χ' εἷς πάντας ἐρύκοι ἀνὴρ, ὅστ' ἄλκιμος εἴη.
Ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι

Extremum autem ad limen benè-fundatæ domûs
Erat via in angiportum, tabulæ verò *illam* continebant benè-aptatæ:
Hanc autem Ulysses custodire jussit nobilem subulcum,
Stantem prope *ipsam*: unus verò solus erat aditus. 130
Illis autem Ageläus dixit, verbum omnibus promulgans;
" O amici, nonne jam aliquis ad posticum ascendat,
" Et dicat populis? clamorque ciissimè fiat?
" Eò citò hic vir nunc ultimò sagittaverit."
Hunc autem rursùs allocutus est Melanthius, custos capratum; 135
" Nullo modo licet, Ageläe Jovis-alumne: propè enim valdè
" Aulæ pulchræ fores, et angustum os angiporti;
" Et unus omnes arceret vir, qui scilicèt strenuus esset.
" Sed agite, vobis arma afferam, ad-armandum;

φλιᾶς καὶ σφίγγουσι, ὅσαν ἐν σπεῖ ἀμφιχάρῳ τῷ τοίχῳ τετάκτο. Ἔφορε δὲ ἡ τοιαύτη Ὀρσοθύρη τὸν ἀπιόντα ἐς αὐτὴν ἐπὶ τὰς μετὰ τὸν πρόθυρον θύρας τῆς αὐλῆς, ἧς τὰς σύλλας ὅσον ἐπὶ λαύρῃ, κτυπεῖν δημοσίᾳ τετάκτο. Ubi et de hac re plura. Bentleius portam hanc in thalamum, ubi arma reposita erant, duxisse existimat. Ἐν τῷ τῷ οἴκῳ ἐκείνῳ τοίχῳ (inquit) θύρα ἦν, δι' ἧς εἰς τὸν θάλαμον ἀνάγεται, ἔνθα τὰ ὅπλα ἔκειτο· οὗτος, δὶ ὅπου, ἐκόσμουν εἰδέα ἦν, ἐφ' ᾗ ἦν ὀρόφωσις καὶ ἀναθορεῖν. Verùm si in thalamum duxisset porta hæc, quàm *Ulysses* jussu custodiebat Subulcus, (*ver.* 129.) adeò ut eâ viâ nullo modo egrediendum esse fateretur *Melanthius*, (*ver.* 136.) non statim deinceps subjecisset ille consilium armorum è thalamo petendorum, (*ver.* 139.) sed potiùs thalamum aliâ quâdam viâ adeundum monuisset. Vide et infrà ad *ver.* 142.

Ibid. —— ἐκόσμουν οἱ τοίχῳ.] In nonnullis legitur, notante *Barnesio*, ἐκόσμουν. Minùs rectè. Vide suprà ad *ver.* 24.

Ver. 128. —— λαύρην.] Στίνην ὁδὸν, δι' ἧς οἱ λαοὶ ἴασι καὶ φέρονται, οἱονεὶ ἄμφοδον. *Schol.* et *Eustath.*

Ibid. —— τῷ ἀραρυῖαι.] *Al.* ἔστος ἔασαν et ἔνδον ἔασαν notante *Eustathio.*

Ver. 130. —— μία δ' οἴη γίνετ' ἐφορμὴ.] Ἔξοδος· ἢν δὲ ἐνὸς μόνου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς οἰκίας τοίχῳ τῷ ἀνδρῶνος· ἐν αὐτῇ δίξῃ γινόμενον ὀρσοθύρα, ἥτις εἰς τὴν λαύραν ἔφορεν· ἡ δὲ λαύρα στενωτὸς ἐστὶ παραπέμπουσα ἔξωθεν τῇ ἐν δεξιᾷ τοίχῳ, ἐν ᾧ καὶ ὁ θάλαμος, ἐχ ἁ Πηνελόπης, ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο· αὕτη δὲ ἡ λαύρα ἔξοδον εἰς τὸν πρόδομον ἔχει· ἐνὸς δὲ ἦν ἔξοδος Ὀρσοθύρα. *Schol.* Vide autem suprà ad *ver.* 126.

Ver. 131. Τοῖς δ' Ἀγέλαος ἔειπεν.] In veterum Exemplarium nonnullis legitur hîc (notante *Barnesio*), Τοῖς δ' Ἀγέλαος μείδησεν· ut pronuntietur scilicèt Ἀγέλαος. Cumque his facit et MS. à *Tho. Bentleio* collatus.

Ver. 133. Καὶ εἴποι.] *Al.* Καὶ δ' εἴποι.

Ver. 134. —— τοξάσαιτο.] Vide suprà ad *ver.* 72.

Ver. 137. —— ἀργαλέος στόμα λαύρης.] Ἤδιον ὁ πρὸς τὴν ὀρσοθύρην ἄγων στενωτὸς. *Eustath.*

Digitized by Google

Ἐκ θαλάμου· ἔνδον γὰρ, (οἴομαι), οὐδέ πη ἄλλη 140
Τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.
Ὡς εἰπὼν, ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
Ἐς θαλάμους Ὀδυσῆος, ἀνὰ ῥῶγας μεγάροιο·
Ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα,
Καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας· 145
Βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκε.
Καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Ὡς περιβαλλομένους ἴδε τεύχεα, χερσὶ δὲ δοῦρα
Μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ φαίνετο ἔργον.
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα· 150
Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
Νῶϊν ἐποτρύνει πόλεμον κακὸν, ἠὲ Μελανθεύς.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον, (οὐδέ τις ἄλλος
Αἴτιος,) ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν 155

" Ex thalamo: intùs enim, (puto), neque usquam alibi 140
" Arma deposuerunt Ulysses et illustris filius."
Sic locutus, ascendebat Melanthius, custos caprarum,
In thalamum Ulyssis, super scalas domûs:
Indè duodecim quidem scuta desumpsit, totidemque hastas,
Et tot galeas æratas setis-equinis-densas: 145
Perrexit verò ire, valdèque citò ferens procis dedit.
Et tunc Ulyssis soluta sunt genua et charum cor,
Ut circumponentes-sibi vidit arma, manibusque hastas
Longas vibrantes; magnum autem ipsi apparebat opus.
Statim verò Telemachum verbis alatis allocutus est; 150
" Telemache, certè omninò jam aliqua in ædibus mulierum
" In nos concitat bellum malum, vel Melanthius."
Hunc autem rursùs Telemachus prudens contrà allocutus est;
" O pater, ipse ego hoc peccavi, (neque quisquam alius
" Reus;) qui thalami januam arctè compactam 155

Ver. 142. Ὡς εἰπὼν, ἀνέβαινε Μελάνθιος.] Ἐν τούτοις δὲ φασιν οἱ Παλαιοὶ καὶ ἑτέραν ὀρσοθύρην εἶναι, δι' ἧς ἀνελθὼν εἰς τὸ ὑστερῶον Μελάνθιος, ἀνείλετο τὰ ὅπλα. *Eustath.*

Ver. 143. —— ἀνὰ ῥῶγας.] Ῥήγματα, [Ita *Barnesius* ex MS. pro vulgato Ῥήματα] θυρίδας ἢ τρῶς τῆς οἰκίας ὑστερόας διόδους. *Schol.* Οἱ δὲ, τὰς ἀναβάσεις, ἀπὸ τοῦ διεφάναι. *Etymolog. Magn.* ad voces, Ἀνὰ ῥῶγας μεγάροιο. *Al.* ἀναρρωγας.

Ver. 144. Ἔνθεν δώδεκα μὲν σάκε' &c.] Fuerunt qui *Homerum* hîc reprehenderint, tot arma ab uno homine ferri non posse contendentes. Eandemque ob causam locum hunc ab *Aristarcho* repudiatum testatur *Eustathius*. Σημείωσαι δὲ ὅτι τὸ περὶ τῶν δώδεκα σακίων καὶ τὸ ἰφιξῆς, Ἀρίσταρχος ἀθετήσας κεχίακεν, ἀδύνατον εἶναι εἴπων τοσαῦτα βαστάσαι ἄνθρωπον. Dna. *Dacier* autem et *Barnesius Melanthium* arma hæc non omnia simul, sed pluribus subindè vicibus, thalamo extulisse intelligunt; idque confirmari existimant ex *ver.* 161. 183. 184. infrà, ubi idem *Melanthius* thalamum iterùm adiisse, unamque tantùm galeam et unum scutum exportare dicitur.

Ver. 148. —— χερσὶ δὲ.] *Al.* χερσί τε.

Ver. 152. Νῶϊν.] Apud *Eustathium*, Ἡμῖν.

Ver. 154. —— αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον.] Ἐμμελὴς δὲ καὶ χαρίεις ὁ λόγος καὶ πᾶν αὐτὸ λίγων, ἢ ἀγχινοίαν, ἢ φιλοτιμίαν. *Plutarch. de Sui Laude.*

Digitized by Google

Κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
Ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο,
Καὶ φράσαι, εἴτις ἄρ' ἐστὶ γυναικῶν, ἣ τάδε ῥέζει,
Ἢ υἱὸς Δολίοιο, Μελανθεύς, τόν περ ὀΐω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. 160
Βῆ δ' αὖτις θαλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
Οἴσων τεύχεα καλά· κόησε δὲ δῖος ὑφορβός,
Αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν, ἐγγὺς ἐόντα·
Διογενὲς Λαερτιάδη πολυμήχαν' Ὀδυσσεῦ,
Κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνὴρ, ὃν ὀϊόμεθ' αὐτοὶ, 165
Ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἔνισπε,
Ἢ μιν ἀποκτείνω, αἴ κεν κρείσσων γε γένωμαι·
Ἤ σοι ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
Πολλὰς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 170
Ἤτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
Σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας·
Σφῶϊ δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν,
Ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐπόῆσαι ὄπισθε·

" Reliqui reclinatam : horum verò speculator erat melior.
" Sed ito, nobilis Eumæë, januam claude thalami,
" Et observa, siqua sit mulierum, quæ hæc faciat;
" An filius Dolii, Melanthius; quem quidem puto."
Sic hi quidem talia inter se loquebantur. 160
Ivit autem iterùm ad-thalamum Melanthius, custos caprarum,
Allaturus arma pulchra; animadvertit verò nobilis subulcus;
Statimque Ulyssem alloquebatur propè existentem;
" Generose Laërtiade, solers Ulysses,
" Ille utique rursùs perniciosus vir, quem putamus ipsi, 165
" Proficiscitur in thalamum; tu verò mihi explicitum dic,
" An ipsum interficiam, si quidem superior fuero;
" An tibi huc ducam; ut injurias luat
" Multas, quotquot hic molitus est tuâ in domo."
Hunc autem respondens allocutus est solers Ulysses; 170
" Sanè ego et Telemachus procos eximios
" Continebimus intra ædes, quantumvis incitatos:
" Vos verò retortis pedibus et manibus desuper,
" In thalamum conjicite; fores autem astringite ponè;

Ver. 156. —— ἀγκλίνας.] Vide suprà ad *ver.* 121. item ad *Il. ά.* 309. 338.
Ver. 157. —— δῖ'.] *Al.* δὴ.
Ver. 165. —— ἀΐδηλος ἀνὴρ.] Vide suprà ad *ν.* 29.
Ver. 167. —— κρείσσων γε.] *Al.* κρείσσων τε.
Ver. 168. —— ἀγείρῃ.] Vide suprà ad *ver.* 64. et ad *Il. χ'.* 19. 20.
Ver. 174. —— σανίδας δ' ἐπόῆσαι ὄπισθε.] Τὸ ἐξῆς, σφῶϊν ἀποστρέψαντε πόδας καὶ χεῖρας, εἰς θάλαμον ἐμβάλλετε· σανὶν δὲ πλεκτὴν ἐπ' αὐτῷ κατερήναντε, ἀνὰ πίονα ὑψηλὴν ἐρύσατε, σανίδας δ' ἐπόῆσατε, ἢ ὄπισθεν κλήσατε τὰς θύρας μετὰ τοῦτο. *Schol.* Similiter *Eustathius*; Ἰέτιον δὲ καὶ ὅτι τὸ " σανίδας ἐπόῆσαι " ὄπισθεν," ὑστερολογικῶς κεῖται, ἤγουν κατὰ τρόπον προθύστερον· ὁ γὰρ μετὰ τὸ σανίδας ἐπόῆσαι, τυτέστι θύρας, κρεμάνυται ὁ Μελανθεὺς, ἀλλὰ τριφθὲς χεῖρας καὶ πόδας, καὶ στιβῷ

Σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήσαντες, 175
Κίον' ἀν' ὑψηλὴν ἐρύσαι, πελάσαι τε δόμοισιν,
Ὡς κεν δηθὰ ζωὸς ἐὼν, χαλέπ' ἄλγεα πάσχῃ.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
Βὰν δ' ἴμεν ἐς θάλαμον· λαθέτην δέ μιν ἔνδον ἐόντα.
Ἤτοι ὁ μὲν θαλάμοιο ῥυσὸν κατὰ τοῖχ' ἐρύσας· 180
Τὼ δ' ἔστην ἑκάτερθε παρὰ σταθμοῖσι μένοντες.
Εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος αἰπόλος αἰγῶν,
Τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
Τῇ δ' ἑτέρῃ σάκος εὖρυ, γέρον, πεπαλαιωμένον ἄζῃ,

" Catenam verò plenam ex ipso ubi nexueritis, 175
" Columnam in altam trahite, et admovete trabibus;
" Ut diù vivus manens, graves dolores patiatur."
Sic dixit: illi verò ei omninò quidem auscultârunt, et paruerunt:
Perrexerunt autem ire in thalamum; latuerunt verò ipsum intùs existentem.
Sanè ille quidem in thalami recessu arma quærebat: 180
Hi verò steterunt utrinque ad postes manentes.
Quandò super limen ibat Melanthius custos caprarum,
Alterâ quidem manu ferens pulchram galeam,
Alterâ verò scutum latum, antiquum, fœdatum situ,

ἰκδιΫὸς, ἀκπωμοῦσαι· ᾗ ἔστιν αἱ σανίδες ἐκδίδονται. —— Διὸ ᾗ πάντα ποιήσαντες οἱ δῦλοι, θύρην ἐκίθυτο φασιὴν ὡς ἐν τῇ συμπληρώσει τῶν διηγήματος (*ver.* 201.) ὁ Ποιητὴς φησὶν. Aliam autem posteà explicationem affert; Ἰσίου δὲ ὅτι εὐρίσκεις τινὲς παρὰ Ἡρωδίῳ πάμπαν τὸ, ζώντα τὸν δεῖνα πρὸς σανίδα διεκτετάλεσαν, ἐξιάσαντο πάντοθα ἅμαιον τὸ νόημα ᾗ ἐκ τῶν, "σανίδας δ' ἐκδῆσαι δεκτέον" ὰν εὐοδῶσαι δὲ τοῖς ὅσα νοεῖν ὁ λέξις, ἀλλὰ κρείττον ἐπὶ νεῶν ἀκλύστερον αὐτὸ ἀνῆ τῶν, τὰς θύρας πλείσαντες, ἐκδῆσαι αὐτὰς μετὰ τοίνυν. Cæterùm quidni, servato proprio et simplici verborum ordine, jubere intelligatur *Ulysses*; *Melanthio* in thalamum tracto, fores primùm occludi, nequis ipsos ingressus impediret: ipsumque deinceps ex trabe suspendi?

Ver. 175. —— πειρήσαντες.] *Al.* πειρήσαντες. Ut ἀποστρέψαντες, *ver.* 173. 190. et μένοντε *ver.* 181. Sed et πειρήσαντες rectè dicitur. Vide ad *Il. α.* 566.

Ver. 176. Κίον' ἀν' ὑψηλὴν ἐρύσαι.]

Et nodum informis lethi trabe nectit ab altâ. *Æn.* XII. 603.

Ver. 177. Ὡς κεν δηθὰ ζωὸς ἐὼν, χαλέπ' ἄλγεα πάσχῃ.] Τὸ δὴ, "ὡς κεν δηθὰ ζωὸς ἐὼν, "ἄλγεα πάσχῃ," δηλοῖ, τοῖς κακοφραγοῦσιν ἀφεθὲν ὡς ἐν κακοῖς εἶναι τὸ ἀπαλλάττεσθαι τοῦ βίου τάχιον· ὡς τό γε χαλεπὰ ἐπὶ πολὺ παρέχειν ζῶντα, ἀλγεινὸν ἐστι. *Eustath.* Haud dissimilitèr *Suetonius* de *Tiberio*, notante *Barnesio*: " Mori volentibus, vis adhibita vi-" vendi. Nam mortem adeò leve supplici-" um putabat, [*Tiberius*:] ut cùm audisset " unum ex reis, *Carnulium* nomine, antici-" pâsse eam, exclamaverit; *Carnulius me* " *evasit*. Et in recognoscendis custodiis, " precanti cuidam pœnæ maturitatem re-" spondit: *Nondum tertius in gratiam redii.*" *Sueton. Tiber. cap.* 61.

Ver. 179. Βὰν δ' ἴμεν ἐς θάλαμον.] Ita ex Exemplaribus nonnullis restituit *Barnesius*. Rectè, ut videtur. Alii hîc habent, βῆ δ' ἴμεν ἐς θάλαμον. Quod de *Melanthio* accipiendum est. Verùm ut de *Servis Eumæi* et *Philœtio* intelligatur hoc, postulant sequentia λαθέτην δὲ μιν ἔνδον ἐόντα κτ.λ. et *Melanthius* thalamum jamjam (uti notavit *Barnesius*) conscendisse dicitur, suprà *ver.* 161. 166. Porrò etsi in utrâque *Eustathii* Editione mutè editum sit, ut in Vulgatis, βῆ δ' ἴμεν· ipse tamen cum *Barnesio* legisse videtur Βὰν δ' ἴμεν. Ita enim in commentario exponit: Καὶ αὐτοὶ εὐθὺς ἐλθόντες ἐς θάλαμον, ἔλαθον τὸν Μελάνθιον.

Ibid. —— λαθέτην δὲ μιν.] In nonnullis scribitur, teste *Barnesio*, λαθέτην δὲ μιν. Sed, uti et ipse notat, minùs rectè. Nondum enim prehensum *Melanthium* liquet ex sequentibus, Ἤτοι ὁ μὲν θαλάμοιο —— Τὼ δ' ἔστην ἐκάτερθε κτ.λ.

Ibid. et *ver.* 198. —— λαθέτην —— ἀφεθὲν.] Vide suprà ad λ'. 101.

Ver. 184. —— ἄζῃ.] Εὐρῶτι, ἢ ξηραείᾳ. *Schol.*

Digitized by Google

Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε·
Δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δ' ἐλέλυντο ἱμάντων·
Τὼ δ' ἄρ' ἐπαΐξαντ' ἐλάσην, ἔρυσάν τέ μιν εἴσω
Κουρίξ· ἐν δοπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ.
Σὺν δὲ πόδας χείρας τε δόμον θυμαλγέϊ δεσμῷ,
Εὖ μάλ' ἀποστρέψαντε διαμπερὲς, ὡς ἐκέλευσεν
Υἱὸς Λαέρταο πολύτλας δῖος Ὀδυσσεύς.
Σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντες,
Κίον' ἀν' ὑψηλὴν ἔρυσαν, πέλασάν τε δοκοῖσι.
Τὸν δ' ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·
Νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκλα φυλάξεις,
Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος, ὥς σε ἔοικεν·
Οὐδέ σέ γ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
Λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
Αἶγας μνηστήρεσσι δόμον κατὰ, δαῖτα πένεσθαι.
Ὡς ὁ μὲν αὖθι λέλειπτο, τεθεὶς ὀλοῷ ἐνὶ δεσμῷ.

Laërtis heroïs, quod juvenis *is* gestabat; 185
Tunc sanè jamdudùm jacuerat; suturæ autem dissolutæ erant lororum:
Illi utique deindè adorti prehenderunt, traxeruntque ipsum intrò
Per-capillos; in pavimento verò humi dejecerunt dolentem corde.
Pedes autem manusque colligaverunt acerbo vinculo,
Benè admodùm retortos penitùs; sicut jussit 190
Filius Laërtis multa-passus nobilis Ulysses.
Catenam verò plexam ex ipso ubi-nexuerant,
Columnam in altam traxerunt, admoveruntque trabibus.
Eum autem asperè-deridens allocutus es, Eumæe subulco;
" Nunc quidem demùm prorsùs omninò, Melanthi, noctè vigilabis; 195
" Lecto in molli decumbens, uti te decet;
" Neque te sanè aurora ab Oceani fluentis
" Latebit adveniens aureo-solio, quandò adduces
" Capras procis in domo, ad convivium apparandum."
Sic is quidem illic relictus est, extensus pernicioso in vinculo. 200

Ver. 187. Τὼ δ' ἄρ' ἐπαΐξαντ'.] *Barnesius* edidit, legendumque contendit, Τὼ δ' ἄρ'. quòd " nondum Sensus sit completus." Sed vide ad *Il. α.* 57.

Ibid. —— ἔρυσαν τε μιν εἴσω Κυρίξ] Τὸ δὲ " κυρίξ," τῶν ἅπαξ μὲν παρ' Ὁμήρῳ ῥηθέντων ἐστὶ καὶ αὐτὸ δηλοῖ δὲ, κατὰ τοὺς Παλαιοὺς, τὸ παντελῶς· καὶ γίνεται ἐκ τοῦ ὡς ἐρρίζη (*ver.* 185.) κυρίζειν, ὅ μέλλων Δωρικὸς, κυρίξω, καὶ ἐξ αὐτοῦ κυρίξ, τὸ ἀνδρείως, καὶ ὡς ἄριστα κύριος. Καὶ ὅτω μὲν φησὶν ὁ Κράτης· Ἀρίσταρχος δὲ ἀντὶ τοῦ ἐπιλαζομένης τῆς κόμης· ἵνα ᾖ κατ' αὐτὸν, τὸ Κυρίξ ἀντὶ τοῦ ἐκ τῆς κεφαλῆς. *Eustath.* Quæ posterior videtur potior interpretatio.

Ver. 188. —— ἀχνύμενον κῆρ.] Editiones nonnullæ, notante *Barnesio*, hìc legunt ἀχνύμενοι κῆρ. Sed minùs rectè.

Ver. 190. —— ἐκέλευσεν.] *Al.* ἐκέλευσε.

Ver. 192. —— πειρήναντες.] Vide suprà ad *ver.* 175.

Ver. 195. Νῦν μὲν δὴ μάλα πάγχυ, &c.] Ἔτι δὲ τὶ εἶδος Εἰρωνείας καὶ ὁ Σαρκασμὸς, ὅταν δὰν τὶς διὰ τῶν ἐναντίων ὀνειδίζων τινὶ, μετατιθῆται μεταδιάματος ——. Τάττοις παραπλησίως ἔχει καὶ ἡ Ἀλληγορία, ἅτερ ἕτερον δι' ἑτέρου παρίστησιν· οἷον ἐστὶ τοῦτο, " Νῦν μὲν δὴ μάλα " πάγχυ, Μελάνθιε, νύκλα φυλάξεις, Εὐνῇ ἐνὶ " μαλακῇ καταλέγμενος, ὡς ἔοικε" τὸν γὰρ ἐν δεσμοῖς ὄντα καὶ ἀνηρτημένον, ἐν κοίτῃ ἀπαλῇ ὑπνώσειν λέγει. *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 8. *sub fine.*

Ver. 196. —— ὡς σε ἔοικεν.] Apud *Dionysium*, loco jam citato, ὡς ἐοίκασι.

Ver. 200. —— ἐνὶ δεσμῷ.] *Al.* ὑπὸ δεσμῷ.

Digitized by Google

Τὼ δ' ἐς τεύχεα δύντε, θύρην τ' ἐπιθέντε φαεινὴν,
Βήτην εἰς Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην·
Ἔνθα μένος πνείοντες ἐφέστασαν· οἱ μὲν ἐπ' οὐδοῦ,
Τέσσαρες, οἱ δ' ἔντοσθε δόμων, πολέες τε καὶ ἐσθλοί.
Τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη, 205
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
Τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν, καὶ μῦθον ἔειπε·
Μέντορ, ἄμυνον ἀρὴν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
Ὅς σ' ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοι ἐσσί.
Ὣς ἔφατ', οἰόμενος λαοσσόον ἔμμεν' Ἀθήνην. 210
Μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι·
Πρῶτος τήν γ' ἐνένιπτε Δαμαστορίδης Ἀγέλαος·

Illi autem arma induti, januâque occlusâ splendidâ,
Iverunt ad Ulyssem prudentem, versutum:
Ibi robur spirantes astiterunt: hi quidem super limen,
Quatuor; illi autem intra ædes multique et eximii.
His autem propè filia Jovis advenit Minerva, 205
Mentori assimilata tum corpore, tum etiam voce.
Hanc verò Ulyssès gaudebat conspicatus, et verbum dixit;
" Mentor, propulsa malum, memorque esto socii dilecti,
" Qui te benè sæpè faciebam: eâdem-ætate autem mecum es."
Sic dixit, suspicans populorum-concitatricem esse Minervam. 210
Proci verò ex alterâ parte increpabant in ædibus:
Primus hanc utique objurgabat Damastorides Ageläus;

Ver. 201. —— θύρην τ' ἐπιθέντι.] *Al.* θύρην ἐπιθέντι.

Ver. 203. —— ἰφίσασαν.] *Eustathius* vocem hanc ex ἰφισήκεισαν contractam vult. Καὶ ὅρα (inquit) τὸ "ἰφίσασαν" ἐκ ἀπὸ τοῦ ἵστην, ἵστησαν, (ἐ γὰρ ἂν ἰδασύνετο)· ἀλλὰ ἀπὸ τοῦ ἰφισήκεισαν, κατὰ συγκοπὴν καὶ τροφὴν τοῦ η εἰς α. Sed vide ad *Il. μ'.* 55.

Ver. 205. —— ἦλθεν Ἀθήνη.] Ἀθηνᾶ, —— πλαττομένη μὲν μυθικῶς, νοουμένη δὲ καὶ νῦν ἀλληγορικῶς παρεῖναι τῷ Ὀδυσσεῖ, ἐμφρόνως πάντα ποιοῦντι. *Eustath.* Vide ad *Il. ά.* 194. et *ή.* 29. 34.

" Arbor erat patula-foliis olivæ septum intra, 190
" Vigens, florescens; crassa verò erat, tanquam columna:
" Ei autem ego circumdatum thalamum struxi, donec perfeci
" Densis lapidibus, et benè desuper texi;

ἑάλιστ' εὐνὴν.] Vulgati habent ἴμβαλε τ' εὐνὴν' *Barnesius* autem ex editionibus nonnullis edidit, ἰμβάλιστ'. Quod, uti et ipse annotat, cum præcedente ἰκθέσται aptiùs congruit. Atqui MS. à *Tho. Bentleio* collatus hîc legit ἰκθέσθαι. Quæ si vera lectio, omninò scribendum cum vulgatis ἴμβαλε τ'.

Ver. 184. —— ἄλλοσε θῆκε λέχος.] *Eustathius* infrà *ver.* 204. in commentario citat, ἄλλοσ' ἔθηκε. Atque ita et hîc et infrà *vir.* 204. edidit *Barnesius;* lectionemque *longè potiorem* pronuntiat. At quamobrem longè potiorem existimet vir eruditus, equidem non video. Quin et hoc in loco cum vulgatis ἄλλοσε θῆκε legit ipse *Eustathius.*

Ver. 185. —— ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν ἐθ.] Rectè observat *Spondanus,* " Difficul-" tatem cujusvis rei ita solere à Poëtâ ex-" primi." Vide et suprà ad *ver.* 93.

Ver. 187. —— οὐκ ἄν τις.] *Al.* οὐ κεν τις.

Ibid. —— οὐδὲ μάλ' ἡβῶν.] Legitur et οὐδὲ γυναικῶν notante *Eustathio.*

Ver. 190. —— τανύφυλλος.] *Al.* τανυφύλλ-λου ut infrà *ver.* 195.

Ver. 191. Ἀκμηνὸς θαλέθων.] Ἀκμηνὸς δὲ νῦν ὀξύνεται φασὶ γὰρ ὅτι Ἀρίσταρχος ἐνταῦθα μὲν ἐπὶ τοῦ, Θάμνος, ἀκμηνός, ὅ ἐστιν, ἀκμὴν ἔχων τοῦ νεάζειν, ὀξυτόνησεν· ἐν δὲ Ἰλιάδι, (σ'. 163. 346.) ἐπὶ τοῦ δηλοῦντος τὸν νῆσιν, βαρυτόνησεν. Ἑτέροι δὲ, φασὶ, καὶ τὰ δύο προσαρωξυτόνησαν. *Eustath.*

Ver. 193. Πυκνῆσιν λιθάδεσσι.] Ita restituit *Barnesius* ex *Odyss.* ξ'. 36. ubi, ut ipse annotat, idem Hemistichium occurrit; et in omnibus Exemplaribus hoc modo legitur. Cumque *Barnesio* facit *Phil. Labbe, Thesaur. Prosod. pag.* 152. " Legendum," inquit, " quâvis pactione contendo, Πυκνῆ-" σιν λιθάδεσσι, ut scriptum extat, *Odyss.* ξ'. " *ver.* 36." Firmatur porrò hæc lectio et ex MS. à *Tho. Bentleio* collat. ubi scribitur Πυκνῆσιν λιθάδεσσι. Vulgati hîc habent Πυκνῆς λιθάδεσσι. Quod vix ullâ potest licentiâ excusari: Nam vox Πυκινῆς duas priores syllabas corripit; ut liquet tum ex aliis permultis Poëtæ locis, tum ex versu hunc proximè sequenti;

—— θύρας πυκινῶς ἀραρυίας.

Digitized by Google

Κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
Καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης· 195
Κορμὸν δ' ἐκ ῥίζης προταμὼν, ἀμφέξεσα χαλκῷ
Εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
Ἑρμῖν' ἀσκήσας· τέτρηνα δὲ πάντα τερέτρῳ.
Ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
Δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι· 200
Ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς, φοίνικι φαεινόν.
Οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
Εἴ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἠέ τις ἤδη
Ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὑπὸ πυθμένι ἐλαίης.
Ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, 205

" Conglutinatasque imposui fores, firmitèr aptatas.
" Et tum deindè abscidi comam patulæ-foliis olivæ; 195
" Truncum verò à radice usque proecissum circumdolavi ære
" Benè et scitè, et ad perpendiculum exegi,
" Fulcro elaborato; terebravique omnia terebrâ.
" Ab hoc autem incipiens lectum poliebam, donec perfeci,
" Variè-ornans auroque et argento et ebore; 200
" Indè verò extendi pellem bovis, purpurâ splendidam.
" Sic tibi hoc signum dico; neque omninò scio,
" An mihi adhuc incolumis sit, mulier, lectus, an aliquis jamjam
" Virorum alibi posuerit, succiso fundo olivæ."
Sic dixit: ejus verò ibidem soluta sunt genua et charum cor, 205

Ver. 196. Κορμὸν δ' ἐκ ῥίζης προταμὼν.] Ἀπὸ τῆς ῥίζης κορμὸν ποιήσας. *Schol.* Τὸ δὲ "κορμὸν ἐκ ῥίζης προταμὼν," ἀ δηλοῖ κάτωθεν τὸν κορμὸν ἐκπεμηθῆναι· τοῦτο γὰρ, ἀπὸ πυθμένος ἐστὶ τμηθῆναι, ἀ μὴν κορμὸν προταμεῖν· διὸ καὶ ἐρρίζη κατωτέρω [*ver.* 204.] τὸ, "ταμὼν ὑπὸ πυθμένι ἐλαίης·" ἵνα ὑποταμεῖν μὴν νοοῖτο τὸ κάτωθεν ἐκπέμψαι τὸ παχὺ τοῦ πυθμένος· ποταμεῖν δὲ τὸ ἄνωθεν ποθὲν ἐκ κορμοῦ.—— Ὥστε οὐχ ὑπίστημι μὲν Ὀδυσσεὺς κορμὸν ἀπὸ ῥίζης, ἤτοι πυθμένος· ἀλλὰ προίστημι κορμὸν, ἤγουν πρὸ τῆς ῥίζης· ἔκοψεν, ὡς τὸ μὲν αὐτοῦ τμηθῆναι, τὸ δὲ λιπέσθαι. *Eustath.*

Ibid. —— ἀμφέξεσα.] *Al.* ἀμφ' ἔξεσα.

Ver. 197. —— τάμην.] Τὴν τεκτονικὴν πάρτον. *Schol.*

Ver. 198. Ἑρμῖν' ἀσκήσας.] Κλινόποδα· ἕρμα γὰρ τῆς κλίνης. *Schol.* Ἑρμῆς, ὁ Διὸς καὶ Μαίας τῆς Ἀτλαντος, παῖς ἔτι ὤν, ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὕρετο, Γράμματα, καὶ Μουσικὴν, καὶ Παλαίστραν, καὶ Γεωμετρίαν· ὅθεν καὶ τοὺς Ἕλληνας τετρώγωνον αὐτὸν ἀσκῆσαι, καὶ ἕστως ἐν τοῖς γυμνασίοις ἀνεθεῖναι. Τῷ δὲ Ὀνοροστομπὸν εἶναι, καὶ τοὺς κομωμένους αὐτῷ εὐχεσθαι, καὶ αὐτὸν ἀναμένειν, εἴλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου, ἐπινοῆσαι τε καὶ ἀσκῆσαι τοὺς τῶν πλινῶν πόδας εἰς τὴν τοῦ Διοῦ πρόσοψιν, ὅπως ἁλιεύτορας ἔχοντες ἰδίας, [*Barnesius* edidit ἰδίας], τὰ μὲν δόρατα μὴ φοβοῖντο, προσδοκῶντες δὲ πλείστην ἐπιφροδίσιον διὰ τῶν ὀνειράτων. Ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ. *Schol.* à *Barnesio* ex MS. emendata.

Ver. 199. Ἐκ δὲ τοῦ ἀρχόμενος.] Τοῦ πολλοῦ *Schol.*

Ver. 200. —— ἠδ' ἐλέφαντι.] Vide suprà ad δ'. 73.

Ver. 201. Ἐκ δ' ἐτάνυσσα.] Apud *Eustathium* commentario, Ἐν δ' ἐτάνυσσα. Omninò autem scribendum cum duplici σ, ἐτάννυσσα· penultima enim corripitur. Vide ad *Il.* ῥ'. 58.

Ibid. —— φοίνικι φαεινὸν.] *Al.* Ἰφι κηκιόεν.

Ver. 203. Εἴ μοι ἔτ' ἔμπεδον ἐστὶ, γύναι, λέχος.] Vocem, γύναι, quæ in *Henrici Stephani* aliisque editionibus excideraf, rectè hîc ex *Eustathio* Exemplaribusque nonnullis restituit *Barnesius*.

Ver. 204. —— ἄλλοσε θῆκε.] Vide suprà ad *ver.* 184.

Ibid. —— ὑπὸ.] MS. à *Tho. Bentleio* collatus, ἀπὸ.

Ver. 205. —— τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, Σήματ' ἀναγνόντι.] Ita Vulgati; atque ita *Eustathius*; Σημαίνουσι δὲ (inquit) καὶ τὸ, "τῆς δ' αὐτοῦ λύτο γούνατα, σήματ' ἀναγνόντι," καινότερον φρασθὲν τὸ γὰρ ποιοῦν, ἤ, "τῆς δὲ ἀναγνόντος," ἤ, "σῇ δ' ἀναγνόντι."

Digitized by Google

Σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς·
Δακρύσασα δ' ἔπειτ' ἰθὺς δράμεν, ἀμφὶ δὲ χεῖρας
Δειρῇ βάλλ' Ὀδυσῆϊ, κάρῃ δ' ἔκυσ', ἠδὲ προσηύδα·
Μή μοι, Ὀδυσσεῦ, σκύζευ, ἐπεὶ τά περ ἄλλα μάλιστα
Ἀνθρώπων πέπνυσο· θεοὶ δ' ὤπαζον ὀϊζύν, 210
Οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε
Ἥβης ταρπῆναι, καὶ γήραος οὐδὸν ἱκέσθαι.
Αὐτὰρ μὴ νῦν μοι τόδε χώεο, μηδὲ νεμέσσα,
Οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα·
Αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν 215
Ἐρρίγει, μή τίς με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν

Signa agnoscentis, quæ ei accurata dixit Ulysses.
Lachrymis-fusis autem deindè rectà cucurrit, circumque manus
Collam jaciebat Ulyssi; caput verò osculata est, et affabatur;
" Nè mihi, Ulysses, irascere; quoniam in aliis quidem *rebus* maximè
" Hominum prudens-eras; dii autem dabant ærumnam, 210
" Qui nobis inviderunt *nos* unà invicem manentes
" Pubertate fruitos esse, et senectutis limen attigisse.
" At nè nunc mihi ob-hoc irascere, neque indignare,
" Quòd te non primùm, postquam vidi, sic amplexa sum;
" Semper enim mihi animus in pectoribus charis 215
" Horruit, nequis me hominum deciperet verbis

Ὁ δὲ γνωικὴν δοτικῇ παρέθηκεν διὰ τι τὸ μυμαχῦ φανὲν φύσει ἀσολοίκιστον τῇ πλαγιασμῷ, ᾗ τὴν συγγένειαν τῶν δύο τόνων πτώσιων. Neque dissimilem syntaxin alibi usurpat Poëta: Vide suprà ad ζ. 155. 157. ad ί. 256. 257. et ad *Il.* κ'. 187. 188. item infrà ad *ver.* 211. *hujus libri. Barnesius* porrò, etsi in annotationibus ad ί. 256. citato hoc loco, vulgatam præfert lectionem, elegantiæque imperitos arguit, qui scribunt ἀναγνόντες. ipse tamen hîc, Editionum veterum nonnullos secutus, Σήματ' ἀναβόσας edidit; alteramque lectionem ex *Odyss.* σ'. 249. irrepsisse suspicatur.

Ver. 207. —— ἔπειτ' ἰθὺς.] Ita rectè ex Editione *Florentinâ* restituit *Barnesius*. Cumque eo facit et MS. à *Tho. Bentleio* collatus. Vide suprà ad ρ'. 33. *Vulgg.* ἔπειτα ἰθύς.

Ibid. —— ἰθὺς δράμεν.] *Al.* ἰθὺς κίεν.

Ver. 208. —— κάρῃ δ' ἔκυσ'.] Vide suprà ad σ'. 15. et ρ'. 39.

Ver. 209. Μὴ μοι, Ὀδυσσεῦ, σκύζευ, &c.] Ὅτι εὐλόγῳ, καθὰ καὶ προιρρήθη, λογισμῷ ἡ Πηνέλοπη συμπείσασα ἑαυτὴν ἐφ' οἷς ὁ Ὀδυσσεὺς περὶ τῆ κατὰ τὴν κλίνην σήματος εἶπε, πάντοθεν γίνεται τὰ εἰς τὸν ἄνδρα, χαρεῖσα, περιπλακεῖσα, αἰτησαμένη συγγνώμην ἐγκαταστύσης ἐφ' οἷς ἂν ἐπέσθη ῥᾴδιως· ἐπὶ δὲ τούτοις ᾗ ἐπαινέσασα ἀς βραχὺ, παθάπερ ἰδίδιν ἡ ὅρων ἔτι δὲ οἰκήσαμένη τῆς ἐν τῇ πλάνῃ ὀϊζύος. *Eustath.*

Ver. 210. —— θεοὶ δ' ὤπαζον ὀϊζύν.] *Al.* θεοὶ δ' ἐπόσαζον ὀϊζύν. Porrò Dna. *Dacier* hoc ita accipit, ut per ὀϊζὺν id hîc infortunium dicere intelligatur *Penelope*, quòd scilicèt *Ulyssem* non citiùs agnovisset. " Les " Dieux ont voulu ajouter encore cela à " tous les maux que nous avons soufferts." Ita illa: Sed multò rectiùs de prioribus *Ulyssis* et *Penelopes* infortuniis dictum hoc intelligetur; atque ita aptiùs congruent sequentia; Οἳ νῶϊν ἀγάσαντο &c.

Ver. 211. Οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε Ἥβης ταρπῆναι.] De hujusmodi Syntaxi, vide suprà ad *ver.* 205. Porrò fieri non potuit quin consultò hîc ita scripserit Poëta, quum in promptu erat dicere, " παρ' ἀλλήλοισι μένουσι." Uti et observat *Eustathius*; Καινὸν δ' ἐνταῦθα (inquit) σχῆμα ἡ ἀπὸ δοτικῆς ἐς αἰτιατικὴν ἀνακόλουθος μετάβασις, ἐν τῷ, " ὃς νῶϊν ἀγάσσατο," καὶ ἑξῆς· ἦν μὲν γὰρ ἀκόλουθον ἐπῶν, " ὃς ἡμῖν ἐφ- " θόνησε παρ' ἀλλήλοισι μένουσι τέρπεσθαι·" ἵνα ἦν ὁμοιόπτωτον τὸ, ἡμῖν, ᾗ τὸ, μένουσιν. Ἡ δὲ Ὁμηρικὴ γνυὴ τὸ σχῆμα ἤλλαξε, καινότερον μὲν, ἀσολοίκως δὲ. *Eustath.*

Ver. 213. —— χώεο, μηδὲ νεμέσσα.] Δῆλον δὲ ὅτι πολλὴ διαφορὰ τοῦ, χώεσθαι, καὶ τοῦ, νεμεσᾶν. Ἐκεῖνο μὲν γὰρ εἰκὸς ᾗ μὴ δικαίως γίνεσθαι· ἡ δὲ νέμεσις ἀεὶ σὺν τῷ δικαίῳ ἐστί. *Eustath.* Atqui non videtur Poëta hîc istiusmodi distinctionem in animo habuisse.

Ver. 216. Ἐρρίγει.] Vide suprà ad ζ'. 467. et ad *Il.* β'. 314.

Digitized by Google

Ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
Οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
Ἀνδρὶ παρ' ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
Εἰ ἤδη, ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν 220
Ἀξέμεναι οἴκόνδε φίλην ἐς πατρίδ' ἔμελλον,
Τὴν δ ἦτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
Τὴν δ' ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ
Λυγρὴν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
Νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέως κατέλεξας 225
Ἐυνῆς ἡμετέρης, τὴν οὐ βροτὸς ἄλλος ὀπώπει,
Ἀλλ' οἶοι σύ τ' ἐγώ τε, καὶ ἀμφίπολος μία μούνη
Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
Ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο,
Πείθεις δή μεν θυμὸν, ἀπηνέα περ μάλ' ἐόντα. 230
Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο.
Κλαῖε δ' ἔχων ἄλοχον θυμαρέα, κεδν' εἰδυῖαν.

" *Huc*-profectus; multi enim malas astutias cogitant.
" Neque Argiva Helena, è-Jove nata,
" Viro cum alieno mixta fuisset amore et cubili,
" Si in-animo-habuisset, quòd ipsam iterùm bellicosi filii Achivorum 220
" Reducturi domum dilectam in patriam erant.
" Eam autem profectò ad-patrandum deus instigavit opus indignum:
" Noxam verò non antè in suo deposuit animo
" Gravem; ex quâ primùm et ad nos venit dolor.
" Nunc verò, quandoquidem jam signa manifestè dixisti 225
" Lecti nostri, quem non mortalis alius viderat,
" Sed soli tuque egoque, et ancilla una sola
" Actoris, quam mihi dedit pater jam huc proficiscenti,
" Quæ nobis custodiebat fores compacti thalami;
" Flectis tandem meum animum, durus licèt valdè sit." 230
Sic dixit: ei autem adhuc magìs desiderium excitavit luctûs.
Flebat verò tenens uxorem animo-gratam, honesta scientem.

Ver. 217. —— πολλοὶ γὰρ κακὰ κέρδεα βυλεύουσιν.] Haud dissimilitèr apud *Theognidem*;

Πολλοὶ τοι κίβδηλον ἐπίπλοκον ἦθος ἔχοντες.
Gnom. ver. 959.

Ver. 219. — ἀλλοδαπῷ.] *Al.* ἀλλοδαπῶν.

Ver. 220. Εἰ ἤδη, ὅ μιν αὖτις [ϑ'c.] "Εἰ "ἤδη." ἐνταῦϑα εἰκότως· ἔστι γὰρ ἀφ' ἑτέρας ἀρχῆς προσυνεκτέον· "ὅ μιν αὖτις ἀρήϊοι υἷες "Ἀχαιῶν." Ὁ γὰρ λόγος, Οὐκ ἂν ἡ Ἑλένη παρ' ἀλλοφύλῳ ἀνδρὶ ἐμίγη, εἰ προεώρα τὸ μέλλον· διὸ καὶ ἐπανάξειν ἔμελλον αὐτὴν οἱ Ἕλληνες, οἷς μηδὲν ἡμαρτηκυῖαν. Ita *Schol.* Atque ita Veteres accepisse testatur *Eustathius*. Verùm neque vocula "ὅ" (ut opinor) pro διὸ satìs rectè dici potest; et sententiam, uti observant *Barnesius* et Dna. *Dacier*, multò rectiùs et faciliùs secundum vulgatam interpunctionem interpretêris: ut dicat nimirùm *Penelope*, "*Nequaquàm Hel-* "*nam viro se dedisse alieno, si prævidisset tot* "*ac tanta mala indè esse oritura.*"

Τὴν δ' ἄτην ἐ πρόσθεν ἑῷ ἐγκάσθετο θυμῷ
Λυγρὴν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
Infrà *ver.* 233.

Ver. 222. Τὴν δ' ἤτοι.] *Al.* Τὴν δὴ τοι.

Ver. 223. Τὴν δ' ἄτην ἐ πρόσθεν.] Οὐ πρὸ τῆ παιδῶν, ἤγουν τὴν φρεωβλάβειαν. *Schol.*

Ver. 225. —— ἐπεὶ ἤδη.] *Al.* ἐπειὴ δὴ.

Ibid. —— σήματ' ἀριφραδέως.] *Al.* σήματ' ἀριφραδίως.] Atque ita in commentario citat *Eustathius*.

Ver. 226. —— τὴν.] *Al.* ἣν.

Ver. 228. —— μοι δῶκε.] *Al.* μοι ἔδωκε.

Ver. 231. —— τῷ δ' ἔτι μᾶλλον.] *Al.* τῷ δ' ἄρα μᾶλλον.

Digitized by Google

Ὡς δ' ὅτ' ἂν ἀσπασίως γῆ νηχομένοισι φανείη,
Ὧντε Ποσειδάων εὐεργέα νῆ' ἐνὶ πόντῳ
Ῥαίσῃ ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ· 235
Παῦροι δ' ἐξέφυγον πολιῆς ἁλὸς ἠπειρόνδε
Νηχόμενοι, πολλὴ δὲ περὶ χροῖ τέτροφεν ἅλμη·
Ἀσπάσιοι δ' ἐπέβαν γαίης, κακότητα φυγόντες·
Ὡς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοροώσῃ·
Δειρῆς δ' οὔπω πάμπαν ἀφίετο πήχεε λευκώ. 240
Καί νύ κ' ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος ἠώς,
Εἰ μὴ ἄρ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ἠῶ δ' αὖτε
Ῥύσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον, οὐδ' ἔα ἵππους
Ζεύγνυσθ' ὠκύποδας, φάος ἀνθρώποισι φέροντας, 245
Λάμπον καὶ Φαέθοντ', οἵτ' Ἠῶ πῶλοι ἄγουσι.

Sicut autem quandò gratè terra natantibus apperet,
Quorum scilicèt Neptunus benè fabricatam navem in ponto
Perdidit, agitatam vento et fluctu vasto; 235
Pauci verò effugerunt è cano mari in terram
Natantes, multa autem circa corpus accresçit salsugo;
Læti verò conscenderunt terram, malo evitato:
Sic utique illi gratus erat maritus intuenti:
A collo autem nondum omninò removebat brachia candida. 240
Et sanè lugentibus apparuisset rosea-digitis aurora,
Nisi utique aliud cogitâsset dea cæsia-oculis Minerva:
Noctem quidem in termino longam tenuit, Auroram verò contrà
Detinuit in Oceano aureum-solium-habentem, neque sinebat equos
Jungere veloces, lumen hominibus ferentes, 245
Lampum et Phaëthonta, qui scilicèt Auroram equuli vehunt.

Ver. 233. Ὡς δ' ὅτ' ἂν ἀσπασίως γῆ.] Similitèr *Statius*;

Nec minùs hæc læti trahimus solatia,
—— quàm si
Præcipiti convulsa Noto prospectet amicam
Puppis humum ——.
Thebaïd. lib. II. *ver.* 193.

Et *lib.* VII. *ver.* 143.

—— dulcis medii de gurgite ponti
Respicitur tellus ——.

Ibid. —— ἀσπασίως.] *Al.* ἀσπάσιος.

Ver. 235. Ῥαίσῃ.] Apud *Eustathium.* Ῥαίσει.

Ver. 236. 237. Παῦροι δ' ἐξέφυγον —— Νηχόμενοι.]

Apparent rari nantes in gurgite vasto.
Æn. I. 118.

Ver. 237. —— πολλὴ δὲ περὶ χροῖ τέτροφεν ἅλμη.] Ita suprà ζ'. 137.

Σμερδαλέος δ' αὐτῇσι φάνη, πεπακωμένος ἅλμῃ.

Et sale tabentes artus in littore ponunt.
Æn. I. 173.

Ver. 240. —— ἀφίετο.] *Al.* ἀφάετο.

Ver. 241. Καί νύ κ' ὀδυρομένοισι.]

Et fors omne datum traherent per talia tempus.
Æn. VI. 537.

Ver. 243. Νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν.] Ἤδη πρὸς τῷ πέρατι ᾖ τῇ γῇ ἔσαν. *Schol. Eustathius* alitèr; Περάτην δὲ (inquit) ἅπαξ ἐνταῦθα φησὶν ὁ Ποιητὴς κατὰ γένος θηλυκόν. Καὶ δηλοῖ ἡ λέξις τὸ πέρας τοῦ Ὠκεανοῦ νῦν, ὃ τὸ ἀνατολικόν, ἀλλὰ μᾶλλον τὸ δυτικόν· ὃ ἔμελλεν ἡ Νὺξ δῆθεν σωμα]κῶς κα]λεῖν, ὡς ἂν ἐτέρωθεν ἀνέλθῃ ἡ Ἠώς. Διὸ ᾗ ὁ Ποιη]ὴς εἶπε, "Νύκτα μὲν ἐν περάτῃ σχέθε," τῇ κα]τὰ δύσιν δηλαδή. "Ἠῶ δ' αὖτε ἐπ' Ὠκεανῷ," τῇ κατὰ ἀνατολὴν· ὥστε μήτε ταύτην ἀναδῦναι, μήτε ἐκείνην καταδῦναι.

Ibid. —— ἐν περάτῃ.] *Al.* ἐμπεράτῃ.

Ibid. —— δολιχήν.] *Al.* δολιχῇ.

Ibid. et *ver.* 246. —— Ἠῶ.] *Al.* Ἠόα.

Ver. 246. Λάμπον καὶ Φαέθοντ'.] Ὅμηρος μὲν ἕνα ξυνωρίδα ὑποζεύγνυσι τῇ Ἠοῖ· Δυκε-

Digitized by Google

Καὶ τότ' ἄρ' ἦν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
Ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται
Πολλὸς καὶ χαλεπὸς, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι. 250
Ὡς γάρ μοι ψυχὴ μυθήσατο Τειρεσίαο,
Ἤματι τῷ, ὅτε δὴ κατέβην δόμον Ἀΐδος εἴσω,
Νόστον ἑταίροισιν διζήμενος, ἠδ' ἐμοὶ αὐτῷ.
Ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
Ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιμηθέντε. 255
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐνὴ μὲν δή σοί γε τότ' ἔσσεται, ὁππότε θυμῷ
Σῷ ἐθέλῃς· ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
Οἶκον ἐϋκτίμενον, καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ, 260
Εἴπ' ἄγε μοι τὸν ἄεθλον· ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
Πεύσομαι· αὐτίκα δ' ἐστὶ δαήμεναι οὔτι χέρειον.

Et tunc utique suam uxorem allocutus est solers Ulysses;
" O mulier, nondum enim omnium ad fines certaminum
" Venimus, sed adhuc in posterum immensus labor erit,
" Multus et difficilis, quem me oportet omnem perficere. 250
" Sic enim mihi anima dixit Tiresiæ,
" Die illo, quandò scilicèt descendi domum Orci intra,
" Reditum sociis quærens, et mihi ipsi.
" Quin veni, ad lectum eamus, uxor, ut et jam
" Somno à dulci delectemur ubi decubuerimus." 255
Eum autem rursùs allocuta est prudens Penelope;
" Cubile quidem demùm tibi sanè tunc erit, quandò animo
" Tuo volueris; quia scilicèt et dii fecerunt venire
" Ad domum benè-ædificatam, et tuam in patriam terram.
" Sed quoniam cogitâsti, et tibi deus injecit animo, 260
" Dic age mihi hoc certamen; quoniam et posteà, (puto,)
" Audiam; statim autem est scire nequaquam pejus.

φρων δὲ ᾗ ἕτερος μενόπαιδον τὴν Ἡῶ πλάτλοιΐς, Πηγάσῳ αὐτὴν ἐποχεῦσι πτερόεντι ἵππῳ. *Eustath.* *Seli* autem (uti notat *Barnesius*) quatuor apud *Ovidium* tribuuntur equi: *Metamorph. lib.* II. *ver.* 153. 154.

Ver. 248. —— ὦ γάρ πω πάντων ὥς.] Ἰθέον δὲ ὡς ᾗ ἐνταῦθα ὁ Ποιητὴς ἀρχὴν λόγου θέμενος τὸν " γὰρ" σύνδεσμον, ἀποδιδοῦσιν αὐτὸν συνήθως διὰ τοῦ " ἀλλὰ·" ἀπὸν· " Ὦ " γύναι, ὦ γάρ πω πάντων ἐπὶ πέρατα" καὶ ἑξῆς· εἶτα μετὰ τίχους ἓξ ἐπαγαγὼν, (*ver.* 254.) " Ἀλλ' ἔρχευ, λέκτρονδε" ᾗ ἑξῆς. *Eustath.* Vide suprà ad κ'. 174. 190.

Ver. 249. —— ὄπισθεν ἀμέτρητος πόνος ἔσται.] Ὀδυσσεὺς δὲ τοῦτο λέγει διὰ τὸν ἐφεξῆς πόνον, ὃν ἀεθλεύσει κατὰ τὴν ἐν ᾅδου μαντείαν τοῦ Τειρεσίου, χάριν τιμῆς τοῦ Ποσειδῶνος· ὡς ᾗ τῇ γυναικὶ ἀφηγήσεται. *Eustath.* Vide infrà ad *ver.* 267. Ὀτ.

Ibid. —— ἔσται.] *Eustathius* in commentario citat, ἐστὶ.

Ver. 251. —— μυθήσαΐο.] *Al.* μαθήσατο.

Ver. 254. —— ὄφρα καὶ.] *Al.* ὄφρα κεν.

Ver. 255. —— ταρπώμεθα.] Vide suprà ad *ι.* 491.

Ver. 258. —— ἰθίλης.] Apud *Eustathium* in commentario, ἰθίλεις.

Ver. 260. —— καί τοι θεὸς ἔμβαλε θυμῷ.] Τὸ ἀπεῖν, ὅτι ποιῆσαι σε τὶ καὶ ἕτερον [*Al.* ἕτερον] δεῖ. *Schol.*

Ver. 262. —— δαήμεναι οὔτι χέρειον.] Ita suprà ρ'. 176.

Οὐ μὲν γὰρ τι χέρειον ἐν ὄρφ δεῖπνον ἑλέσθαι.

Digitized by Google

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρυνέουσα κελεύεις
Εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι, οὐδ' ἐπικεύσω. 265
Οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
Χαίρω· ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε' ἄνωγεν
Ἐλθεῖν, ἐν χείρεσσιν ἔχων' εὐῆρες ἐρετμόν·
Εἰσόκε τοὺς ἀφίκωμαι, οἳ οὐκ ἴσασι θάλασσαν,
Ἀνέρας, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν· 270
Οὐδ' ἄρα τοί γ' ἴσασι νέας φοινικοπαρήους,
Οὐδ' εὐήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται.
Σῆμα δέ μοι τόδ' ἔειπεν ἀριφραδές, (οὐδέ σε κεύσω·)
Ὀππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
Φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ, 275

Hanc verò respondens allocutus est solers Ulysses;
" Infausta, cur igitur demùm me valdè hortans jubes
" Dicere? at ego dicam, neque celabo. 265
" Haud quidem tibi animus gaudebit; neque enim ipse
" Gaudeo: quoniam admodùm multas hominum ad urbes jussit
" Proficisci, in manibus habentem fabrefactum remum;
" Donec ad illos pervenero, qui haud nôrunt mare,
" Viros, neque salibus mixtum cibum comedunt; 270
" Neque sanè hi nôrunt naves rubras-proris,
" Neque fabrefactos remos, qui utique alæ navibus sunt.
" Signum verò mihi hoc dixit manifestum, (neque te celabo;)
" Quandò demum mihi obviàm-factus alius viator
" Dixerit me ventilabrum habere super splendido humero; 275

Ver. 264. —— τί τ' ἄρ' αὖ.] *Al.* τί τ' ἄρ' ὖν.

Ibid. —— ὀτρυνέουσα.] Apud *Eustathium* in commentario, ὀτρύνουσα. Utrumque salvâ prosodiâ. Quâ enim ratione ex μαρτύρομαι μαρτύρῶμαι, fit μαρτύρέομαι· ex φίλομαι φίλῶμαι, φίλέω· eâdem ex ὀτρύνω ὀτρύνῶ, fit ὀτρύνέω. Vide ad *Il.* ά. 338. κ'. 55. et ί. 304.

Ver. 266. Οὐ μὲν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς Χαίρω.] Ἡ ἀπόφασις τῇ καταφάσει ποτὲ μὲν τὸ ἴσον δύναται, ποτὲ δὲ τὸ πλέον. —— Τὸ γὰρ λίαν λυπεῖσθαι, τῇ ἀποφάσει διδήλωκεν. *Hermogenes*, περὶ μεθόδου δεινότητος, *cap.* 37. Eâdem loquendi ratione usus est *Virgilius*:

Nec verò Alcidem me *sum lætatus* euntem
Accepisse ——————. *Æn.* VI. 392.

Et *Sophocles*;

Ἀλλ' ἔστι χαίρων, ἢν τόδ' ἐρθωθῇ βίλος.
Philoctet. ver. 1292.

Vide ad *Il.* ν'. 344.

Ibid. —— θυμὸς κεχαρήσεται.] *Al.* θυμῷ κεχαρήσεται.

Ver. 267. —— πολλὰ βροτῶν ἐπὶ ἄστ' ἄνωγεν Ἐλθεῖν.] Suprà λ'. 120. ϙc. ubi totus hic locus occurrit.

Ver. 269. 270. —— οἳ οὐκ ἴσασι θάλασσαν, —— οὐδὲ θ' ἅλεσσι.] Vide suprà ad λ'. 121.

Ibid. et *ver.* 271. —— ἴσασι.] Ita *Barnesius*: atque ita *Eustathius* in commentario. Rectè. Ita enim, uti ipse notat *Barnesius*, semper alibi apud *Homerum* scribitur hæc vox. Alii hîc minùs rectè scribunt ἴσασι, et ἴσασι.

Ver. 270. Ἀνέρας.] MS. à *Tho. Bentleio* collatus habet Ἀνέρες. Atque ita in Vulgatis legitur suprà λ'. 122.

Ver. 271. —— νέας φοινικοπαρήους.]

—————— *pictus*que innare carinas.
Æn. VIII. 93.

Ver. 274. Ὀππότε κεν δή.] Vide ad *Il.* ξ'. 433. et 504.

Ver. 275. —— ἀθηρηλοιγὸν.] Vide suprà ad λ'. 127.

Digitized by Google

Καὶ τότε μ' ἐν γαίῃ πήξαντ' ἐκέλευον ἐρετμόν,
Ἔρξαντ' ἱερὰ καλὰ Ποσειδάωνι ἄναικτι,
Ἄρνειόν, ταῦρόν τε, συῶν τ' ἐπιβήτορα κάπρον,
Οἴκαδ' ἀποστείχειν, ἔρδειν δ' ἱερὰς ἑκατόμβας
Ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι, 280
Πᾶσι μάλ' ἑξείης· θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ
Ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
Γήρᾳ ὑπαὶ λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
Ὄλβιοι ἔσσονται· τάδε μοι φάτο πάντα τελεῖσθαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια· 285
Εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
Ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Τόφρα δ' ἄρ' Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
Ἐσθῆτος μαλακῆς, δαΐδων ὑπολαμπομενάων. 290
Αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
Γρηῦς μὲν κείουσα, πάλιν οἴκονδε βεβήκει·
Τοῖσιν δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν

" Utique tunc me terræ infixo jussit remo,
" Factisque sacris eximiis Neptuno regi,
" Ariete, tauroque, suûmque initore verre,
" Domum abire, facereque sacras hecatombas
" Immortalibus diis, qui cœlum latum habitant, 280
" Omnibus prorsùs ordine: mors autem mihi ex mari ipsi
" Lenis admodùm talis adveniet, quæ me occîdat
" Senectute à molli confectum; circùm autem populi
" Felices erunt: hæc mihi dixit omnia perfectum-iri."
Illum autem rursùs allocuta est prudens Penelope; 285
" Si quidem demùm senectutem dii perficient meliorem,
" Spes tibi deindè malorum effugium fore."
Sic hi quidem talia inter se loquebantur.
Intereà verò Eurynomeque et nutrix instruebant lectum
Vestitu molli, facibus sublucentibus. 290
At postquam straverant densum lectum properantes,
Anus quidem decubitura retrò in-domum ivit;
Illis verò Eurynome cubicularia præibat

Ver. 276. Καὶ τότε μ' ἐν γαίῃ.] MS. à *Tho. Bentleio* collatus, Καὶ τότε δὴ γαίῃ. Ut suprà λ'. 128.

Ibid. ——— ἐκέλευον.] *Al.* ἐκέλευσεν.

Ver. 277. ——— Ποσειδάωνι ἄναικτι, Ἀρνειόν, ταῦρόν τε.]

Laocöon, ductus Neptuno forte sacerdos,
Solennes taurum ingentem mactabat ad aras. *Æn.* II. 201.

——— meritos aris mactavit honores;
Taurum Neptuno ———. *Æn.* III. 118.

Ver. 281. ——— θάνατος δὲ μοι ἐξ ἁλὸς αὐτῷ Ἀβληχρὸς.] Vide suprà ad λ'. 133. 134.

Ver. 282. ——— ὅς κε μ:] *Al.* ὅς κ' ἐμὲ.

Ver. 283. Γήρᾳ ὑπαὶ.] *Al.* Γήρα' ὑπαὶ.

Ver. 289. ——— ἔντυον εὐνὴν.] Vide ad *Il.* ι. 720.

Ver. 290. ——— ὑπαλαμπομενάων.] *Al.* ὑπὸ λαμπομένων.

Digitized by Google

Ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα·
Ἐς θάλαμον δ' ἀγαγοῦσα, πάλιν κίεν· οἱ μὲν ἔπειτα 295
Ἀσπάσιοι λέκτρεια παλαιοῦ θεσμὸν ἵκοντο.
Αὐτὰρ Τηλέμαχος καὶ Βουκόλος ἠδὲ συβώτης
Παῦσαν ἄρ' ὀρχηθμοῖο πόδας, παῦσαν δὲ γυναῖκας·
Αὐτοὶ δ' εὐνάζοντο κατὰ μέγαρα σκιόεντα.
Τὼ δ' ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς, 300
Τερπέσθην μύθοισι, πρὸς ἀλλήλους ἐνέποντες·
Ἡ μὲν, ὅσ' ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν,
Ἀνδρῶν μνηστήρων ἐσορῶσ' ἀϊδηλον ὅμιλον·
Οἳ ἕθεν εἵνεκα πολλὰ βόας, καὶ ἴφια μῆλα,
Ἔσφαζον· πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος. 305
Αὐτὰρ ὁ διογενὴς Ὀδυσεὺς, ὅσα κήδε' ἔθηκε
Ἀνθρώποις, ὅσα τ' αὐτὸς ὀιζύσας ἐμόγησε,

Euntibus ad lectum, facem in manibus tenens:
In thalamum autem ubi duxerat, retrò ivit: illi quidem deindè 285
Lubentes lecti antiqui ritibus accesserunt.
At Telemachus et bubulcus et subulcus
Cessare fecerunt à saltatione pedes, cessareque fecerunt mulieres;
Ipsi verò cubabant per ædes obscuras.
Illi autem postquam amore delectati sunt desiderabili, 300
Delectabantur sermonibus, secum invicem confabulantes:
Illa quidem, quot in ædibus sustinuerat nobilissima mulierum,
Virorum procorum inspiciens perniciosum cœtum;
Qui suî gratiâ multa, boves, et pinguia pecora,
Mactabant; multum autem ex dolliis hauriebatur vinum. 305
At generosus Ulysses, quot dolores intulerat
Hominibus, et quæcunque ipse ærumnis conflictatus exantlaverat,

---

Ver. 294. ——— δάος.] *Al.* φάος.

Ver. 296. Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.] Σεμνοῖς ῥήμασι κοσμεῖ τὸν λόγον· τὴν γὰρ ἐν δίκῃ καὶ νομίμῳ πρᾶξιν ἐνέφηνεν, ὁτῶν, "Ἀσπάσιοι λέκτροιο, ἰδ'." *Aristid. Quintil. de Musicâ, lib.* II, *pag.* 82. Hinc *Aulus Sabinus*, in *Epistolâ Penelopes Ulyssi*,

Heu, precor ut properet ille venire dies,
Antiqui renovet qui lætus fœdera lecti.
vér. 130.

Porrò *Aristophanes Grammaticus* et *Aristarchus*, notante *Scholiaste*, versum hunc finem fecinnt totîus *Odysseæ*: Cumque iis facit et Codex unus à *Tho. Bentleio* collatus. Quâ de re *Eustathius*: Ἰσῖον δὲ, inquit, ὅτι κατὰ τὴν τῶν Παλαιῶν ἱστορίαν, Ἀρίσταρχος καὶ Ἀριστοφάνης, οἱ κορυφαῖοι τῶν τότε γραμματικῶν, ἀς τὸ, ὡς ἐρρέθη, "Ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο," περατοῦσι τὴν Ὀδύσσειαν· τὰ ἰφιξῆς, ἕως τέλους τοῦ βιβλίου, νοθεύοντες. Οἱ δὲ τοιοῦτοι πολλὰ τῶν παριωτάτων περικόπτουσιν ὡς φασὶν οἱ αὐτοῖς ἀντιπίπτοντες· οἷον τὴν εὐθὺς ἰφιξῆς τῶν φθασάντων ῥητορικὴν ἀνακεφαλαίωσιν, καὶ τὴν τῆς ὕλης, ὡς ἀπῶν, Ὀδυσσεὰς ἐπιτομὴν· εἶτα καὶ τὸν ὕστερον ἀναγνωρισμὸν Ὀδυσσέως τοῦ πρὸς τὸν Λαέρτην, καὶ τὰ ἐκεῖ θαυμασίως πλαττόμενα· καὶ ἄλλα ὀλίγα. Sed et connecti videntur sequentia cum eo quod præcessit *ver.* 137. *hujus libri*; ubi declaravit ipse *Ulysses*, se in agrum suum profecturum, ad evitandum Ithacensium iram, quos Procorum mortem ulciscendum aggressuros suspicabatur:

Μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ δῶμα γένηται
Ἀνδρῶν μνηστήρων, πρὶν γ' ἡμέας ἐλθέμεν ἔξω
Ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ' ἔπειτα
Φρασσόμεθ', ὅ, τινι κε πέρδος Ὀλύμπιος ἐγγυαλίζῃ.

Ver. 298. ——— παῦσαν δὲ γυναῖκας.] *Al.* γυναῖκες.

Ver. 303. ——— ἀϊδηλον ὅμιλον.] Vide suprà ad π'. 29.

Digitized by Google

Πάντ' ἔλεγ'· ἡ δ' ἄρ' ἐτέρπετ' ἀκούουσ', οὐδέ οἱ ὕπνος
Πίπτεν ἐπὶ βλεφάροισι, πάρος καταλέξαι ἅπαντα.
Ἤρξατο δ', ὡς πρῶτον Κίκονας δάμασ'· αὐτὰρ ἔπειτα 310
Ἦλθ' ὡς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
Ἠδ' ὅσα Κύκλωψ ἔρξε, καὶ ὡς ἀπετίσατο ποινὴν
Ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν, οὐδ' ἐλέαιρεν·
Ἠδ' ὡς Αἴολον ἵκεθ', ὅ μιν πρόφρων ὑπέδεκτο,
Καὶ πέμπ'· οὐδέ πω αἶσα φίλην ἐς πατρίδ' ἱκέσθαι 315
Ἤην, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα
Πόντον ἐπ' ἰχθυόεντα φέρεν μεγάλα στενάχοντα·
Ἠδ' ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν,
Οἳ νῆάς τ' ὄλεσαν καὶ ἐϋκνήμιδας ἑταίρους
Πάντας· Ὀδυσσεὺς δ' οἶος ὑπέκφυγε νηῒ μελαίνῃ· 320
Καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε·

Omnia dicebat; illa verò delectabatur audiens; neque ei somnus
Incidebat palpebris, antequam is enarrâsset omnia.
Incepit autem, quomodo primùm Ciconas domuit; at posteà 310
Venit in Lotophagorum virorum pinguem terram:
Et quot Cyclops fecit, et quomodo exegit pœnam
Ob fortes socios, quos comedebat *is* neque miserabatur:
Utque ad Æolum venisset, qui ipsum lubens suscepit,
Et dimittebat; nondum verò fatale dilectam in patriam pervenire 315
Erat; sed ipsum rursùs abreptum procella
Pontum in piscosum tulit valdè gementem:
Et quomodo Telepylum Læstrygoniam advenit,
Qui navesque perdiderunt et benè-ocreatos socios
Omnes: Ulysses autem solus effugit nave nigrâ: 320
Et Circes enarravit dolum et varium-artificium:

Ver. 308. Πάντ' ἔλεγ'· ἡ δ' ἄρ' ἐτέρπετ' ἀκούουσ'.] Vide suprà ad λ'. 223.

Ver. 310. Ἤρξατο δ', ὡς πρῶτον Κίκονας δάμασ'. &c.] Ῥητορικὴν —— ποιεῖται ἀνακεφαλαίωσιν ἐξ ἱστορουμένων τῆς Ὀδυσσείας. *Schol.* Ἀνακεφαλαιοῦται τὴν ὅλην πλάνην ἐν ἔτεσιν ἑπτὰ πρὸς τοῖς τριάκοντα, κατὰ φύσιν διηγησάμενος, ἐξ ἃ τῶν πρώτων ἐυτάκτως ἐλθὼν πρὸς τὰ ἔσχατα. *Eustath.* Vide et *Dionys. Halicarn.* περὶ τῆς Ὁμήρου ποιήσεως, § 20. *in fine*; item suprà ad ι'. 39. 84. 104. &c.

Ver. 312. —— καὶ ὡς ἀπετίσατο ποινὴν Ἰφθίμων ἑτάρων.] Τὸ δὲ "ἀπετίσατο ποινὴν "ἑτάρων," ἢ ἀντὶ τοῦ, ἀπέτισε ποινὴν ἑτέρων· ἢ ἀντὶ τοῦ, ἀπέτισε ποινὴν ὁ φαγὼν αὐτοὺς Κύκλωψ, τουτέστιν ἀπέδωκεν· ἢ, Ὀδυσσεὺς ἐτίσατο ἐκεῖνον, ἤγουν ἐτιμώρησεν, εἰς ποινὴν τὴν ὑπὲρ τῶν φίλων. *Eustath.* Verior, ut opinor, postrema interpretandi ratio; quia isto sensu semper apud Poëtam usurpatur verbum ἀποτίομαι *Mediâ* Voce. Vide suprà ad ι'. 14. ν'. 386. et ρ'. 540. item ad *Iliad.* ι'. 116.

Ver. 314. Ἠδ' ὡς Αἴολον ἵκεθ'.] Ita legitur apud *Eustathium*, et in contextu et in commentario. Atque ita infrà *ver.* 318. 322. 329. 330. &c. *Al.* εἰς Αἴολον et ἐς Αἴολον. Vide et suprà κ'. 1. &c.

Ver. 318. —— Τηλέπυλον Λαιστρυγονίην.] Vide suprà ad κ'. 82.

Ibid. —— ἀφίκανεν.] *Eustathius* in commentario videtur legisse ἀφίκοντο.

Ver. 319. Οἳ νῆας τ' ὄλεσαν.] "Ἐνθα ὅρα τὸ, "οἳ νῆας ὄλεσαν," τουτέστιν οἱ Λαιστρυγόνες, ὡς ἑαυτὸν ὄν, Λαιστρυγονίην, ἐξ Λαιστρυγόνας, εἰπεῖν. *Eustath.* "Aliàs," inquit *Barnesius*, "facilè "legerim οἷ, pro ὄθι, quod ferri posset, ut "Λαιστρυγόνες tamen subaudiatur, vel καί-"ται." Atqui vocula οἷ isto sensu nusquam apud *Homerum* (ut opinor) reperietur.

Digitized by Google

Ἠδ' ὡς Ἀΐδεω δόμον ἤλυθεν εὐρώεντα,
Ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο,
Νηῒ πολυκληΐδι, καὶ εἴσιδε πάντας ἑταίρους,
Μητέρα θ', ἥ μιν ἔτικτε, καὶ ἔτρεφε τυτθὸν ἐόντα· 325
Ἠδ' ὡς Σειρήων ἀδινάων φθόγγον ἄκουσεν·
Ὡς δ' ἵκετο πλαγκτὰς πέτρας, δεινήν τε Χάρυβδιν,
Σκύλλην θ', ἥν οὐ πωποτ' ἀκήριοι ἄνδρες ἄλυξαν·
Ἠδ' ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι·
Ἠδ' ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ 330
Ζεὺς ὑψιβρεμέτης· ἀπὸ δ' ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
Πάντες ὁμῶς, αὐτὸς δὲ κακὰς ὑπὸ κῆρας ἄλυξεν·
Ὡς δ' ἵκετ' Ὠγυγίην νῆσον, Νύμφην τε Καλυψώ,
Ἣ θή μιν κατέρυκε, λιλαιομένη πόσιν εἶναι,
Ἐν σπέσσι γλαφυροῖσι, καὶ ἔτρεφεν, ἠδὲ ἔφασκε 335
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
Ἀλλὰ τῷ οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·

Et quomodo Orci domum adiit squalidam,
Animam consulturus Thebani Tiresiæ,
Navi multis-transtris-instructâ; et aspexit omnes socios,
Matremque, quæ ipsum peperit, et nutrivit parvulus cùm-esset: 325
Et quomodo Sirenum frequentium vocem audiit:
Quomodoque venit ad erraticas petras, horrendamque Charybdin,
Scyllamque, quam nondum unquam illæsi viri effugerunt:
Utque Solis boves interfecerunt socii:
Utque navem velocem percussit ardenti fulmine 330
Jupiter altitonans; perieruntque eximii socii
Omnes paritèr; ipse verò mala fata effugit:
Quomodoque advenit Ogygiam insulam, Nymphamque Calypso,
Quæ demùm ipsum detinebat, cupiens *sibi* maritum esse,
In specubus cavis, et alebat, atque dicebat 335
Redditurum se *eum* immortalem et senectutis-expertem dies omnes;
Sed ei nunquam animum in pectoribus flectebat:

Ver. 322. —— εὐρώεντα.] Ἤτοι πλατὺν, παρὰ τὸ εὖρος· ἢ σκοτεινὸν. *Schol.* Vir autem eruditus *Gataker*us, in annotationibus ad *Antonium*, *lib.* IV. § 6. citato versu isto *Hesiodi*, Ἔργ. καὶ Ἡμερ. 152.

Βῆσαν ἐς εὐρώεντα δόμον κρυηρῆ ἀΐδαο.

"Εὐρώεντα," inquit, "malim vertere, *situ* "*obsitum*" quàm, cum interpretibus, *latum*."

Ver. 326. —— Σειρήνων ἀδινάων.] Ἔνθα φασὶν οἱ Παλαιοὶ, τὸ ἀδινάων, ἀντὶ τοῦ ἡδυφώνων, ὀδικῶν, παρὰ τὸ ἄδειν, ἢ μᾶλλον παρὰ τὸ ἠδύ. *Eustath.* Atqui eo sensu nusquam (ut opinor) apud Poëtam reperietur hæc vox. Vide *Iliad.* β'. 87. 469. γ'. 481.

Ver. 327. —— πλαγκτὰς πέτρας.] Vide suprà ad μ'. 61.

Ver. 328. —— ἐ πώποτ'.] Vide ad *Il.* ξ'. 504.

Ver. 330. —— ψολόεντι κεραυνῷ.] Καυστικῷ· ψόλον γὰρ, τὸ ἄσβολον [Ita ex MS. *Barnesius*, pro vulgato ἄβολον] ποιῶν. *Schol.* Vide infrà ad ω. 538.

Ver. 334. Ἣ θή μιν κατέρυκε.] Hinc *Ovidius*;

Creditur et Nymphæ mortalis amore Calypso
Capta, reluctantem detinuisse virum.
Amor. lib. II. *Eleg.* xvii. 15.

Digitized by Google

Ἠδ' ὡς ἐς Φαίηκας ἀφίκετο, πολλὰ μογήσας,
Οἳ δή μιν περὶ κῆρι, θεὸν ὣς, τιμήσαντο,
Καὶ πέμψαν σὺν νηῒ φίλην ἐς πατρίδα γαῖαν, 340
Χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά τε δόντες·
Τοῦτ' ἄρα δεύτατον εἶπεν ἔπος, ὅτε οἱ γλυκὺς ὕπνος
Λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ.
Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Ὁππότε δή ρ' Ὀδυσῆα ἐέλπετο, ὃν κατὰ θυμὸν, 345
Εὐνῆς ἧς ἀλόχου ταρπήμεναι, ἠδὲ καὶ ὕπνου,
Αὐτίκ' ἀπ' Ὠκεανοῦ χρυσόθρονον Ἠριγένειαν
Ὤρσεν, ἵν' ἀνθρώποισι φόως φέρῃ· ὦρτο δ' Ὀδυσσεὺς
Εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ' ἐπὶ μῦθον ἔτελλεν·
Ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων 350
Ἀμφοτέρω· σὺ μὲν ἐνθάδ' ἐμὸν πολυκηδέα νόστον
Κλαίουσ'· αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
Ἰέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·

Et quomodo ad Phæacas pervenit, multa perpessus,
Qui sanè ipsum ex corde, deum veluti, honoraverunt,
Et dimiserunt cum navi dilectam in patriam terram, 340
Æreque, auroque affatim, vestituque datis:
Hoc sanè ultimum dixit verbum, quandò eum dulcis somnus
Membrorum-relaxator invasit, solvens curas animi.
Diversâ autem ex parte aliud cogitavit dea cæsia-oculis Minerva:
Quandò demùm scilicèt Ulyssem putabat, suo in animo, 345
Concubitu suæ uxoris oblectatum esse, atque etiam somno;
Statim ab Oceano aureo-solio Auroram
Excitavit, ut hominibus lucem ferret: surrexit verò Ulysses
Cubili ex molli; uxori autem verbum mandabat;
" O uxor, jam quidem multis satiati sumus certaminibus 350
" Ambo: tu quidem hîc meum ærumnosum reditum
" Deflens; at me Jupiter doloribus, et dii alii,
" Properantem detinebant meâ à patriâ terrâ:

Ver. 338. —— Φαίηκας ἀφίκετο, πολλὰ μογήσας.]
Finis et erroris miseri Phæacia tellus.
Tibull. lib. IV. *Eleg.* I. *ver.* 78.

Ver. 342. —— ὅτι οἱ γλυκὺς ὕπνος Λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμῷ.] Ita apud *Moschum*;
Ὕπνος ὅτι γλυκίων μίλιτος βλιφάρεσιν ἰφίζων
Λυσιμελὴς πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ. *Idyll.* II. *ver.* 3.
Et apud *Orpheum*, in *Hymno* εἰς Ὕπνον·
Λυσιμέριμνε, κόπων ἠδεῖαν ἔχων ἀνάπαυσιν. *ver.* 5.
Et apud *Virgilium*;
—— placidâ laxârant membra quiete.
Æn. V. 836.
Apud *Ovidium* denique;
Somne quies rerum, placidissime Somne deorum,
Pax animi, quem cura fugit ——.
Metamorph. lib. XI. *ver.* 623.
Vide et suprà ad ύ. 85.

Ver. 347. —— Ἠριγένειαν Ὤρσεν, ἵν' ἀνθρώποισι φόως φέρῃ.]
Aurora intereà miseris mortalibus almam
Extulerat lucem ——. *Æn.* XI. 182.
Vide suprà ad β'. 1. et ad *Il.* ά. 477.

Ver. 348. —— ὦρτο δ' Ὀδυσσεὺς Εὐνῆς ἐκ μαλακῆς.]
Tum verò Æneas ——
Corripit è somno corpus ——.
Æn. VI. 571.

Digitized by Google

Νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνὴν,
Κτήματα μὲν, τά μοι ἐστὶ, κομιζέμεν ἐν μεγάροισι· 355
Μῆλα δ', ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
Πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ' Ἀχαιοὶ
Δώσουσ', εἰσόκε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
Ἀλλ' ἤτοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἔπειμι,
Ὀψόμενος πατέρ' ἐσθλὸν, ὅ μοι πυκινῶς ἀκάχηται· 360
Σοὶ δὲ, γύναι, τάδ' ἐπιτέλλω, πινυτῇ περ ἐούσῃ·
Αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι
Ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
Εἰς ὑπερῷ' ἀναβᾶσα, σὺν ἀμφιπόλοισι γυναιξὶν,
Ἥσθαι, μηδέ τινα προτιόσσεο, μηδ' ἐρέεινε. 365
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἐδύσατο τεύχεα καλά·
Ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
Πάντας δ' ἔντε' ἄνωγεν ἀρήϊα χερσὶν ἑλέσθαι.

" Nunc verò postquam ambo ad desiderabile venimus cubile,
" Possessiones quidem, quæ mihi sunt, curato in ædibus; 355
" Pecora autem, quæ mihi proci superbi consumpserunt,
" Multa quidem ipse ego prædabor, alia autem Achivi
" Dabunt, donec omnia impleverint stabula.
" Sed sanè ego quidem ad arboribus-abundantem agrum proficiscor,
" Visurus patrem eximium, qui mihi multùm dolet: 360
" Tibi autem, uxor, hæc mando, prudens licèt sis;
" Statim enim fama ibit simul cum sole orto
" Virorum procorum, quos interfeci in ædibus;
" In cœnaculum ubi-ascenderis, cum famulis mulieribus,
" Sede, neque quenquam respice, neque interroga." 365
Dixit utique, et circum humeros induit-sibi arma pulchra:
Incitavit autem Telemachum et bubulcum et subulcum,
Omnesque arma jussit martia manibus sibi-sumere.

Ver. 354. —— ἀμφοτέρω.] Apud *Eustathium* in commentario, ἀμφότερον.

Ibid. —— πολυήρατον.] Vide suprà ad λ'. 274. et ad *Il.* σ'. 512.

Ver. 355. Κτήματα μὲν, τὰ μοι ἐστὶ, κομιζέμεν ἐν μεγάροισι.] " Vel," inquit *Henricus Stephanus*, " κομιζέμεν ἐν μεγάροισι· vel, τὰ " μοι ἐστὶν ἐν μεγάροισι· quod malo." Multò tamen simplicior videtur et facilior prior constructio.

Ver. 357. Πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι.] Vide suprà ad γ'. 73.

Ibid. —— ληΐσσομαι.] Ita rectè *Barnesius*, pro vulgato ληΐσομαι. Vide suprà ad ά. 398.

Ver. 358. —— ἐνιπλήσωσιν ἐπαύλους.] Ἤτοι ταλμὺς, αὐλὰς, ἐπαύλεις. Γράφεται δὲ, φασὶ, καὶ μεσαύλους. *Eustath.*

Ver. 361. Σοὶ δὲ, γύναι, τάδ' ἐπιτέλλω.] Ita Vulgati. Quæ si vera sit lectio, vox ἐπιτέλλω (utpote ex duabus composita), *secundam* producet eâdem ratione ac παρατὸν, διήνεκές, ἐπιλίγδην et similia. Vide ad *Il.* ζ'. 62. ή. 121. π'. 174. et ρ'. 599. *Barnesius* autem ex duabus Editionibus edidit, legendumque omninò contendit ἐπιτέλλω quam quidem vocem pro ἐπιτέλλω usurpatam reperiri notat *Eustathius* ad *Iliad.* λ'. 47. Ipse autem hoc in loco citat, τάδ' ἐπιτέλλω.

Ver. 362. Αὐτίκα γὰρ φάτις εἶσιν.] Ἔνθα ὁ " γὰρ" σύνδεσμος κεῖται συνήθως ἐν ἀρχῇ, ἀντὶ τοῦ ἐπειδὴ, ἢ διὸ ἀποδιδόμενος ἐς τὸ [*ver.* 364.] " Εἰς ὑπερῷ' ἀναβᾶσα." *Eustath.*

Ver. 365. Ἥσθαι, μηδὲ τινα προτιόσσεο, μηδ' ἐρέεινε.] Ἵνα μηδὲν τῶν πεπραγμένων ἐδέναι δοκοῦσα, μὴ δ' ἀδικηθείη ὑπό τινων. Καὶ τοῦτο μὲν ὕπως εὐοικονομήσεως ἀναπιφώνησαι. *Eustath.*

Ver. 366. —— καλὰ·] Vide ad *Il.* β'. 43.

Digitized by Google

Οἱ δέ οἱ οὐκ ἀπέθησαν· ἐθωρήσσοντο δὲ χαλκῷ·
Ὤϊξαν δὲ θύρας, ἐκ δ' ἦϊον· ἦρχε δ' Ὀδυσσεύς. 370
Ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα· τοὺς δ' ἄρ' Ἀθήνη
Νυκτὶ καταιρύψασα θοῶς ἐξῆγε πόληος.

Hi verò ei non inobsequentes fuerunt; armabant autem se ære:
Aperuerunt verò fores, exibantque; præibat autem Ulysses. 370
Jamjam quidem lux erat super terram: illos autem Minerva
Caligine coöpertos citò eduxit ex urbe.

Ver. 370. —— ἐκ δ' ἦϊον ἦρχε δ' Ὀδυσσεύς.] *Al.* ἐξῆρχε δὲ δῖος Ὀδυσσεύς.

Ver. 371. —— τοὺς δ' ἄρ' Ἀθήνη Νυκτὶ καταιρύψασα.]

At Venus obscuro gradientes aëre sepsit,
Et multo nebulæ circùm Dea fudit amictu;
Cernere ne quis eos, neu quis contingere posset. *Æn.* I. 411.

Ver. 372. —— ἐξῆγε πόληος.] *Al.* ἐξ ἦγε πόληος.

Digitized by Google

ΤΗΣ

ΤΟΥ ΌΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ω'.

Ὑπόθεσις τῆς ῥαψῳδίας Ω.

ΤΑ'Σ τῶν μνηστήρων ψυχὰς Ἑρμῆς ἐς ᾅδου καταγει· καὶ ἀναγνωρισμὸς Ὀδυσσέως γίνεται πρὸς τὸν ἑαυτοῦ πατέρα Λαέρτην· καὶ παραχὴν τοῖς Ἰθακησίοις γιγνομένην ἐπὶ τῇ τῶν μνηστήρων ἀναιρέσει Ἀθηνᾶ διαλύει.

Ἐπιγραφαί.

Σπονδαὶ· ἢ, Νεκυία.

Ἄλλως,

Ὦ, ὃ Ὀδυσεὺς σὺν πατρὶ καὶ υἱεῖ μάρνατ' Ἀχαιοῖς *.

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
Ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶν.

LIB. XXIV.

MErcurius autem animas Cyllenius evocabat
Virorum procorum; habebat verò virgam in manibus

Ver. 1. Ἑρμῆς δὲ ψυχὰς.] Fuerunt qui totum sequentem locum, ubi Poëta Procorum Animas ad inferos deductas narrat, defunctorumque ibidem colloquia refert, suppositum suspicati sint. Ac videntur quidem nonnulla hîc *Homerum* minùs sapere. *Scholiastes* et *Eustathius* multas Veterum contra hunc locum objectiones afferunt; quarum hæ sunt præcipuæ: Primò, quòd nusquam alibi apud Poëtam Animarum defunctarum deductor dicatur *Mercurius*, neque *Cyllenius* appelletur; deiudè, quòd non sponte hîc et sine deductore, (ut in *Iliade*,) ad inferos descendant Animæ; dein quòd insepulti Orcum intrent; dein quòd Musarum numeri alibi non meminerit *Homerus;* cum pluribus aliis objectionibus minoris momenti. Iidem tamen Veteres, notante *Eustathio*, Προσίεν]αι δὲ τὴν νεκυίαν ταύτην, ἀποδιεχόμενοι αὐτῆς, καὶ ὅτι τὰ κα]ὰ τὸν Θάνα]ον τῷ Ἀχιλλέως διέξεισι, τὸν ἐν Ἰλιάδι συσταθμόνον δὲ ὅτι ἐπαναλαμβάνει ὅσοι τῆς ποιήσεως ταύτης ἐπιβάθη ὁ Ποιητὴς ἀναπιφαλαιούσασθαι, τὰ κατὰ τὴν Πηνελόπην ἠλιθδὴ, ὡς ἐρρέθη, δὲ τὴν τοῦ Ὀδυσέως λαθραίαν ἐπάνοδον. Et *Scholiastes*; Καὶ ἄλλως δὲ, (inquit,) ἐκ τῆς κατὰ τὴν στιχοποιΐαν δεινότητος, τὸ Ποίημα τὸν Ὅμηρον ὁμολογεῖ. Cæterùm totum hunc librum, cum præcedentis parte aliquâ, ab *Aristarcho* ex *Aristophane Grammatico* repudiatum testatur *Scholiastes* ad ψ'. 269. suprà; uti ibi notatum est.

Ibid. —— ψυχὰς —— ἐξεκαλεῖτο.] Τὸν μὲν γὰρ ψυχοπομπὸν Ἑρμῆν, κατὰ τὸ παλαιὸν νομιμὸν παρ' Αἰγυπτίοις ἀναγαγόντα τῷ Ἅιδος τὸ σῶμα μέχρι τινὸς, παραδιδόναι τῷ περιποιμένῳ τὴν τοῦ Κερβέρου πρόσταμνν. Τοῦ δὲ Ὀρφέως τοῦτο παταδείξαντος παρὰ τοῖς Ἕλλησι, τὸν Ὅμηρον ἀπολύθως τούτῳ θῶνδι κατὰ τὴν ποίησιν,

* [Ita ex Edit. *Oxon. Barnesius*, pro vulgato μάχετ' Ἀχαιοῖς.]

Digitized by Google

Καλὴν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
Τῇ ῥ' ἄγε κινήσας· ταὶ δὲ τρίζουσαι ἕποντο. 5
Ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
Τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν

Pulchram, auream; quâ scilicèt hominum oculos mulcet,
Quorum vult; contrà verò et dormientes suscitat:
Hâc utique ducebat commotas; illæ verò stridentes sequebantur. 5
Sicut autem quandò vespertiliones in secessu antri divini
Stridentes volant, postquam aliquis exciderit

" Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
" Ἀνδρῶν ἡρώων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶν."
Diodorus Siculus, Bibliothec. Hist. lib. I. *haud longè à fine.* Vide et *Phurnutum, de naturâ Deorum, cap.* 16.

Tu pias lætis animas reponis
Sedibus, virgâque levem coërces
Aureâ turbam ————.
Horat. Carm. lib. I. *Od.* x. 17.

Ibid. —— Κυλλήνιος.] Ὁ ἐν Κυλλήνῃ ὄρει τῆς Ἀρκαδίας ἀνατραφεὶς. *Schol.* Κυλλήνιος δὲ Ἑρμῆς μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας· —— πειρᾶσθαι δὲ, διαφεύγειν ἐν τοῖς περὶ τὸ τοιοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν, κἀκεῖθεν σχεῖν τὸ λέχθὲν ἐπίθετον. *Eustath.* Ita in Hymno isto *Mercurii*, qui *Homeri* vulgò ascribitur, *ver.* 1. 2.

Ἑρμῆν ὑμνεῖ, Μῦσα, ————.
Κυλλήνης μειδιόεντα καὶ Ἀρκαδίης πολυμήλου.

Et apud *Callimachum*;

Οὐ πάγος Ἑρμέω Κυλλήνιος ————.
Hymn. in Delum, ver. 272.

Ibid. —— ἐξεκαλεῖτο.] *Al.* ἐξεκάλεσσεν.

Ver. 2. Ἀνδρῶν μνηστήρων.] *Diodorus Siculus*, loco suprà citato, legit, Ἀνδρῶν ἡρώων.

Ibid. —— ἔχε δὲ ῥάβδον &c.]

Tum virgam capit: hâc animas ille evocat Orco
Pallentes, alias sub tristia Tartara mittit:
Dat somnos adimitque, et lumina morte resignat. *Æn.* IV. 242.

Vide et suprà ad *ver.* 1.

Ver. 4. —— ἰθίλαι.] MS. à *Tho. Bentleio* collatus, ἰθίλη. Cæterùm post hunc versum in eodem MS. sequitur;

Τὴν μετὰ χερσὶν ἔχων, πίπτετο κρανὸς Ἀργειφόντης.

Ex i. 49. suprà.

Ver. 5. —— ταὶ δὲ τρίζουσαι ἕποντο. Ὡς δ' ὅτε νυκτερίδες.] Similiter *ver.* 7. " Τρίζουσαι ποτέονται." et *ver.* 9. " Ὡς αἱ πτερυγνῖαι." Ἰσέον δὲ, ὅτι τὰ μυθικῶς ταῖς ψυχαῖς ἐπιλέχθη τρισμὸς, οἷα λόγῳ μὲν ἐνάδειν ἐπεμαίνεις, ἄλλως δὲ θορυβόεσις. *Eustath.* Ita *Ovidius*, de *Vespertilionibus*:

Conatæque loqui, minimam pro corpore vocem
Emittunt; peraguntque leves stidore querelas. *Metam. lib.* IV. *v.* 412.

Porrò ex hoc *Homeri* loco, et ex λ'. 43. suprà, *Virgilium* Umbras infernas " *Turbam* " *sonantem*" [*Æn.* VI. 753.] appellâsse existimat *Turnebus*, *Adversar. lib.* XXVIII. *cap.* 46. *sub fine.* Uti et notavit *Barnesius.*

Ver. 6. Ὡς δ' ὅτι νυκτερίδες.] " Rectè," inquit *Barnesius*, " *Manium* umbras *Vesper-* " *tilionibus* confert; quòd non nisi Noctu " appareant, quòd minimè dormiant, quòd " *Stridorem* edant, quòd nec *Animalia* nec " *Inanimata* sint." Earundemque explicationum meminit et *Eustathius.* Atqui videtur Poëta Animarum Stridorem solummodò depingere voluisse.

Ibid. —— ἄντρῳ θεσπεσίοιο.] Θεσπέσιον δ' ἄντρον, οὐχ ἁπλῶς ὅτω παρείρηται, ἀλλ' ὅτι θεῖα τὰ ἄντρα ἐνομίζοντο, οἷα σύμβολα κόσμου, κατὰ Πορφύριον, ὡς καὶ ἐν τοῖς περὶ τῆ Ἰθακησίᾳ ἄντρῳ εἴρηται, ὃ καὶ ἑπόμενον εἰρήθη ἐκεῖ. suprà ν'. 103.] *Eustath.* Vide *Porphyrium*, περὶ Νυμφῶν ἄντρου. Poëtam tamen quicquam hujusmodi in animo habuisse vix crediderim.

Ver. 7. et suprà *ver.* 5. Τρίζουσαι.] Vide suprà ad *l.* 394. et ad ὄ'. 455.

Ibid. —— ἐπὰν κε τις ἀποπέσῃσιν.] *Barnesius* vocem ἀποπέσῃσιν hoc in loco vertit, " *decusserit*;" et in annotationibus; " Ἀποπέσῃ," inquit, " τῇ, ἀποπτισθῇ ποιῇ· et *decusserit* ver- " to: Non enim de unâ *Vespertilione* deci- " dente res est, sed de Viatore, qui simul " hærentes plurimas videns decusserit, ut " simul plures decidentes strideant." Et *Stephanus* aliique vocem ἀποπέσῃσιν hoc in loco vertunt, " *cadere fecit*," Sed errant Viri eruditi. Neque enim unquam (uti observat *Duportus*, in *Prælect.* ad *Theophrasti Charact. cap.* 6.) hanc significationem fert vox πίπτω, aut ἔπεσον: neque quicquam obstat, quominùs hoc de uno Vespertilione dictum intelligatur, quem fortè delapsum reliqui omnes stridentes sequantur. Cæterùm vox ἀποπέσῃσιν primam producit eâdem ratione ac ἀποπέσονται, ἀθάμβεος, et similia. Vide ad *Il. α.* 398.

Digitized by Google

Ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλησιν ἔχονται·
Ὣς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν· ἦρχε δ' ἄρα σφιν
Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα. 10
Πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ροὰς καὶ Λευκάδα πέτρην,
Ἠδὲ παρ' Ἠελίοιο πύλας, καὶ δῆμον Ὀνείρων,
Ἤϊσαν· αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα,

Serie ex petrâ; sibi autem invicem adhærescunt:
Sic illæ stridentes unà ibant: præibat verò ipsis
Mercurius alienus-à-malo, per squalidas vias.
Præteribant autem Oceanique fluctus et Leucada petram;
Et Solis portas, et populum Somniorum,
Præteribant: statimque pervenerunt in herbosum pratum,

Ver. 8. Ὁρμαθῦ ἐκ πέτρης.] Τόπῳ ἐπαλλήλῳ πετρώδεσι συνθέσει· —— ἢ τῷ τῶν νυκτερίδων ἀθροίσματος. *Hesych.* ad voces Ὁρμαθῦ ἐκ πέτρης. Ὁρμαθὸς, σύνδεσμος, στίχος. *Suidas*, à *Barnesio* citatus. Porrò Vespertilionum hoc modo serie catenatâ pendentium, itemque stridorem maximum edentium, meminit (notante *Barnesio*) *Gemell. Careri*, in Descriptione Insularum *Philippicarum*, *lib.* I. *cap.* 4.

Ver. 9. Ὣς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν.] Vituperat hunc locum *Plato*: Δεῖ δὴ (ὡς ἔοικεν) ἡμᾶς ἐπιστατεῖν καὶ περὶ τέτων μύθων τοῖς ἐπιχειρεῦσι λέγειν καὶ δεῖσθαι μὴ λοιδορεῖν ἁπλῶς ὅτε τὰ ἐν ᾅδε, ἀλλὰ μᾶλλον ἐπαινεῖν· ὡς ὅτ' ἀληθῆ λέγοντας, ὅτ' ὠφέλιμα τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι ——. Ἐξαλείψομεν ἄρα —— πάντα τὰ τοιαῦτα ——· "Ὡς δ' ὅτι νυκτερίδες —— "Ὡς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν." *De Republ. lib.* III.

Ibid. —— τετριγυῖαι.] Vide ad *Il.* β'. 314.

Ver. 10. Ἑρμείας ἀκάκητα.] Κοινῇ μὲν γὰρ ἅπαντας [Θεὸς] Δωτῆρας ἐάων ὀνομάζουσιν [οἱ Ποιηταί·] ἰδίᾳ δὲ ἔστω μόνον τοῦτο, καὶ Ἀκάκητα γε, καὶ Ἐριούνιον· ὅτι κακὸν μὲν οὐδὲν ἡ παρ' αὐτοῦ δωρεὰ· ἀγαθὰ δ' ἐξῆς ἅπαντα πορίζει τοῖς ἀνθρώποις, ἐν πολέμοις, ἐν εἰρήνῃ, ἐν γῇ, ἐν θαλάσσῃ, ἐν δυσκολίαις, ἐν εὐφροσύναις, πανταχῦ. *Aristid Orat.* 3. à *Barnesio* citatus. Ἔνιοι, ἀπὸ Ἀκακησίου ὄρους ἐν Ἀρκαδίᾳ· δοκεῖ γὰρ ὁ Διὸς Ἀρκὰς εἶναι. *Schol.* Vide *Pausan. Arcadic. lib.* VIII. *cap.* 3. 36. item suprà ad 9'. 322.

Ibid. —— κατ' εὐρώεντα κέλευθα.] Vide suprà ad ψ'. 322.

Ver. 11. Πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ροὰς &c.] *Diodorus Siculus* hunc locum ita exponit: Ὠκεανὸν μὲν ὃν καλεῖ [Ὅμηρος] τὸν ποταμὸν, διὰ τὸ τὰς Αἰγυπτίους κατὰ τὴν ἰδίαν διέλκειν, Ὠκεανὸν λέγειν τὸν Νεῖλον. Ἡλίου δὲ πύλας, τὴν πόλιν τῶν Ἡλιοπολιτῶν. Λειμῶνα δὲ νομίζειν καὶ τὴν μυθολογουμένην οἴκησιν τῶν μείληλαχότων, τὸν παρὰ τὴν λίμνην τόπον τὴν καλουμένην μὲν Ἀχερουσίαν, πλησίον δὲ ὄντων τῆς Μέμφιος, ὄντων περὶ αὐτὴν λειμώνων καλλίστων, ἰλῶν καὶ λωτῦ καὶ παλάμης. Ἀπολέσθαι δ' ἀεῖσθαι καὶ τὸ κατοικεῖν τοὺς τελευτήσαντας ἐν τόποις τοῖς τόποις, διὰ τὸ τὰς τῶν Αἰγυπτίων ταφὰς τοὺς πλέοντας καὶ μαγίσας ἐνταῦθα γίνεσθαι, διαφορουμένων μὲν τῶν νεκρῶν διά τε τῦ ποταμῦ καὶ τῆς Ἀχερουσίας λίμνης, τιθεμένων δὲ τῶν σωμάτων εἰς τὰς ἐνταῦθα κειμένας θήκας· Συμφωνεῖν δὲ καὶ τ' ἄλλα τὰ παρὰ τοῖς Ἕλλησι περὶ ᾅδου μυθολογούμενα τοῖς ἔτι νῦν γινομένοις κατ' Αἴγυπτον. *Bibliothec. Hist. lib.* I. *haud longè à fine.*

Ibid. —— Ὠκεανοῦ τε ροὰς.] *Al.* Ὠκεανοῖο ροὰς.

Ibid —— καὶ Λευκάδα πέτρην.] Πρὸς τοῦς καταχθονίοις μέρεσι. *Schol. Eustathius* duas affert accipiendi rationes: Ἴσως δὲ, inquit, ὅτι Λευκάδα μὲν πέτραν ὁ μῦθος πρὸς τῷ ᾅδῃ πλάττει, ἢ κατὰ ἀντιφρασιν, μίλας γὰρ ἐκεῖ σκόπος· ἢ καὶ διὰ τοὺς ἰσχάτους τῆς ἐκεῖ γῆς τόπους, ὃς ἀκὺς τὸν ἥλιον ἔτι διαλευκαίνειν δυόμενον. Quarum explicationum prior planè inepta.

Ver. 12. Ἠδὲ παρ' Ἠελίοιο πύλας.] Τοὺς κύκλους, δι' ὧν τὰς πορείας ποιεῖ ὁ Ἥλιος οἱ δὲ, ἀλληγορικῶς τοὺς Ὀφθαλμοὺς. *Hesychius*, à *Barnesio* citatus. Ita *Diogenes Laërtius*, *lib.* VIII. in *Pythagorâ*; Ἐγὼ, (inquit,) ἐν οἷς Ἡλίου πύλας καλεῖ τοὺς Ὀφθαλμοὺς. *Eustathius* aliter: Πύλας δὲ ἡλίου λέγει τὰς οἷον συγκλείσας ἐκεῖνον κρύψεις, γενόμενον πρὸς δυσμαῖς· ἃς δὲ πύλας εἰσδυόμενος, ὡς ὑπὸ κευθμῶνας τινὰς, γίνεται ἀφανὴς. Quod et verisimilius videtur. Vide autem et suprà ad *ver.* 11.

Ibid. —— καὶ δῆμον Ὀνείρων.] Ita *Orpheus* in *Argonauticis*:

Ἀῤῥήκτοί τ' Ἀΐδαο πύλαι, καὶ δῆμος Ὀνείρων. *ver.* 1140.

Porrò *Scholiastes* δῆμον Ὀνείρων exponit; Τὰ νύκτα, ἐν ᾗ φαίνονται οἱ ὄνειροι. Vide et *Lucianum*, *Ver. Histor. lib.* II.

Ver. 13. —— κατ' ἀσφοδελὸν λειμῶνα.] Ἄκαρπον φυτὸν, ὁ ἀσφόδελος. Νῦν τὸν τόπον λέγει τὸν ἀσφοδελώδη. *Schol.* Προσαρεξῶ δὲ ἀπαγωγεῖν· "Οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ

Digitized by Google

Ἔνθα τε ναίουσι ψυχαὶ, εἴδωλα καμόντων.
Εὗρον δὲ ψυχὴν Πηληϊάδεω Ἀχιλῆος,
Καὶ Πατροκλῆος, καὶ ἀμύμονος Ἀντιλόχοιο,
Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
Ὣς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ
Ἦλυθ' ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
Ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσαι ἅμ' αὐτῷ
Οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
Τὸν πρότερη ψυχὴ προσεφώνεε Πηλείωνος·
Ἀτρείδη, περὶ μέν σε φάμεν Διὶ τερπικεραύνῳ
Ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα·
Οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες,
Δήμῳ ἐνὶ Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.

Ubi scilicèt habitant animæ, simulachra defunctorum.
Invenerunt autem animam Pelidæ Achillis,
Et Patrocli, et eximii Antilochi,
Ajacisque, qui præstantissimus erat specieque corporeque
Cæterorum Danaorum, post eximium Pelidem.
Sic hi quidem circa illum versabantur: propè verò
Advenit anima Agamemnonis Atridæ
Dolens; circùm autem aliæ congregatæ erant, quotquot unà-cum ipso
Domo in Ægisthi mortui sunt, et fatum oppetierunt.
Hunc prior anima alloquebatur Pelidæ;
" Atride, supra quidem te putabamus Jovi gaudenti-fulmine
" Viros heroas charum esse diebus omnibus;
" Quoniam multisque et fortibus imperabas;
Digitized by Google

Οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,
Οὔτι μάλ' ἀρτίφρων· ἐπεὶ οὐ τόλμησεν ἕκαστα 260
Εἰπεῖν, ἠδ' ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
Ἀμφὶ ξείνῳ ἐμῷ, εἴ που ζώει τε καὶ ἐστὶ,
Ἢ ἤδη τέθνηκε, καὶ εἰν ἀΐδαο δόμοισιν.
Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον,
Ἄνδρα πότ' ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ, 265
Ἡμέτερονδ' ἐλθόντα· καὶ οὔπω τις βροτὸς ἄλλος
Ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα.
Εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Λαέρτην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτοῦ.
Τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα, 270
Ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
Καὶ οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐώικει·
Χρυσοῦ μὲν οἱ δῶκ' εὐεργέος ἑπτὰ τάλαντα,
Δῶκα δέ οἱ κρητῆρα πανάργυρον ἀνθεμόεντα,
Δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας, 275

" Ille vir, jam nunc obviàm-factus huc venienti,
" Nequaquam valdè sapiens; quoniam non sustinuit singula 260
" Dicere, et audire meum verbum, ut interrogabam
" De hospite meo, an alicubi vivatque et existat,
" An jam mortuus sit, et in orci ædibus.
" Edicam enim tibi, tu verò attende, et me audi;
" Virum quondam hospitio-excepi charâ in patriâ terrâ, 265
" Ad nostram *domum* ubi-venerat; et nondum quisquam mortalis alius
" Hospitum longinquorum charior meam advenit domum.
" Profitebatur autem se ex Ithacâ genere esse; at dicebat
" Laërtem Arcesiadem patrem esse ipsius.
" Hunc quidem ego ad domum ducens benè hospitio-excepi, 270
" Peramantèr tractans, multa in domo *mihi* cùm-essent;
" Et ei dona præbui hospitalia, qualia decebat:
" Auri quidem ei dedi benè-elaborati septem talenta,
" Dedi verò ei craterem totum-argenteum floribus-cælatum,
" Duodecimque simplices lænas, totque tapetes, 275

Ver. 266. —— ἤπου τις βροτὸς.] *Al.* ὁ τοῖος βροτὸς.

Ver. 267. Ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα.] Φιλίων, τουτέστι φίλτερος, ἐμὸν ἵκετο δῶμα. Ἐκ τοῦ "φίλος" δὲ, ὁ φιλίων γίνεται ἀπ' αὐτοῦ δι, ὡς καὶ προειδηλώθη, ὁ φίλιος τῶν, ὃ χρῆσις καὶ παρὰ Σοφοκλεῖ. *Eustath.* Vide suprà ad σ'. 351. Quod cùm non intellexerit *Spondanus*, sententiam hoc in loco planè pessundat, istud φιλίων vertendo "amicorum:" ac si esset videlicèt ex φίλιος. Et in annotationibus; "Docet," inquit, "his verbis, se remotam quandam regionem "incoluisse, utpote ad quam peregrini homines minimè accederent." Eandemque interpretationem sequuntur Versiones pleræque. Sed et *Barnesius*, qui ad *Odyss.* σ'. 351. ubi idem versus occurrit, sententiam et in Versione et in Annotationibus rectè exposuit; ipse tamen hoc in loco vocem φιλίων "amicorum" mirè vertit.

Ver. 269. —— αὐτῷ.] *Al.* αὐτοῦ.

Ver. 271. —— φιλέων.] Vide ad *Iliad.* υ. 304.

Ver. 273. Χρυσοῦ μὲν οἱ.] *Barnesius* inter varias lectiones, Χρυσοῦ μὴν οἱ.

Digitized by Google

Τόσσα δὲ φάρεα καλὰ, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας
Χωρὶς δ' αὖτε γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι.
Τὸν δ' ἠμείβετ' ἔπειτα πατὴρ κατὰ δάκρυον εἰδώς·
Ξεῖν', ἤτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις· 280
Ὑβρισταὶ δ' αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσι·
Δῶρα δ' ἐτώσια ταῦτα χαρίζεο, μυρί' ὀπάζων.
Εἰ γάρ μιν ζωόν γ' ἐπίχεις Ἰθάκῃς ἐνὶ δήμῳ,
Τῷ κέν σ' εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε,
Καὶ ξενίῃ ἀγαθῇ· ἣ γὰρ θέμις, ὅστις ὑπάρξῃ. 285
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Πόστον δὴ ἔτος ἐστὶν, ὅτε ξείνισσας ἐκεῖνον,
Σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ', εἴ ποτ' ἔην γε,
Δύσμορον; ὅν που, τῆλε φίλων καὶ πατρίδος αἴης,
Ἤ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου 290
Θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ· οὐδέ ἑ μήτηρ

" Totidemque pallia pulchra, totidemque ad hæc tunicas:
" Separatim verò insuper mulieres eximias, operum scientes,
" Quatuor speciosas, quas voluit ipse eligere."
Illi autem respondit deindè pater lachrymas stillans;
" Hospes, profectò quidem ad terram pervenisti, de-quâ interrogas: 280
" Injurii autem ipsam et improbi viri habent.
" Dona verò irrita hæc largiebaris, multa præbens:
" Si enim ipsum vivum utique invenisses Ithacæ in populo,
" Eò te benè donis remuneratus dimisisset,
" Et hospitio bono; hoc enim jus est, quicunque cœperit. 285
" Sed age mihi hoc dic, et accuratè narra,
" Quotus jam annus est, quandò hospitio-excepisti illum,
" Tuum hospitem infelicem, meum filium, (si quidem unquam fuit),
" Infortunatum? quem alicubi, procul ab amicis et patriâ terrâ,
" Vel in ponto comederunt pisces, vel in terrâ 290
" Feris et avibus captura factus est; neque ipsum mater

Ver. 278. —— ἀδαλίμας.] Εἰδεῖαι, ἐπιμέλειαι. *Etymolog. Magn.* ad vocem Εἰδαλίμων. Ubi et hic *Homeri* locus adducitur.

Ver. 283. Εἰ γὰρ μιν.] Referatur istud γὰρ non ad aliquid jam antè dictum, sed ad id quod de egregiâ Ulyssis benevolentiâ et hospitalitate elegantius reticetur. Vide ad *Il.* ι. 28.

Ver. 285. —— ἣ γὰρ θέμις, ὅστις ὑπάρξῃ.] Vocem ὑπάρξῃ (quæ apud *Homerum* hoc tantùm in loco occurrit,) *Scholiastes* exponit, προσπαρέξῃ. Similitèrque *Eustathius*: ὑπόθεσιν, inquit, ἀντὶ τοῦ ὑπάρξαντος.

Ἐκόντι τοίνυν πρίσαι
Νόμῳ τὸν εὐεργέταν
Ὑπαντιάσει. —— *Pindar. Pyth. Od.* V. 37.

Χάρις χάριν γὰρ ἐστὶν ἡ τίκτουσ' ἀεὶ.
Sophocl. Ajax, ver. 522.

Cæterùm *Eustathius* legit ὑπάρξει.

Ver. 288. —— εἴ περ ἔην γε.] Vide ad *Il.* γ. 180.

Ver. 289. Δύσμορον, ὅν που, τῆλε φίλων καὶ πατρίδος αἴης.]

Heu! terrâ ignotâ, canibus datus præda Latinis,
Alitibusque jaces: nec te tua funera mater
Produxi, pressive oculos. —— *Æneid.* IX. 485.

Ver. 290. Ἤ που ἐν πόντῳ φάγον ἰχθύες.]

—— ant gurgite mersum
Unda ferens, pissesque ultiplicatus lambent. *Ibid.*

Ibid. —— ἐπὶ χέρσου.] *Al.* ἐπὶ χέρσῳ.

Digitized by Google

Κλαῦσε περιστείλασα, πατήρ δ', οἵ μιν τεκόμεσθα·
Οὐδ' ἄλοχος πολύδωρος ἐχέφρων Πηνελόπεια
Κώκυσ' ἐν λεχέεσσι φίλου πόσιος, ὡς ἐπέοικεν,
Ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ, γέρας ἐστὶ θανόντων. 295
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες;
Ποῦ δὲ νηῦς ἕστηκε θοὴ, ἥ σ' ἤγαγε δεῦρο,
Ἀντιθέους δ' ἑτάρους; ἢ ἔμπορος εἰλήλουθας
Νηὸς ἐπ' ἀλλοτρίης, οἱ δ' ἐκβήσαντες ἔβησαν; 300
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω.
Εἰμὶ γὰρ ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,
Υἱὸς Ἀφείδαντος, Πολυπημονίδαο ἄνακτος·
Αὐτὰρ ἐμοί γ' ὄνομ' ἐστὶν Ἐπήριτος· ἀλλά με δαίμων 305
Πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν, οὐκ ἐθέλοντα·

" Flevit coöpertum, paterque, qui ipsum genuimus;
" Neque uxor multum-dotata prudens Penelope
" Ploravit in lectis charum maritum, sicut dicet,
" Oculos *illius* ubi-presserat: hic enim honos est mortuorum. 295
" Et mihi hoc dic verè, ut benè sciam,
" Quis? undè es hominum? ubinam tibi urbs et parentes?
" Ubinam autem navis stat velox, quæ te vexit huc,
" Deo-paresque socios? an vector venisti
" Navi in alienâ; illi autem te-exposito discesserunt?" 300
Illum autem respondens allocutus est solers Ulysses;
" Enimverò ego tibi hæc valdè accuratè narrabo:
" Sum enim ex Alybante, ubi inclytas ædes habito,
" Filius Aphidantis Polypemonidæ regis:
" At mihi sanè nomen est Eperitus; sed me deus 305
" Errare-fecit à Sicaniâ, huc ut-venirem nolens:

Ver. 292. —— περιστείλασα.] Περιπαλάψασα. *Schol.*

Ver. 293. —— ἄλοχος πολύδωρος.] Ἡ πολλοῖς δώροις γαμηθεῖσα. *Schol.* Vide suprà ad ι'. 378.

Ver. 294. —— ἐνίσσειν.] *Eustathius* in commentario citat ἐνιψῆναι. Quæ fortè potior lectio. Vide ad *Il. ά.* 37.

Ver. 298. Πῦ δὲ νῆς ἕστηκε.] Ita Vulgati. Illa utrâque autem *Eustathii* editione scriptum est, Πῦ δὲ νῆς ἔστηκε quam lectionem et præferit *Stephanus Berglerus*, in Præfatione ad *Iliados* Editionem *Wetstenianam*, *pag.* 8, plurasque ex *Aristophane* loca adducit, ubi vocula ἐστὶ occurrit. Apud *Homerum* tamen, (uti fatetur vir ipse eruditus,) in vulgatis exemplaribus, nusquam reperitur hæc vocula. *Barnesius* ex conjecturâ edidit, Πῦ δὲ νῆς ἔστηκε. At verisimilior altera ejusdem conjectura, Πῦ δὲ ἡ νῆς ἔστηκε. Quæ lectio fortasse videtur *ver.* 307. infrà; ubi ex *ά.* 185. restituit ipse *Barnesius*, Νῆς δὲ μοι ἥδ' ἔστηκεν ἐπ' ἀγκῦ ——. Sed et vulgata lectio hæc in loco quâ ratione ferri possit, vide ad *Il. ά.* 51.

Ver. 299. —— ἢ ἔμπορος ἀλλήλους.] Ἐντεῦθεν Ἔμπορος κεῖται ὁ ἀλλοτρίας νηὸς ἐπιβάτης. *Eustath.* Vide suprà ad *β'.* 319.

Ver. 303. Εἰμὶ γὰρ ἐξ Ἀλύβαντος.] Ἀλύβας, πόλις Ἰταλίας τὸ Μυκηνάϊον, ἢ μᾶλλον Μυκήνιον· ἤνικα ἐν τῷ πανελλήνῳ [*Iliad.* β'. 857.] Ἀλύβην ἔφη. *Schol.* Ἔνιοι δὲ, πόλιν Θεσσαλίας ταύτην εἶναι. *Eustath.* Quæ autem hic affert *Barnesius*, " Ἀλύβας ab ἀλῇ *Pe-* " *regrinationem*; Ἀφείδας, *Magnificentiam Lib-* " *ertæ* notare; Πολυπημονίδης, ejusdem *Af-* " *flictiones*:" hæc verò meræ sunt ineptiæ. Quanquam eadem ferè annotat et *Eustathius*.

Ver. 306. —— Σικανίης.] Σικελίας· ὤκουν γὰρ αὐτὴν Ἴδηρες, ἰλθόντες ἀπὸ Σικανοῦ ποταμοῦ. *Schol.*

Digitized by Google

Νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγρῷ, πόσφι πόληος.
Αὐτὰρ Ὀδυσσῆϊ τόδε δὴ πέμπτον ἔπος ἐστίν,
Ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
Δύσμορος· ἦ τε οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι 310
Δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἐσάπερκτον ἐκεῖνον,
Χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ' ἔτι νῶϊν ἐώλπει.
Μίξεσθαι ξενίῃ, ἠδ' ἀγλαὰ δῶρα διδώσειν.
Ὡς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν 315
Χεύατο κακκεφαλῆς πολιῆς, ἀδινὸν στενάχιζων.
Τοῦ δ' ὠρίνετο θυμὸς, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
Δριμὺ μένος προὔτυψε, φίλον πατέρ' εἰσορόωντι.
Κύσσε δέ μιν περιφὺς, ἐπιάλμενος, ἠδὲ προσηύδα·
Κεῖνος μέντοι ὅδ' αὐτὸς ἐγὼ, πάτερ, ὃν σὺ μεταλλᾷς, 320

" Navis verò mihi hæc stat ad agrum, seorsùm ab urbe.
" At Ulyssi hic jam quintus annus est,
" Ex quo illinc ivit, et à meâ discessit patriâ,
" Infelix: profectò utique ei bonæ erant aves eunti 310
" Dextræ; quibus gaudens quidem ego dimittebam illum,
" Gaudebat autem ille abiens: animusque adhuc nobis sperabat,
" Mixtum-iri *nos* hospitio, et splendida dona daturos."
Sic dixit: illum autem doloris nebula coöperuit atra:
Ambabus verò manibus sumptum pulverem fulvum 315
Fudit-sibi in caput canum, crebrò gemens.
Hujus autem commovebatur animus; ad nares verò ei jam
Acer spiritus pulsavit, charum patrem intuenti.
Osculatus verò est ipsum amplectens, insiliens, et alloquebatur;
" Ille quidem hic ipse ego pater, quem tu inquiris, 320

Ver. 307. Νηῦς δὲ μοι ἥδ' ἕστηκεν.] Ita ex Editionibus nonnullis restituit *Barnesius*. Rectè, ut videtur. Ita enim (uti ipse annotat) in omnibus legitur suprà *α*. 185, ubi idem versus occurrit. Alii hîc, omissâ voculâ ἥδ', legunt " Νηῦς δὲ μοι ἕστηκεν ὅδε."

Ver. 311. Δεξιοὶ.] Αἴσιοι ἢ ἐκ τῶν δεξιῶν μερῶν. *Schol.*

Ver. 312. ——— Θυμὸν δ' ἔτι.] *Al.* Θυμὸς δὲ τι.

Ibid. ——— νῶϊν.] *Eustathius* in commentario citat ἡμῖν.

Ver. 314. ——— τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα.] Vide ad *Il. σ'*. 22.

Ver. 315. ——— χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν, Χεύατο κακκεφαλῆς πολιῆς.]

Canitiem immundo deformat pulvere, et ambas
Ad cœlum tendit palmas ———.
Æn. X. 844.

Canitiem terrâ atque infuso pulvere fœdans.
Catull. de Nuptiis Pelei et Thetidos, Carm. LXIV. *ver.* 224.

Ver. 317. ——— ἀνὰ ῥῖνας δὲ οἱ ἤδη Δριμὺ μένος προὔτυψε.] Δριμὺ μένος προὔτυψεν, ἤγουν προανέστησε ταῖς ῥισὶν· ὁ δὲ προσάσχα, ὡς τὰ πολλὰ, ὁ μάλλον δακρύειν. *Eustath. Aristoteles* autem hujusmodi narium affectionem ab irâ proficisci putat; Οἱ ἀνδρεῖοι, inquit, θυμοειδῆς· ἰσχυρότατον γὰρ ὁ θυμὸς πρὸς τοὺς κινδύνους· ὅθεν καὶ Ὅμηρος, " — Δριμὺ δ' ἀνὰ " ῥῖνας μένος —." Πάντα γὰρ τὰ τοιαῦτα ἔοικε σημαίνειν τὴν τοῦ θυμοῦ ἔγερσιν καὶ ὁρμήν. *Ethic. Nicomach. lib.* III. *cap.* 11. Similitèrque *Theocritus, Idyll.* I. *ver.* 18.

Καὶ οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥῖνὶ κάθηται

Ver. 319. Κύσσε.] Vide suprà ad *ver.* 235. et ad *ρ'*. 39.

Ver. 320. Κεῖνος μέντοι ὅδ' αὐτὸς ἐγὼ, πάτερ, ὃν σὺ μεταλλᾷς.] Similitèr apud *Virgilium*;

——— coràm, quem quæritis, adsum
Troïus Æneas, Libycis ereptus ab undis.
Æn. I. 595.

Et apud *Martialem*;

Hic est, quem legis, ille, quem requiris.
Lib. I. *Epigramm.* I. *ver.* 1.

Digitized by Google

Ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἴσχεο κλαυθμοῦο, γόοιό τε δακρυόεντος.
Ἐκ γάρ τοι ἐρέω· (μάλα δὲ χρὴ στευδέμεν ἄμπης·)
Μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισι,
Λώβην τινύμενος θυμαλγέα, καὶ κακὰ ἔργα. 325
Τὸν δ' αὖ Λαέρτης ἀπαμειβόμενος προσέφη·
Εἰ μὲν δὴ Ὀδυσεύς γε, ἐμὸς πάις, ἐνθάδ' ἱκάνεις,
Σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδές, ὄφρα πεποίθω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσι, 330
Τὴν ἐν Παρνησῷ μ' ἔλασεν σῦς λευκῷ ὀδόντι
Οἰχόμενον· σὺ δέ με προΐεις καὶ πότνια μήτηρ
Ἐς πατέρ' Αὐτόλυκον μητρὸς φίλον, ὄφρ' ἂν ἑλοίμην
Δῶρα, τὰ δεῦρο μολών μοι ὑπέσχετο, καὶ κατένευσεν.
Εἰ δ' ἄγε, τοι καὶ δένδρε', ἐϋκτιμένην κατ' ἀλωήν, 335
Εἴπω, ἅ μοι πότ' ἔδωκας, ἐγὼ δ' ἤτεόν σε ἕκαστα,
Παιδνὸς ἐών, κατὰ κῆπον ἑπισπόμενος· διὰ δ' αὐτῶν
Ἰκνεύμεσθα, σὺ δ' ὠνόμασας καὶ ἔειπες ἕκαστα.

" Veni vigesimo anno in patriam terram.
" Sed contine-te à fletu, luctuque lachrymoso.
" Edicam enim tibi; (valdè autem oportet festinare omninò:)
" Procos interfeci in nostris ædibus,
" Contumeliam ulciscens animo-gravem, et mala opera." 325
Ei autem rursùs Laërtes respondebat, dixitque;
" Siquidem reverà Ulysses utique, meus filius, huc venisti,
" Signum aliquod mihi nunc dic manifestum, ut persuadear."
Illum verò respondens allocutus est solers Ulysses;
" Cicatricem quidem primùm hanc animadverte oculis, 330
" Quam in Parnasso mihi inflixit sus albo dente
" Peregrè-profecto: tu verò me emiseras et veneranda mater
" Ad patrem Autolycum matris charum, ut acciperem
" Dona, quæ huc profectus mihi promiserat, et annuerat.
" Quin age, tibi et arbores, benè-culto in arboreto, 335
" Dicam, quas mihi olim dedisti; ego autem poscebam à te singulas,
" Puer cùm-essem, per hortum comitans; per ipsas verò
" Ibamus, tu autem nominâsti et dixisti singulas.

Ver. 321. —— εἰκοστῷ ἔτεϊ ἐς.] Vide suprà ad α'. 206.

Ver. 322. Ἀλλ' ἴσχεο κλαυθμοῦο.] Pronuntiabatur ἴσχυ, vel ἴσχεω· ut rectè notavit *Barnesius*. Similitèr ἤτεον, infrà *ver.* 336. pronuntiabatur ἤτευν, vel ἤτευν. Vide ad *Il.* ι. 116.

Ver. 323. —— μάλα δὲ χρὴ στευδέμεν.] Διὰ τὸ παραδοκεῖσθαι πόλεμον ἐκ τῶν Ἰθακησίων αὐτίκα νῦν. *Eustath.*

Ver. 325. —— τινύμενος.] Vide ad *Il.* β'. 42. γ. 260. et 279.

Ver. 331. Τὴν ἐν Παρνησῷ.] Vide suprà ad α'. 393. &c.

Ver. 335. Εἰ δ' ἄγε.] Particulæ Εἰ, hoc in loco, vis hujusmodi est: " *Sin hoc tibi* " *non satis visum fuerit;* Vel, " *Sin alia* " *adhuc indicia posſules; Age,* &c."

Ibid. —— καὶ δένδρε'. —— Εἴπω, ἅ μοι πότ' ἔδωκας.] Καὶ τῷ πατρὶ ἰδιαίτατον τὶ γνώρισμα παραδεικνὺς οἰκεῖον τῷ τόπῳ περὶ ὃν ἄρτι εὐφηται, ἀπαριθμεῖται καὶ δένδρα τῷ Λαέρτῃ, " ἅ μοι " ποτὶ" φησιν " ἔδωκας, &c." *Eustath.*

Digitized by Google

Ὄγχνας μοι δῶκας τρεισκαίδεκα, καὶ δέκα μηλέας,
Συκέας τεσσαράκοντ' ὄρχους δὲ μοι ὧδ' ὀμόμασας
Δώσειν πεντήκοντα, διατρύγιος δὲ ἕκαστος
Ἦν· ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν,
Ὁππότε δὴ Διὸς ὥραι ἐπιβρίσειαν ὕπερθεν.
Ὡς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
Σήματ' ἀναγνόντος, τά οἱ ἔμπεδα τέφραδ' Ὀδυσσεύς.
Ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ πρότι οἱ
Εἷλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.
Αὐτὰρ ἐπεί ῥ' ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Ἐξαῦτις μύθοισιν ἀμειβόμενος προσέειπε·
Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
Εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλοι ὕβριν ἔτισαν.

" Pyros mihi dedisti tredecim, et decem malos,
" Ficos quadraginta, vitium-ordines verò mihi hîc disertè-dixisti
" Daturum *te* quinquaginta; penitùs-vindemialis autem unusquisque
" Erat; illic nempè uvæ omnigenæ insunt,
" Quandò demùm Jovis tempestates incubuerint desuper."
Sic dixit: ejus autem ibidem soluta sunt genua et charum cor,
Signa agnoscentis, quæ ei accurata dixerat Ulysses.
Circum verò filium charum jecit brachia; eum autem ad se
Cepit animâ-deficientem multa-passus nobilis Ulysses.
At postquam *is* spiritum-recepit, et in mentem animus collectus est,
Iterùm verbis respondens allocutus est;
" Jupiter pater, profectò utique adhuc estis dii in magno Olympo,
" Si reverà proci improbi injuriam luerunt.

Ver. 339. Ὄγχνας.] *Al.* Ὄχνας. Vide suprà ad *ver.* 246. et *η.* 115.

Ver. 340. —— ἐρχὸς δὲ.] Ὀρχὸς γὰρ ἐστὶν ὁ βότρυς, εἰς ὃν ἐνοίδεται τὰ φυτὰ πρὸς μόσχευσιν. —— Ὁ δὲ Ἡσίοδος ὀρχὸν λίγει τὸν ἡπίστιχον φυλέαν τῶν ἀμπέλων. [Ἀσπὶς Ἡρακλ. *ver.* 293. 294.] " Οἱ δ' αὖτ' ἐς ταλάρους " ἔφερον —— βότρυας μεγάλων ἀπὸ ὀρχάων." —— καὶ πάλιν, [*ver.* 296. 297.] " —— παρὰ " δὲ σφισιν ὀρχὸς Χρυσιὸς ἦν." Ἐφὶ δὲ ὅτι δηλοῖ καὶ κῆπον. *Etymolog. Magn.* ad vocem Ὀρχατες.

Ver. 341. —— διατρύγιος δὲ ἕκαστος Ἦν.] Τὸ δὲ " διατρύγιος" ἅπαξ μὲν ᾗ αὐτὸ εἴρηται τῷ Ποιητῇ, σημαίνει δὲ ἀμπέλων ἧς οἱ καρποὶ ἐν διαφόροις καιροῖς πεπαίνονται· διὸ ᾗ ἴφη, " ἔνθα " σταφυλαὶ παντοῖαι." Ἕτεροι δὲ διατρυγίους φασὶν ὄρχας, ἃ μόνον οἰνικὰς, ἀλλὰ καὶ δενδρικὰς, τοὺς μὴ πάνυ πυκνοὺς, ἀλλὰ τοιούτους ὡς μεταξὺ τῶν κατὰ τὰ φυτὰ φοίκων παρεισπάσθαι τὶ τῶν στορίμων καὶ οἷον τρυγᾶσθαι. *Eustath.* Rectiùs autem, ut opinor, vocem διατρύγιος interpretêris, " *Penitùs-vindemialis* :"

—— ἔτι ὅτε τρυγόωσι ἄλωνε. *Iliad.* σ'. 566.

—— ἑτέρας δ' ἄρα τε τρυγόωσιν.
Odyss. η. 124.

Οἱ δ' ἐπέτρυγον οἶνον ——
Hesiod. Ἀσπ. Ἡρακλ. 292.

Ver. 343. —— ἐπιβρίσειαν.] Vide ad *Il.* η. 343.

Ver. 345. —— τέφραδ'.] Vide ad *Il.* β'. 314. et ξ'. 500.

Ver. 347. Εἷλεν.] *Al.* Εἵλειν.

Ver. 350. —— ἦ ῥα ἔτ' ἐστὶ θεοί.] Ita apud *Euripidem*;

Νῦν τήνδ' ἄελπτον ἡμέραν ἰδοῦσ' ἐγὼ,
Θεοὺς νομίζω, κ' δοκῶ τὰς συμφορὰς
Ἔχειν ἔλασσον, τῶνδε τισάντων δίκην.
Supplices, *ver.* 731.

Et apud *Livium*; " Pro se quisque, Deos " *tandem esse, et non negligere humana*, pre- " munt." *Lib.* III. § 56. Et *Torquatus*, apud eundem; " *Est cæleste numen? Est* " *magne Jupiter!*" *Lib.* VIII. § 6. Nec dissimiliter apud *Lucanum*;

—— sunt nobis nulla profectò
Numina; cùm cæco rapiantur sæcula casu,
Mentimur regnare Jovem. ——
Pharsal. lib. VII. 445.

Ver. 351. —— ἀτάσθαλοι.] *Al.* ἀτάσθαλον.

Ibid. —— ἔτισαν.] Vide ad *Il.* ι'. 508. et χ'. 19. 20.

Digitized by Google

Νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα, μὴ τάχα πάντες
Ἐνθάδ' ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
Πάντη ἐποτρύνωσι Κεφαλλήνων πολίεσσι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 355
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Ἀλλ' ἴομεν προτὶ οἶκον, ὅς ὀρχάτου ἐγγύθι κεῖται·
Ἔνθα δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
Προὔπεμψ', ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα.
Ὡς ἄρα φωνήσαντε, βάτην πρὸς δώματα καλά. 360
Οἱ δ' ὅτε δή ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
Εὗρον Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
Ταμνομένους κρέα πολλὰ, κερώντάς τ' αἴθοπα οἶνον.
Τῷφρα δὲ Λαέρτην μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Ἀμφίπολος Σικελὴ λοῦσεν, καὶ ῥῖσεν ἐλαίῳ· 365
Ἀμφὶ δ' ἄρα χλαῖναν καλὴν βάλεν αὐτὰρ Ἀθήνη
Ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν,
Μείζονα δ', ἠὲ πάρος, καὶ πάσσονα θῆκεν ἰδέσθαι.

"Nunc autem gravitèr timeo in mente, ne citò omnes
"Huc adveniant Ithacenses, nuncios verò
"Circumquaque expediant Cephallenorum ad urbes."
Hunc autem respondens allocutus est solers Ulysses; 355
"Confide, nè tibi hæc in mente tuâ curæ sint;
"Sed eamus ad domum, quæ hortum prope jacet:
"Illuc verò Telemachum et bubulcum et subulcum
"Præmisi; ut cœnam appararent citissimè."
Sic utique locuti, iverunt ad ædes pulchras. 360
Hi autem quandò jam pervenerunt ad ædes habitantibus commodas,
Invenerunt Telemachum et bubulcum et subulcum,
Incidentes carnes multas, miscentesque generosum vinum.
Interim verò Laërtem magnanimum suâ in domo
Famula Sicula lavit, et unxit oleo; 365
Circumque deindè lænam pulchram jecit: at Minerva
Propè astans membra auctavit pastori populorum,
Majoremque, quàm anteà, et crassiorem fecit ad-intuendum.

Ver. 352. —— δείδοικα.] Vide ad *Il.* σ'. 736.

Ver. 353. —— ἐπέλθωσιν Ἰθακήσιοι.] *Barnesius* ex conjecturâ edidit ἐπέλθωσιν ἢ Ἰθακήσιοι. Sed nihil opus. Vide ad *Il.* α. 51.

Ver. 354. —— Κεφαλλήνων πολίεσσι.] Ita recte ex *Eustathii* commentario et ex *Odyss.* φ'. 252. restitult *Barnesius*. In vulgatis hic corruptè editum est πολίεσσι ac si esset videlicet ἐκ' πόλις.

Ver. 363. Ταμνομένους.] Vide ad *Il.* ι'. 180.

Ibid. —— κερώντας τ' αἴθοπα οἶνον.] Τυτύσκω, ἐμβάλλοντας εἰς κρατῆρας. *Eustath.* "Τὸ κεράν, sive κεράσαι, licèt *miscere* pro-"priè significet, usurpatur tamen simplici-"tèr ἀντὶ τοῦ ἐγχέειν, καὶ διδόναι πίνειν pro "*infundere* in calicem scil. sive cyathum, "et *bibendum porrigere*." *Gataker. Adversar. Miscellan. Posthum. cap.* 5. ubi hunc *Homeri* locum adducit.

Ver. 366. —— αὐτὰρ Ἀθήνη —— μέλε' ἤλδανε ποιμένι λαῶν.] Ἤτοι ἐντραφῆ καὶ λιπαρὰ ἐποίει, εὐρύνασα τὰ μέλη. *Porphyr. Quæst. Homeric.* 10. Vide et suprà ad σ'. 175. et ψ'. 156.

Ver. 368. Μείζονα δ'.] Apud *Eustathium* in commentario, Μείζονα τ'.

Digitized by Google

Ἐκ δ' ἀσαμίνθου βῆ· θαύμαζε δέ μιν φίλος υἱός,
Ὡς ἴδεν ἀθανάτοισι θεοῖς ἐναλίγκιον ἄντην· 370
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων
Εἶδός τε μέγεθός τε, ἀμύμονα θῆκεν ἰδέσθαι.
Τὸν δ' αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα·
Αἴ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον, 375
Οἷος Νήρικον εἷλον, ἐϋκτίμενον πτολίεθρον,
Ἀκτὴν Ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
Τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισι,
Τεύχε' ἔχων ὤμοισιν, ἐφεστάμεναι, καὶ ἀμύνειν
Ἄνδρας μνηστῆρας· τῷ κε σφέων γούνατ' ἔλυσα 380
Πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἰάνθης.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
Ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
Ἔνθ' οἱ μὲν δείπνῳ ἐπεχείρεον· ἀγχίμολον δὲ 385
Ἦλθ' ὁ γέρων Δολίος, σὺν δ' υἱεῖς τοῖο γέροντος
Ἐξ ἔργων μογέοντες· ἐπεὶ προμολοῦσα κάλεσσεν
Μήτηρ, γρηῦς Σικελή, ἣ σφέας τρέφε· καί ῥα γέροντα

E balneo verò *is* egressus est; admirabatur autem ipsum charus filius,
Ut vidit immortalibus diis similem coràm; 370
Et ipsum compellans verbis alatis allocutus est;
" O pater, certè omninò aliquis te deorum sempiternorum
" Formâque staturâque, egregium fecit ad-intuendum."
Eum autem rursùs Laërtes prudens contra allocutus est;
" Utinam, Jupiterque pater, et Minerva, et Apollo, 375
" Qualis Nericum cepi, benè-ædificatam urbem,
" Littus Continentis, Cephallenibus imperans,
" Talis existens tibi hesternus in nostris ædibus,
" Arma habens humeris, astitissem, et propulsâssem
" Viros procos; eò ipsorum genua solvissem 380
" Multorum in ædibus; tu verò mente intùs lætatus fuisses."
Sic hi quidem talia inter se loquebantur.
Illi autem postquam cessârant à labore, apparaverantque convivium,
Ordine sedebant in sedilibusque soliisque:
Ibi illi quidem prandio manus-admovebant; propè autem 385
Venit senex Dolius, unàque filii hujus sénis
Ex operibus fatigati; quippe egressa vocaverat
Mater, anus Sicula, quæ ipsos nutriebat; et sanè senem

Ver. 375. 376. Αἴ γὰρ, Ζεῦ τε πάτερ, — Οἷος Νήρικον εἷλον.]

O mihi præteritos referat si Jupiter annos!
Qualis eram, cùm primum aciem Præneste sub ipsâ
Stravi ——— *Æn.* VIII. 560.

Ver. 376. Οἷος Νήρικον εἷλον —— Ἀκτὴν Ἠπείροιο.] Ἡ Λευκὰς, Κορινθίων τὸν ἰσθμὸν διορύξαντων, νῆσος γίγνεται, ἀκτὴ πρότερον οὖσα· περὶ ταύτης γὰρ φησὶ λέγων τὸν Λαέρτην· "Οἷος Νήρικον εἷλον, ἰϋκτίμενον πτολίεθρον· "Ἀκτὴν Ἠπείροιο," *Strabo, Geograph. lib.* I. *pag.* 102. *al.* 59. Vide et eundem, *lib.* X. *pag.* 693. *al.* 451. 452.

Ver. 388. — γηραιὸν Ἐνιπεύς [illegible]

Ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρπτεν.
Οἱ δ' ὡς οὖν Ὀδυσῆα ἴδον, φράσσαντό τε θυμῷ, 390
Ἕσταν ἐνὶ μεγάροισι τεθηπότες· αὐτὰρ Ὀδυσσεὺς
Μειλιχίοις ἐπέεσσι καθαπτόμενος προσέειπεν·
Ὦ γέρον, ἦ ῥ' ἐπὶ δεῖπνον ἀπεπλελάθεσθε δὲ θάμβεος·
Δηρὸν γὰρ σίτῳ ἐπιχειρήσειν μεμνῶτες
Μίμνομεν ἐν μεγάροις, ὑμέας ποτιδέγμενοι αἰεί. 395
Ὡς ἄρ' ἔφη· Δολίος δ' ἰθὺς κίε, χεῖρε πετάσσας
Ἀμφοτέρας· Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν,
Οὐδέ τ' ὀϊομένοισι, θεοὶ δέ σε ἤγαγον αὐτοί, 400
Οὖλέ τε, καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν·
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
Ἦ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια

Studiosè curabat, postquam senectus corripuerat.
Illi verò ut Ulyssem viderunt, agnoveruntque animo, 390
Steterunt in ædibus attoniti; at Ulysses
Blandis verbis compellans allocutus est;
"O senex, sede ad prandium; obliviscimini verò stuporis;
" Dudùm enim cibo manus-admovere cupientes
" Manebamus in ædibus, vos expectantes semper." 395
Sic utique dixit: Dolius autem rectà ivit, manibus passis
Ambabus; Ulyssisque prehensam osculatus est manum ad carpum;
Et ipsum compellans verbis alatis allocutus est;
" O chare, quandoquidem rediisti cupientibus valdè nobis,
" Non verò et expectantibus, dii autem te duxerunt ipsi; 400
" Salveque, et magnoperè gaude; dji verò tibi prospera dent:
" Et mihi hoc dic verum, ut benè sciam,
" An jam certò nôrit prudens Penelope

Τὰν Δολίον, ἢ τὸν Λαέρτην. *Eustath.* Sed de *Dolio* omninò intelligendum hoc, liquet ex præcedenti *ver.* 386.

Ἦλθ' ὁ γέρων Δολίος, σὺν δ' υἱέες τοῖο γέροντος.

Ver. 394. —— *μεμαῶτες.*] Vide ad *Il.* ν'. 46.

Ver. 397. —— Ὀδυσεὺς δὲ λαβὼν κυσε χεῖρ'.] In vulgatis scriptum est Ὀδυσεὺς δὲ λαβὼν &c. *Eustathius* autem; Ἐν γενικῇ Αἰολικῇ, (inquit), ἢ Δωρικῇ, εἰρῆσθαι φασὶ κατὰ κράσιν μετὰ τεμαχισμένης τοῦ τὸ Ὀδυσσεὺς καὶ δηλοῖ ὅτι ὁ Δολίος τὴν τοῦ Ὀδυσσέως λαβὼν ἰφιλήσας χεῖρα· ἀε γὰρ τρὸ ὀλίγων, [supra *ver.* 393.] τὸ "Ἠλλαθεσθε θάμβεος" θάμβεως ἔπειν, ἤτοι καὶ ἐφιλήσε τὸν Ὀδυσσέα· ἐνοείτο δὲ ὑποβλεν καὶ τὸ Ὀδυσσεῦ. Rectè omninò. Aliquì enim sequens oratio, quæ manifestè *Dolii* est, *Ulyssi* tribuetur. Et *Barnesius* ex *Etymologico Magno* Editionibusque nonnullis, Ὀδυσῆν edidit. Petrus Dedin *Wittenbergensis* habet Ὀδυσεῦν.

Ibid. —— *κύσε.*] Vide suprà ad ρ'. 39.

Ver. 400. —— Θεοὶ δὲ σε ἤγαγον.] *Al.* Θεοὶ δὲ σ' ἀνήγαγον.

Ver. 401. Οὖλε τε, καὶ μέγα χαῖρε.] Τὸ δὲ "Οὖλε," καὶ νῦν ἀντὶ τοῦ ὑγιαίνε· κατέτιγιν, ὅλος καὶ ὑγιὴς ἴσο. *Eustath.* Οὖλιον δ' Ἀπόλλωνα καλοῦσι τινὰ καὶ Μιλήσιοι, καὶ Δήλιοι, [*Al.* Λύδιοι], οἷον ὑγιαστικὸν καὶ παιονικόν· τὸ γὰρ ὅλειν, ὑγιαίνειν ἀφ' οὗ καὶ τὸ ὐλὴ, καὶ "Οὖλε τε, καὶ μέγα χαῖρε." *Strabo, Geograph. lib.* XIV. *pag* 942. *al.* 635. Similitèr et *Macrobius*; "Eundem deum [*Apollinem*] præstantem "salubribus causis, Οὔλιον appellant, id est "sanitatis auctorem, ut ait Homerus: "Οὖλε τε, καὶ μέλα χαῖρε." *Saturnal. lib.* I. *cap.* 17. Apud *Homerum* in *Iliade* et *Odyssea* non alibi occurrit hæc vox.

Ibid. —— μέγα χαῖρε.] *Al.* μέλα χαῖρε. Atque ita citat *Macrobius* loco jam suprà adducto.

Digitized by Google

Νοστήσαντά σε δεῦρο· ἢ ἄγγελον ὀτρύνομεν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πέπεσθαι;
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐυξέστου ἐπὶ δίφροιο.
Ὡς δ' αὖτως παῖδες Δολίου κλυτὸν ἀμφ' Ὀδυσῆα
Δειπανόωντ' ἐπέεσσι, καὶ ἐν χείρεσσι φύοντο.
Ἑξείης δ' ἕζοντο παραὶ Δολίου πατέρος ἄφαρ.
Ὡς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πέκοντο.
Ὅσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ἤχετο πάντῃ,
Μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ' ἐνέποντες,
Οἱ δ' ἄρ' ὁμῶς αἰόντες ἐφοίτων ἄλλοθεν ἄλλος,
Μυχμῷ τε στοναχῇ τε, δόμων προπάροιθ' Ὀδυσῆος.
Ἐκ δὲ νέκυς οἴκων φόρεον, καὶ θάπτον ἕκαστοι·
Τοὺς δ' ἐξ ἀλλάων πολίων οἴκοιδε ἕκαστον
Πέμπον ἄγειν ἁλιεῦσι, θοῇς ἐπὶ νηυσὶ τιθέντες·
Αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,

" Reversum te huc, an nuncium expediamus."
Hunc autem respondens allocutus est solers Ulysses; 405
" O senex, jamjam novit; quid te oportet hæc curare!"
Sic dixit: ille verò rursùs deindè sedit benè-politâ in sede.
Sic autem paritèr filii Dolii inclytum circa Ulyssem,
Blandè-compellabant verbis, et manibus inhærebant:
Ordine verò sedebant juxta Dolium patrem ipsorum. 410
Sic illi quidem circa prandium in ædibus se-occupabant.
Fama verò nuncia citò per urbem ibat undique,
Procorum gravem mortem et fatum indicans:
Illi autem simul audientes ibant aliundè alius,
Cum strepituque gemituque, ædes ante Ulyssis: 415
Exportabant verò cadavera ædibus, et sepeliebant singuli:
Eos autem qui erant ex aliis urbibus, domum unumquemque
Mittebant vehendos piscatoribus, velocibus navibus imponentes:
Ipsi verò in concionem iverunt conferti, dolentes corde.
At postquam congregati erant, et frequentes convenerant, 420

Ver. 410. —— σφῶν.] *Al.* σφίων et σφὼν.
Ver. 412. Ὅσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ἤχετο.] Apud *Eustathium* in commentario, Ὅσσα δὲ ἄγγελος.

Extemplò Libyæ magnas it fama per urbes;
Fama, malum quo non aliud velocius ullum. *Æn.* IV. 173.

Fama ——
Spargitur in turmas, solito pernicior index,
Cùm lugenda refert. ——
Statius, Thebaïd. lib. IX. 33. 34.

Ver. 413. —— προπάροιθ' Ὀδυσῆος.] *Barnesius* inter varias lectiones, προπάροιθεν Ὀδυσσεῦς. Vide suprà ad *ver.* 397.

Ver. 416. Ἐκ δὲ νέκυς οἴκων φόρεον, καὶ θάπτον ἕκαστοι.]

Constituere pyras, huc corpora quisque suorum
More tulêre patrum —— *Æn.* XI. 185.

Ibid. —— ἕκαστοι.] Apud *Eustathium* in commentario, ἕκαστον.
Ver. 417. —— οἴκοιδε ἕκαστον.] *Al.* ἕκαστοι ἕκαστον.
Ver. 418. Πέμπον ἄγειν ἁλιεῦσι.] Λείπει δὲ τὸν ἀναφορικὸν ἐν τῷ ἑξῆς λόγῳ, εἰ μὴ ἄρα τὸν ἐν ἑαυτῷ τὸ νεκραγωγεῖν, ἤτοι ἐν τῷ ἑξῆς ἐν τῷ φορεῖν τοὺς νεκρούς. *Eustath.*
Ver. 419. Αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι.]

Olli convenêre, hauriique ad negotia plena
Tecta viis ——

Digitized by Google

Τοῖσιν δ' Εὐπείθης ἀνὰ θ' ἵστατο, καὶ μετέειπεν·
Παιδὸς γὰρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο,
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυσσεύς·
Τοῦ ὅγε δακρυχέων ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδε μήσατ' Ἀχαιοῖς· 425
Τοὺς μὲν σὺν νήεσσιν ἄγων πολέας τε καὶ ἐσθλοὺς,
Ὤλεσε μὲν νῆας γλαφυρὰς, ἀπὸ δ' ὤλεσε λαούς·
Τοὺς δ' ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ' ἀρίστους.
Ἀλλ' ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ἷκα ἱκέσθαι,
Ἢ καὶ ἐς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοὶ, 430
Ἴομεν· ἢ καὶ ἔπειτα κατηφέες ἐσσόμεθ' αἰεί·
Λώβη γὰρ τάδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.
Εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας
Τισόμεθ', οὐκ ἂν ἔμοιγε μετὰ φρεσὶν ἡδὺ γένοιτο
Ζωέμεν· ἀλλὰ τάχιστα θανὼν φθιμένοισι μετείην. 435
Ἀλλ' ἴομεν, μὴ φθάνωσι περαιωθέντες ἐκεῖνοι.
Ὣς φάτο δακρυχέων· οἶκτος δ' ἕλε πάντας Ἀχαιούς.
Ἀγχίμολον δέ σφ' ἦλθε Μέδων καὶ θεῖος ἀοιδὸς,

Inter eos utique Eupithes surrexitque, et locutus est;
Ob-filium enim ei indelebilis in mente dolor manebat,
Antinoüm, quem primum interfecerat nobilis Ulysses:
Ob hunc ille lachrymas-fundens concionatus est, et inter-eos-dixit;
" O amici, certè magnum opus vir hic molitus est Achivis; 425
" Alios quidem cum navibus ducens multosque et eximios,
" Perdidit quidem naves cavas, perdidit autem populos:
" Alios autem reversus interfecit Cephallenorum longè optimos.
" Sed agite, antequam hic vel in Pylum citò iverit,
" Vel et in Elidem divinam, ubi dominantur Epēi, 430
" Eamus; aut et posteà ignominiosi erimus semper:
" Contumelia enim hæc sunt et futuris auditu.
" Si jam non filiorumque fratrumque interfectores
" Ulciscamur; non mihi quidem in mente dulce fuerit
" Vivere, sed citissimè mortuus defunctis interfuero. 435
" Sed eamus, nè præveniant transgressi illi."
Sic dixit, lachrymas-fundens: commiseratio autem cepit omnes Achivos.
Propè verò ad ipsos venit Medon et divinus cantor,

Ver. 425. —— Ἀχαιοῖς.] *Al.* Ἀχαιοὺς.

Ver. 426. —— σὺν νήεσσιν ἄγων.] *Eustathius* in commentario legit, ἐν νήεσσιν ἄγων.

Ver. 430. —— ἢ Ἤλιδα δῖαν, ὅθι κρατέουσι Ἐπειοί.] Vide suprà ad ν. 275.

Ver. 431. Ἴομεν· ἢ καὶ ἔπειτα.] Ἐν δὲ τῇ, "Ἴδμεν," καὶ, "Ἀλλ' ἴομεν," [infrà *ver.* 436.] καὶ, "Μὴ ἴομεν," [*ver.* 461.] ἀδιαφορίᾳ ἀχρόνων κινοῦνται· τὸ μὲν γὰρ "Ἴομεν" ἐκτείνει τὴν ἀρχουσαν, τὰ δὲ λοιπὰ συστέλλει αὐτήν. *Eustath.* Vide autem ad *Il.* ν'. 103. et ά. 24.

Ver. 432. —— τάδε.] *Al.* τόδε.

Ver. 436. —— φθίωσι.] *Al.* φθῶσι. Quo modo scilicèt et φθίωσι pronuntiabatur. Similitèr σφίσι infrà *ver.* 439. pronuntiabatur σφᾶς· nam *ultimam* producit.

Ibid. —— περαιωθέντες ἐκεῖνοι.] Εἰς Πύλον δηλαδὴ, ἢ ἐς Ἤλιδα. *Eustath.*

Digitized by Google

Ἐκ μεγάρων Ὀδυσῆος, ἐπεὶ σφέας ὕπνος ἀνῆκεν·
Ἕσταν δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον. 440
Τοῖσι δὲ καὶ μετέειπε Μέδων, πεπνυμένα εἰδώς·
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
Ἀθανάτων ἀέκητι θεῶν τάδε μήσατο ἔργα·
Αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆϊ
Ἐγγύθεν εἱστήκει, καὶ Μέντορι πάντα ἐοίκει. 445
Ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ' Ὀδυσῆος
Φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων·
Θῦνε κατὰ μέγαρον· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος ἧρει.
Τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἀλιθέρσης 450
Μαστορίδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
Ὃς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ,τι κεν εἴπω·
Ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο·

Ex ædibus Ulyssis; postquam ipsos somnus reliquerat;
Steteruntque in mediis: stupor autem cepit virum unumquemque. 440
Inter eos verò locutus est Medon, prudentia doctus;
" Audite jam nunc me, Ithacenses; non enim Ulysses
" Immortalibus invitis diis hæc molitus est opera:
" Ipse ego vidi deum immortalem, qui scilicèt Ulyssem
" Prope stetit, et Mentori omnia similis erat. 445
" Immortalis verò deus aliquandò quidem ante Ulyssem
" Apparebat animans, aliquandò autem procos turbans
" Ruebat per domum; illi verò conferti cadebant."
Sic dixit: eos verò omnes pallidus timor subiit.
Inter eos autem et locutus est senex heros Halitherses 450
Mastorides; is enim solus videbat antè et ponè:
Qui inter ipsos rectè-sentiens concionatus est et dixit;
" Audite jam nunc me, Ithacenses, quodcunque dicam;
" Vestro vitio, ô amici, hæc opera facta sunt:

Ver. 442. —— ἐ γὰρ Ὀδυσσεὺς Ἀθανάτων ἀέκητι θεῶν τάδε μήσατο.] Ita *Iliad.* ί. 185.

Οὐχ ὅγ' ἄνευθε θεῶν τάδε μαίνεται, ἀλλὰ τις ἄγχι
Ἕστηκ' ἀθανάτων ——————.

—— non hæc sine numine Divûm
Eveniunt ——————. *Æn.* II. 777.

Cæterùm refertur hîc vocula γὰρ, non ad id quod proximè præcessit, sed ad id quod elegantiùs reticetur; " *Cavete quid faciatis,* " *non ENIM* θεός." Vide ad *Il.* ί. 22.

Ver. 444. —— ὅς ῥ' Ὀδυσῆϊ.] *Eustathius* in commentario citat, ὅς Ὀδυσῆϊ. Quod et ferri posset. Vide ad *Il.* ά. 51.

Ver. 446. 447. —— τοτὲ μὲν —— τοτὲ δὲ.] *Al.* τοτὲ μὲν —— τοτὲ δὴ. Atque ita edidit *Barnesius.*

Ibid. —— προπάροιθ' Ὀδυσῆος.] *Al.* προπάροιθεν Ὀδυσσεῦς. Ut suprà *ver.* 415.

Ver. 448. —— ἀγχιστῖνοι.] *Al.* ἀίσχιστῖνοι, et ἀγχιστῆνοι.

Ver. 449. —— τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος ἧρει.]

Tum verò tremefacta novus per pectora cunctis
Insinuat pavor ——————. *Æn.* II. 228.

Ver. 451. —— ὅρα πρόσσω καὶ ὀπίσσω.]

—— novit namque omnia vates,
Quæ sint, quæ fuerint, quæ mox ventura trahantur.
Virgil, Georgic. IV. 392.

Ver. 454. 456. Ὑμετέρῃ —— Ὑμετέρους.] *Henricus Stephanus* inter varias lectiones, Ἡμετέρῃ —— Ἡμετέρους. Sed minùs recte utrobique. Uti observavit *Barnesius.*

Digitized by Google

Οὐ γὰρ ἐμοὶ πείθεσθ', οὐ Μέντορι ποιμένι λαῶν, 455
Ὑμετέρους παῖδας καταπαύεμεν ἀφροσυνάων·
Οἵ μέγα ἔργον ἔρεζον ἀτασθαλίῃσι κακῇσι,
Κτήματα κείροντες, καὶ ἀτιμάζοντες ἄκοιτιν
Ἀνδρὸς ἀριστῆος· τὸν δ' οὐκ ἔτι φάντο νέεσθαι·
Καὶ νῦν ὧδε γένοιτο· πίθεσθέ μοι, ὡς ἀγορεύω· 460
Μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρ' ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ
Ἡμίσεων πλείους· τοὶ δ' ἀθρόοι αὐτόθι μεῖναν.
Οὐ γάρ σφιν ἄδε μῦθος ἐνὶ φρεσὶν, ἀλλ' Εὐπείθει
Πείθοντ'· αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο. 465
Αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροῖ νώροπα χαλκὸν,
Ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
Τοῖσιν δ' Εὐπείθης ἡγήσατο νηπιέῃσιν·
Φῆ δ' ὅγε τίσεσθαι παιδὸς φόνον· οὐδ' ἄρ' ἔμελλεν
Ἂψ ἀπονοστήσειν, ἀλλ' αὐτοῦ πότμον ἐφέψειν. 470
Αὐτὰρ Ἀθηναίη Ζῆνα Κρονίωνα προσηύδα·
Ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὕπατε κρειόντων,

" Non enim mihi parebatis, non Mentori pastori populorum, 455
" Ut vestros filios desinere-faceretis à stultitiis;
" Qui magnum opus faciebant improbitate malâ,
" Possessiones attondentes, et dedecorantes uxorem
" Viri optimi; ipsum verò non ampliùs putabant rediturum:
" Et nunc sic fiat; parete mihi, sicut dico: 460
" Nè eamus, nequà aliquis accersitum malum inveniat."
Sic dixit: hi autem deindè surrexerunt magno *cum* clamore
Dimidiis plures; illi verò conferti illic manserunt.
Non enim ipsis placuit sermo in mente; sed Eupitheo
Parebant: statim autem posteà ad arma ruebant. 465
At postquam induerant-se circum corpus splendido ære,
Conferti congregabantur ante urbem spatiosam.
Ipsis autem Eupithes præfuit stultitiis:
Putabat verò ille ulturum *se* filii cædem; neque sanè erat
Retrò reversurus, sed illic fatum obiturus. 470
At Minerva Jovem Saturnium allocuta est;
" O pater noster, Saturnie, summe regum,

Ver. 456. ——— καταπαυέμεν.] Vide suprà ad β'. 168. et 244.

Ver. 457. ——— ἔρεζον.] *Al.* ἔρεξαν.

Ver. 461. ——— ἐπίσπαστον.] Καταχρηστικῶς σημαίνει τὸ ἐπάσιον, ὅ ἐστιν, ὃ ἑαυτῷ τις ἐπισπᾶται. *Schol.* à *Barnesio* ex MS. *Aloysii Alemanni* excerpt.

Ver. 463. ——— αὐτόθι μεῖναν.] *Eustathius* in commentario citat, αὐτόθι μίμνον.

Ver. 466. ——— νώροπα χαλκὸν.] Ἐπαφρόδιτος, ἐν τοῖς Ὁμηρικοῖς φησὶν, ὅτι γίγνεται ἐν Παιονίᾳ σίδηρος, ὃς ἀπανθεὶς λαμπρότατος ἐστὶν ἀφ' οὗ καὶ τὸ, "νώροπα χαλκὸν." *Barnesius* ex *Stephano* περὶ πόλεων. Vide suprà ad *v.* 19.

Ver. 469. ——— τίσεσθαι.] *Al.* τίσασθαι. Vide ad *Il.* γ'. 28.

Ver. 470. ——— αὐτοῦ.] *Al.* αὐτόθι.

Ibid. ——— ἐφέψειν.] *Al.* ἐπισπεῖν.

Ver. 472. Ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὕπατε κρειόντων.]

O pater, ô hominum Divûmque æterna potestas. *Æn.* X. 18

Digitized by Google

Εἰπέ μοι εἰρομένη, τί νύ τοι νόος ἔνδοθι κεύθει;
Ἢ προτέρω πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
Τεύξεις; ἢ φιλότητα μετ' ἀμφοτέροισι τίθησθα; 475
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Τέκνον ἐμὸν, τί με ταῦτα διείρεαι, ἠδὲ μεταλλᾷς;
Οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή;
Ὡς ἦτοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών.
Ἔρξον, ὅπως ἐθέλεις· ἐρέω δέ τοι, ὡς ἐπέοικεν. 480
Ἐπειδὴ μνηστῆρας ἐτίσατο δῖος Ὀδυσσεὺς,
Ὅρκια πιστὰ ταμόντες, ὁ μὲν βασιλευέτω αἰεί·
Ἡμεῖς δ' αὖ παίδων τε κασιγνήτων τε φόνοιο
Ἔκλησιν θέωμεν· τοὶ δ' ἀλλήλους φιλεόντων
Ὡς τοπάρος· πλοῦτος δὲ καὶ εἰρήνη ἄλις ἔστω. 485
Ὡς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἰξασα.

" Dic mihi interroganti, quid jam tibi mens intùs occultat?
" Nunquid ulteriùs bellumque malum et pugnam gravem
" Facies? an amicitiam inter utrosque statuis?" 475
Illam autem respondens allocutus est nubium-coactor Jupiter;
" Filia mea, cur me hæc percontaris, et interrogas?
" Nonne enim dudùm hoc quidem excogitâsti consilium ipsa?
" Ut sanè illos Ulysses ulcisceretur reversus.
" Fac quomodo vis? dicam verò tibi, sicut decet. 480
" Postquam jam procos ultus est nobilis Ulysses;
" Fœderibus fidis ictis, hic quidem regnet semper;
" Nos autem ex alterâ-parte filiorumque fratrumque cædis
" Oblivionem faciamus; illi verò se-invicem diligant
" Sicut anteà: divitiæ autem et pax abundè sit." 485
Sic fatus, incitavit anteà promptam Minervam:
Descendit verò ea ab Olympi verticibus impetu-facto.

Ver. 473. —— τί νύ τοι νόος ἔνδοθι κεύθει;] Nate Deâ, quæ nunc animo sententia surgit? *Æn.* I. 582.

Ver. 478. 479. Οὐ γὰρ δὴ Ὀ.] Occurrunt iidem duo versus suprà ί. 23. 24.

Ver. 481. Ἐπειδὴ μνηστῆρας.] Vide suprà ad μ΄. 423. et ad *Il.* ψ΄. 2. *Al.* Ἐπεὶ δὴ μνηστῆρας.

Ver. 482. Ὅρκια πιστὰ ταμόντες.] Τιτίσι, διὰ θυσιῶν ποιήσαντες, ὡς πολλαχοῦ καὶ τῆς Ἰλιάδος φράζεται. *Eustath.*

—— fœdusque ferit ——. *Æn.* X. 154.

Ibid. —— ταμόντες, ὁ μὲν βασιλευέτω. De hujusmodi Syntaxi ἀνακολούθῳ, vide suprà ad μ΄. 73. et ad *Il.* γ΄. 211. Καινὸν δὲ τί σχῆμα τὸ, "Ὅρκια πιστὰ ταμόντες, ὁ μὲν βασιλευέτω ἀεὶ, Ἡμεῖς δὲ ποιήσομεν τόδε." "ἑξῆς. Καὶ ἐστὶ πως ὅμοιον καὶ αὐτὸ, τῷ, "Οἱ δὲ δύο σκόπελοι, ὁ μὲν" Ὅ.ς. *Eustath.*

Ver. 483. —— φόνοιο Ἔκλησιν θέωμεν.] Similitèr *Cicero*, apud *Dion. Cass. lib.* 44. Τὰ μὲν γεγενημένα ταῦτα, χαλάζης τε τινὸς καταπλυσμῷ τρόπον συμβεβηκέναι νομίσαντες, λήθην παράδοτε. Et *Valerius Maximus*, de *Thrasybulo*: " Plebis enim scitum interposuit, nequa præteritarum rerum mentio " fieret. Hæc oblivio, quam Athenienses " ἀμνηστίαν vocant, concussum et labentem " civitatis statum, in pristinum habitum " revocavit." *Lib.* IV. *cap.* 380. " Omnem " memoriam discordiarum oblivione sempiternâ delendam censui." *Cic. Orat. Philippic.* I. *sub initio.*

Ver. 484. —— θέωμεν.] *Al.* θέωμεν.

Ver. 485. —— πλοῦτος δὲ καὶ εἰρήνη ἄλις ἔστω.] Ita apud *Theognidem*;

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν ——. *Gnom. ver.* 881.

Ver. 487. Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἰξασα

Οἱ δ' ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἕντο,
Τοῖς ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
Ἐξελθών τις ἴδοι, μὴ δὴ σχεδὸν ὦσι κιόντες. 490
Ὣς ἔφατ'· ἐκ δ' υἱὸς Δολίου κίεν, ὡς ἐκέλευεν·
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, τοὺς δὲ σχεδὸν εἴσιδε πάντας·
Αἶψα δ' Ὀδυσσῆα ἔπεα πτερόεντα προσηύδα·
Οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον.
Ὣς ἔφαθ'· οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσι δύοντο, 495
Τέσσαρες ἀμφ' Ὀδυσῆ, ἓξ δ' υἱεῖς οἱ Δολίοιο·
Ἐν δ' ἄρα Λαέρτης Δολίος τ' ἐς τεύχε' ἔδυνον,
Καὶ πολιοί περ ἐόντες, ἀναγκαῖοι πολεμισταί.
Αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροῖ νώροπα χαλκὸν,

Illi autem postquam cibi dulcis desiderium exemerant,
Ipsis deindè sermonem exordiebatur multa-passus nobilis Ulysses;
" Egressus aliquis videat, nè jam propè sint venientes." 490
Sic dixit: egressus est autem filius Dolii, sicut jubebat:
Stetitque proindè ad limen profectus; illos verò propè vidit omnes;
Statimque Ulyssem verbis alatis allocutus est;
" Hi jam propè sunt: sed armemur ocyùs."
Sic dixit: illi verò exurgebant, et arma sibi-induebant, 495
Quatuor circum Ulyssem; sex autem filii Dolii:
Inter eos verò dindè Laërtes Doliusque arma induebant,
Etiam cani licèt essent, necessarii bellatores.
At postquam induerant-se circum corpus splendido ære,

Illa viam celerans ————
———— cito decurrit tramite virgo.
Æn. V. 609.

—— at illa leves cœli demissa per auras.
XI. 595.

Ver. 488. Οἱ δ' ἐπεὶ οὖν σίτοιο &c.] Nequaquam hîc supervacanea est vocula ista οὖν. Sententiam enim connectit cum eo quod præcessit *ver.* 361. —411. ubi Poëta *Ulyssem*, *Laërtem*, cæterosque cœnantes depingebat: ad quos jam redit.

Ver. 493, —— Ὀδυσῆα ἔπεα.] Nullâ analogiâ produci hîc potest ultima vocis Ὀδυσῆα. Sequi enim debet *Accusativus* iste *Genitivi* Ὀδυσῆος analogiam, ac proindè ultimam corripere. Vide ad *Il.* ά. 265. Undè haud absimile videtur, mendosi hîc aliquid latere. Occurrunt quidem nonnunquam apud Poëtam Vocales breves hoc modo, extra omnem analogiam, productæ; (vide suprà ad κ'. 246. 520. π'. 206. et ρ'. 37.) Verùm istiusmodi exempla admodùm sunt rara.

Ver. 496. Τέσσαρες ἀμφ' Ὀδυσῆ, ἓξ δ' υἱεῖς οἱ Δολίοιο] *Henricus Stephanus* aliique hîc legunt, Τέσσαρες ἀμφ' Ὀδυσῆ, ἓξ δ' υἱεῖς Δολίοιο· ubi liquet syllabam aliquam intercidisse. Ad quam quidem supplendam plures ab aliis conjecturæ afferuntur, uti videre est apud *Barnesium*. Verùm cùm hæ omnes nullâ auctoritate firmantur, voculam οἱ ex MS. *Collegii Corporis Christi Cantabr.* hîc inserui.

Ibid. —— υἱεῖς.] Apud *Eustathium* in commentario, υἱοὶ.

Ver. 497. —— Λαέρτης Δολίος τ' ἐς τεύχε' ἔδυνον, Καὶ πολιοὶ περ ἐόντες.]

———— Nec tarda senectus
Debilitat vires animi, mutatque vigorem:
Canitiem galeâ premimus ————.
Æn. IX. 610.

Nunc senior gladioque latus scutoque sinistram,
Canitiem galeæ subjicioque meam.
Ovid. Trist. lib. IV. *Eleg.* i. 73.

Ver. 498. —— ἀναγκαῖοι πολεμισταί.]

———— fortis virtute cöactà.
Lucan. Pharsal. lib. IV. *ver.* 798.

Ver. 499. —— ῥ'.] *Ut jam dictum est* —.

Ibid. —— νώροπα χαλκὸν.] Vide suprà ad *ver.* 466. et ν'. 19.

Digitized by Google

Ὤϊξαν δὲ θύρας, ἐκ δ' ἤϊον, ἦρχε δ' Ὀδυσσεύς. 500
Τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.
Τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
Αἶψα δὲ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
Τηλέμαχ', ἤδη μὲν τόδε γ' εἴσεαι αὐτὸς ἐπελθὼν, 505
Ἀνδρῶν μαρναμένων, ἵνα τε κρίνονται ἄριστοι,
Μήτι καταισχύνειν πατέρων γένος, οἵ τοπάρος περ
Ἀλκῇ τ' ἠνορέῃ τε κεκάσμεθα πᾶσιν ἐπ' αἶαν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὄψεαι, αἴκ' ἐθέλῃσθα, πάτερ φίλε, τῷδ' ἐνὶ θυμῷ, 510
Οὔτι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις.
Ὡς φάτο· Λαέρτης δ' ἐχάρη, καὶ μῦθον ἔειπε·
Τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω·

Aperuerunt utique fores, exieruntque; præibat autem Ulysses. 500
Ad eos verò propè filia Jovis accessit Minerva,
Mentori assimilata, tum corpore, tum etiam voce.
Hanc quidem conspicatus gaudebat multa-passus nobilis Ulysses;
Statimque Telemachum alloquebatur suum charum filium;
" Telemache, jam quidem hoc sanè in-animo-habebis ipse præsens-factus, 505
" Viris pugnantibus, ubi discernuntur optimi,
" Nè quid dedecores majorum genus, qui anteà scilicèt
" Roboreque et fortitudine excelluimus totam super terram."
Illum autem rursùs Telemachus prudens contrà allocutus est;
" Videbis, si volueris, pater chare, hoc in animo, 510
" Nequaquam dedecorantem *me* tuum genus, sicut dicis."
Sic dixit: Laërtes verò gavisus est, et sermonem dixit;
" Quænam mihi dies hæc, dii chari? profectò valdè gaudeo.

Ver. 500. Ὤϊξαν δὲ θύρας.] In utrâque *Eustathii* Editione legitur, notante *Barnesio*, Ὤϊξαν ἐα θύρας. Quod perindè est. Neque, si vulgatam lectionem retineas, " τὸ δὲ (uti " hîc commentus est *Barnesius*,) est loco " τῶ, καὶ" et Comma ponendum ad 'Ὀδυσ- " σεύς," ut adeò scilicèt sequens Τοῖσι δὲ θύ. sententiæ intelligatur ἀπόδοσις· nam et " Ὤϊξαν δὲ" sententiæ intelligi potest Apodosis, ac proindè reddi, " *Aperuerunt* " *utique*;" vel, " *Aperuerunt deindè*." Vide ad *Il. α.* 57 et *η.* 148. 149.

Ver. 502. et 547. Μέντορι εἰδομένη, ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.] Similitèr apud *Virgilium*;

Omnia Mercurio similis, vocemque coloremque *Æn.* IV. 558.

Omnia longævo similis, vocemque coloremque. IX. 650.

Ver. 503. —— πολύτλας δῖος Ὀδυσσεύς.]

—————— patientis Ulyssei.
Horat. Epist. lib. I. vii. 40.

Ver. 507 Μήτι καταισχύνειν πατέρων γένος.] Ita *Iliad.* ζ', 209.

Μηδὲ γένος πατέρων αἰσχυνέμεν ——.

Et apud *Virgilium*:

——— in antiquam virtutem animosque viriles
Et pater Æneas, et avunculus excitat Hector. *Æn.* III. 342.

Et iterùm, *Æn.* XII. 439.

Sis memor; et te animo repetentem exempla tuorum
Et pater Æneas, et avunculus excitet Hector.

Τὰς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι [χρὴ] μὴ αἰσχύναι τὰς προσηκούσας ἀρετάς. *Thucydides, lib.* IV. *pag.* 314. *al.* 151. Ubi *Scholiastes* locum istum *Homericum*, *Il.* ζ. 209. adducit.

Ver. 511. —— ὡς ἀγορεύεις.] *Eustathius* in commentario citat, οἵ' ἀγορεύεις.

Ver. 513. Τίς νύ μοι ἡμέρη ἥδε. θεοὶ φίλοι;] Similitèr *Cicero*, *Orat.* in *Pisonem*, citatus à *Quintiliano. lib.* IX. *cap.* 4. " Proh " Dii immortales, quis hic illuxit dies!" Porrò gaudium et admirationem *Laërtis*,

Digitized by Google

Υἱός θ' υἱωνός τ' ἀρετῆς περὶ δῆριν ἔχουσι.
Τὸν δὲ παρισταμένη προσέφη γλαυκῶπις Ἀθήνη· 515
Ὦ Ἀρκεισιάδη, πάντων πολὺ φίλταθ' ἑταίρων,
Εὐξάμενος κούρῃ γλαυκώπιδι, καὶ Διὶ πατρὶ,
Αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.
Ὡς φάτο, καὶ ῥ' ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη.
Εὐξάμενος δ' ἄρ' ἔπειτα Διὸς κούρῃ μεγάλοιο, 520
Αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Εὐπείθεα, κόρυθος διὰ χαλκοπαρῄου·
Ἡ δ' οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἐν δ' ἔπεσον προμάχοις Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς· 525
Τύπτον δὲ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
Καί νύ κε δὴ πάντας τ' ὄλεσαν καὶ ἔθηκαν ἀνόστους,
Εἰ μὴ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,

"Filiusque neposque de virtute litem habent."
Eum autem astans allocuta est cæsia-oculis Minerva; 515
"O Arcesiade, omnium multò charissime sociorum,
"Precatus filiam cæsiam-oculis, et Jovem patrem,
"Statim valdè vibratam emitte longam hastam."
Sic dixit; et inspiravit robur magnum Pallas Minerva.
Precatus autem *is* deindè Jovis filiam magni, 520
Statim valdè vibratam emisit longam hastam,
Et percussit Eupithem, galeam per æreis-munitam-malis;
Ea verò non hastam inhibuit; penitùs autem transiit æs:
Fragorem verò edidit *is* lapsus, resonueruntque arma super ipso.
Irruerunt autem primis-pugnatoribus Ulysses et illustris filius; 525
Feriebantque ensibusque et hastis ancipitibus.
Et sanè jam omnes perdidissent et fecissent reditûs-expertes,
Nisi Minerva, filia Jovis Ægiochi,

Asyndetis istis, Τίς νύ μοι ——; ἦ μάλα ——· Τίδς θ' υἱωνὸς τ' ——· optimè depingi notat *Eustathius*.

Ibid. —— ἦ μάλα χαίρω.] *Al.* ἦ μέγα χαίρω· ut suprà *ver.* 401.

Ver. 514. Τίδς θ' υἱωνὸς τ'.]

Οὐκ ἐστὶ μείζων ἡδονὴ ταύτης πατρὶ,
Ἢ σωφρονοῦντα ᾧ φρονοῦντ' ἰδεῖν τινὰ
Τῶν ἐξ ἑαυτοῦ ——————.
Menander, apud Stobæum, Serm. 73.

Ibid. —— ἀρετῆς περὶ δῆριν ἔχουσι.] "Et "certamen honestum, et disputatio splendi-"da; omnis est enim de virtutis dignitate "contentio." *Cicero, de Finibus, lib.* II. § 21.

Ver. 519. —— ἔμπνευσε μένος μέγα.] Vide ad *Il. υ.* 110. et *ι.* 185.

Ibid. —— Παλλὰς Ἀθήνη.] *Al.* ποιμένι λαῶν.

Ver. 520. —— μεγάλοιο.] *Al.* Διὶ τ' αὐτῷ· ut suprà *ver.* 517. ᾧ Διὶ πατρὶ.

Ver. 521. —— ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.]

—— ferro præfixum robur acuto
—— diù librans jacit ——
Æn. X. 479.

Ver. 522. —— Εὐπείθεα.] *Al.* Εὐπείθη. Quo modo et Εὐπείθεα pronuntiabatur. *Al.* Εὐπείθην.

Ver. 523. —— ἔρυτο.] *Barnesius* inter varias lectiones, ἐρῦτο. Vide ad *Il. ν.* 555. et *ω.* 1.

Ver. 528. —— Ἀθηναίη.] Ἡ ἡρωϊκὴ δηλαδὴ φρόνησις. *Eustath.* Et in commentario ad *ver.* 544. infrà; Πείθεται Ἀθηνᾷ, τῇ παρ' αὐτῷ φρονήσει. Vide ad *Il. ε.* 194. et *β'.* 167.

Digitized by Google

Ἤϋσεν φωνῇ, κατὰ δ' ἔσχεθε λαὸν ἅπαντα·
Ἴσχεσθε πτολέμου, Ἰθακήσιοι, ἀργαλέοιο, 530
Ὡς κεν ἀναιμωτεί γε διακρινθεῖτε τάχιστα.
Ὡς φάτ' Ἀθηναίη· τοὺς δὲ χλωρὸν δέος εἷλε·
Τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατο τεύχεα·
Πάντα δ' ἐπὶ χθονὶ πίπτε, θεᾶς ὄπα φωνησάσης·
Πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο. 535
Σμερδαλέον δ' ἐβόησε πολύτλας δῖος Ὀδυσσεὺς,
Οἴμησεν δὲ ἀλεὶς, ὥστ' αἰετὸς ὑψιπετήεις.
Καὶ τότε δὴ Κρονίδης ἀφίει ψολόεντα κεραυνὸν,
Κάδδ' ἔπεσεν πρόσθεν Γλαυκώπιδος ὀβριμοπάτρης.
Καὶ τότ' Ὀδυσσῆα προσέφη γλαυκῶπις Ἀθήνη· 540
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἴσχεο, παῦε δὲ νεῖκος ὁμοιΐου πολέμοιο,
Μήπως τοι Κρονίδης κεχολώσεται εὐρύοπα Ζεύς.
Ὡς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ.

Clamâsset voce, cohibuissetque populum omnem;
" Abstinete à bello, Ithacenses, gravi; 530
" Ut sine-cruore utique dirimamini citissimè."
Sic dixit Minerva: illos autem pallidus timor cepit:
Eorumque proindè territorum ex manibus volâbant arma;
Omniaque in terram cadebant, deâ vociferatâ:
Ad urbem verò convertebant-se cupidi vitæ-*conservandæ*. 535
Terribilitèr autem clamavit multa-passus nobilis Ulysses;
Impetumque dedit concitus, sicut aquila altivolans.
Tum verò demùm Saturnius misit ardens fulmen;
Decidit autem *id* ante Cæsiam-oculis forti-patre-natam.
Et tunc Ulyssem allocuta est cæsia-oculis Minerva; 540
" Generose Laërtiade, solers Ulysses,
" Contine-te, compesceque contentionem æquè gravis belli;
" Nequà tibi Saturnius irascatur latè-sonans Jupiter."
Sic dixit Minerva: ille verò parebat, gaudebatque animo.

Ver. 529. 530. Ἤϋσεν φωνῇ, —— Ἴσχεσθε πτολέμου, Ἰθακήσιοι.]

